

3202

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΚΑΔΗΜΙΑΣ
ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΔΕΗ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΙ

ἐκδοθέντες

κατὰ τὰς νεωτέρας Εὐρωπαϊκὰς ἐκδόσεις

μετὰ κριτικῶν καὶ ἐξηγητικῶν σημειώσεων

ὑπὸ

ΓΑΒΡΙΗΛ ΣΟΦΟΚΛΕΟΥΣ.

ΤΟΜΟΣ Β΄.

περιέχων

τὸν

ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ.

ΑΘΗΝΗΣΙ,

ΤΥΠΟΙΣ Π. Α. ΣΑΚΕΛΛΑΡΙΟΥ.

(κατὰ τὴν ὁδὸν Εὐαγγελιστρίας, ἀριθμ. 44).

1858.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ

ὑπὸ

ΓΑΒΡΙΗΛ ΣΟΦΟΚΛΕΟΥΣ

φιλοτίμῳ δαπάνῃ

ΛΑΖΑΡΟΥ ΙΩΑΝΝΟΥ ΠΥΡΛΟΓΛΟΥ.

τὸν ὑπὲρ Κτησιφῶντος ἐγὼ κράτιστον ἀπο-
φαίνομαι πάντων λόγων.
Αἰσν. Ἀλικ. π. συνθέσ. ὀνομ. ΚΕ.

ΒΙΒΛΙΟΘΗΚΗ
ΑΚΑΔΗΜΙΑΣ
ΑΘΗΝΩΝ

ΑΘΗΝΗΣΙ,
ΤΥΠΟΙΣ Π. Α. ΣΑΚΕΛΛΑΡΙΟΥ.
(κατὰ τὴν ὁδὸν Εὐαγγελιστρίας, ἀριθμ. 44).

1858.

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ἰδιόχειρον ὑπογραφήν μου θεωρεῖται κλοπιμαῖον καὶ διώκεται αὐστηρῶς κατὰ τοὺς περὶ τούτου νόμους.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΤΗι

ΕΥΣΕΒΕΙ ΚΑΙ ΕΝΑΡΕΤΩι ΤΡΙΑΔΙ

ΤΩΝ ΑΥΤΑΔΕΛΦΩΝ ΠΥΡΛΟΓΛΟΥ

ΔΩΡΟΘΕΩι ΙΕΡΟΜΟΝΑΧΩι

ΤΩι ΑΕΙΜΝΗΣΤΩι ΔΙΔΑΣΚΑΛΩι

ΙΩΑΝΝΗι ΔΗΜΟΓΕΡΟΝΤΙ

ΤΩι ΣΕΒΑΣΤΩι ΜΟΙ ΘΕΙΩι

ΚΑΙ

ΙΑΚΩΒΩι ΠΡΕΣΒΥΤΕΡΩι

ΚΑΙ **ΟΙΚΟΝΟΜΩι**

ΤΩι ΦΙΛΟΣΤΟΡΓΩι ΜΟΙ ΠΑΤΡΙ

ΤΟΙΣ ΤΟ ΖΗιΝ ΤΕ ΚΑΙ ΤΟ ΕΥ ΖΗιΝ ΜΟΙ ΠΑΡΑΣΧΟΥΣΙΝ

ΕΥΓΝΩΜΟΝΩΣ ΑΝΑΤΙΘΗΜΙ

ΓΑΒΡΙΗΛ ΣΟΦΟΚΛΗΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΠΡΟΛΟΓΟΣ.

Τὸν Δημοσθένους περὶ τοῦ στεφάνου ἑρμηνεύων ἐπανειλημμένως ἐν Κωνσταντινουπόλει, ἠσθάνθην, εἴπερ ποτέ, τὸ ἀνεπαρκὲς τῶν παρ' ἡμῖν ἐκδόσεων εἰς λύσιν τῶν ἐν αὐτῷ δυσχερειῶν· ἀλλὰ δὴ καὶ αἱ ἂς ὑπ' ὄψιν εἶχον τελευταῖαι γερμανικαὶ ἐκδόσεις οὐκ ὀλίγας μοι ἐνεποίουν ἀπορίας διὰ τῶν συνεχῶν αὐτῶν παραπομπῶν εἰς συγγράμματα οὔτε ὑπάρχοντα ἐν τῇ πρωτευούσῃ ἐκείνῃ, οὔτε ἄλλως εὐπόριστα. εὑρεθεὶς λοιπὸν ἐν τῇ ἀνάγκῃ ἤτοι οἰκονομῆσαι τὸ πρᾶγμα, ὅπως ἠδυνάμην, ἢ ἀγοράσαι καὶ ἑτέρας ἐκδόσεις καὶ τὰ χυριώτερα ἱστορικὰ βοηθήματα πρὸς εὐσυνείδητον ἐκπλήρωσιν τοῦ ἀνατεθέντος μοι ἱεροῦ ἔργου, προὐτίμησα τὸ δεύτερον· καὶ οὕτως ἀρκούντως ἐφοδιασθεὶς ἐβοήθουν τῇ κατ' ἰδίαν μελέτῃ τῶν φίλων μοι ὁμιλητῶν δι' ἐγγράφων σημειώσεων, οὐδόλως ἔχων κατὰ νοῦν ἵνα καὶ εἰς φῶς ποτε ἐκδώσω αὐτάς.

Ἀλλ' ὅτε ὁ πρὸς πατρός μοι ἐξάδελφος Λάζαρος Ἰωάννου Πυρλόγλους αὐθόρμητος ἀναδεχθεὶς πᾶσαν τῆς τυπώσεως τὴν δαπάνην ἐπέβαλέ μοι τὴν ἔκδοσιν τοῦ λόγου τούτου, τοῦτο μὲν ἵνα μὴ ψυχράνω τὸν φιλογενῆ καὶ παντὸς ἐπαίνου ἀνώτερον ζῆλον τοῦ ἀνδρός, τοῦτο δὲ ἵνα συνδράμω καὶ αὐτὸς τὸ κατὰ δύναμιν τῇ προόδῳ τῆς πρὸς τὰ μαθήματα ὀργώσης νεολαίας, ἐνέ-

δωκα τῇ προτροπῇ αὐτοῦ. καὶ δὴ καὶ σπουδαιότερον ἀψάμενος τοῦ ἔργου, καίτοι ἔχων ἀνὰ χεῖρας ἱκανὰ ἱστορικὰ βοηθήματα καὶ τὰς καλλιτέρας ἐκδόσεις τοῦ λόγου τούτου, οἷον

τὴν τοῦ A. Westermann ἐν Βερολίνῳ. 1855.

» » F. Jacobs ἐν Λειψίᾳ. 1833.

» » L. Dissen ἐν Γοττίγγῃ. 1837.

τὴν νεωτάτην μετὰ γερμανικῆς μεταφράσεως καὶ κριτικῶν καὶ ἐξηγητικῶν σημειώσεων (Demosthenes' Rede vom Kranze. Griechisch und Deutsch mit Kritischen und erklaerenden Anmerkungen.) ἐν Λειψίᾳ. 1857. (α),

καὶ τὰ ἀρχαῖα Σχόλια (Scholia graeca ex codicibus aucta et emendata ex recensione Gulielmi Dindorfii) ἐν Ὀξωνίῳ. 1851.,

ἱστορικὰ δὲ βοηθήματα τὰ

Francisci Winiewski Commentarii historici et chronologici in Demosthenis orationem de corona 1829.

Koenig Philipp und die Hellenischen Staaten von C. A. F. Brueckner ἐν Γοττίγγῃ. 1837.

Forschungen auf dem Gebiete der Attischen Redner und der Geschichte ihrer Zeit von Carl Georg Boehnecke ἐν Βερολίνῳ. 1843.

Demosthenes und seine Zeit von A. Schaefer ἐν Λειψίᾳ. 1856.

καίτοι, λέγω, ἔχων ταῦτα ἀνὰ χεῖρας, οὐδὲν ἧττον ἐπιθυμῶν τελειότερόν τι προσενεγκεῖν τοῖς ὁμογενέσι, μετέβην ἐπὶ τούτῳ εἰς Ἀθήνας. καὶ δὲν εὗρον μὲν ἐν τῇ

(α) *Τὴν ἀνώνυμον ταύτην ἔκδοσιν διέκρινα ἐν ταῖς σημειώσεσι διὰ τοῦ ΓΜ (= γερμανὸς μεταφραστής).*

δημοσία βιβλιοθήκη οὔτε τὴν περὶ ψευδεπωνύμων ἀρχόντων πραγματείαν (de Archontibus Atticis pseudeponymis) τοῦ Boeckh τυπωθεῖσαν ἐν τοῖς πρακτικοῖς τῆς ἐν Βερολίνῳ Ἀκαδημίας τοῦ ἔτους 1827, οὔτε τὸ περὶ γνησιότητος τῶν ἐν τῷ Δημοσθένους περὶ τοῦ στεφάνου ἐγγράφων (ueber die Aechtheit der Urkunden in Demosthenes Rede vom Kranze) σύγγραμμα τοῦ Droysen, οὔτε τὰ τοῦ Voemel προγράμματα 1841 — 1845, οὔτε τοῦ Rauchenstein τὰς εἰς τὸν λόγον τοῦτον παρατηρήσεις (Observationes in Dem. or. de coron. 1829.), δύο ὅμως ἄξια λόγου βοηθήματα ἔλαβον ἐξ αὐτῆς, τήν τε ἀγγλικὴν ἔκδοσιν τοῦ CHamplin ἐν Βοστώνῃ 1847, ἐξ ἧς πλεῖσθ' ὅσα ἠρανισάμην μεταφράζοντός μοι Παύλου τοῦ υἱοῦ, καὶ τὰς εἰς τὸν λόγον τοῦτον χειρογράφους σημειώσεις τοῦ μακαρίτου Ῥυσίου ἐκ τῆς (ἀπὸ καθέδρας) παραδόσεως τοῦ Boeckh ἐν Βερολίνῳ. 1840.(α).

Ἐκ τούτων ὅλων, ὡς καὶ ἐκ τῶν παρ' ἡμῖν ἐκδόσεων, τῆς τοῦ μακαρίτου Βάμβα ἰδίως, ἠρανισθεὶς εἶτι συν-

(α) *Περὶ τούτων ὀφείλω χάριτας τῷ καθηγητῇ τῆς Ἱστορίας τῆς Φιλοσοφίας Ν. Κοτζιᾷ, ὅτι ἀναγγέλλας μοι οἴκοθεν ὅτι σώζονται ἐν τοῖς χειρογράφοις τοῦ μακαρίτου Ῥυσίου καὶ εἰς τὸν λόγον τοῦτον σημειώσεις, συνετέλεσεν, ὡς Κοσμήτωρ τῆς φιλοσοφικῆς σχολῆς, ἵν' οὐκ ὀλίγαι σελίδες τῆς παρούσης ἐκδόσεως κοσμηθῶσι καὶ διὰ τῶν σοφῶν παρατηρήσεων τοῦ περιωνύμου* Boeckh, *ἃς διέστειλα ἐν ταῖς σημειώσεσι διὰ τοῦ Β. κ. Ῥ.. καὶ ἐκ τῆς τοῦ* Spengel *παραδόσεως εὗρον ἐν τῇ βιβλιοθήκῃ βραχείας τινὰς σημειώσεις, ἀλλὰ τούτων καθὸ περὶ τὰς διαφόρους γραφὰς στρεφομένων κυρίως καὶ ὀλίγα τινὰ ἐξηγητικὰ ἐχουσῶν, ἅπαξ μόνον χρῆσιν ἐποιησάμην.*

τελεστικὸν εἰς κατάληψιν τῶν ἐν τῷ λόγῳ τούτῳ, προσεθέμην καὶ ἐξ ἰδίας μελέτης οὐκ ὀλίγας γραμματικάς, ἱστορικὰς καὶ ἐν γένει πραγματικὰς παρατηρήσεις, ὡς καὶ τὰ τῶν Σχολιαστῶν, καὶ τὰς τῶν ἀρχαίων ῥητόρων τεχνογράφων, Λογγίνου, Ἑρμογένους κλπ. κρίσεις καὶ περὶ ῥητορικῶν σχημάτων παρατηρήσεις, τόσῳ μᾶλλον ἀναγκαίας τοῖς σπουδάζουσι, καθόσον ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἰδιαιτέρα ῥητορικῆς διδασκαλία σπανίως γίνεται, ἡ δ' ἀνάπτυξις τῆς αἰσθήσεως τοῦ καλοῦ ἀνατίθεται τῇ ἐνδελεχεῖ μελέτῃ τῶν ἐνδόξων ῥητόρων καὶ ποιητῶν. πρὸς διάκρισιν δὲ τῶν ἑκάστου προσέγραψα ἐν τέλει τῶν ἠρανισμένων σημειώσεων τὰ ἀρχικὰ στοιχεῖα τῶν ὀνομάτων τῶν ἀφ' ὧν ἠρανισάμην ἐκδοτῶν, καίτοι οὐδὲν σχεδὸν μεταφράσας ἁπλῶς οὔτε ἀταλαιπωρήτως προσδεχθείς, ἀλλ' ὁτὲ μὲν συντεμών, ὁτὲ δὲ διὰ πλειόνων, ἐν προσθήκης σημείῳ περιλαμβανομένων, σαφηνίσας τὰς σημειώσεις αὐτῶν, ἀνατρέχων, ἔνθα μοι ἦν δυνατόν, εἰς τὰς ἀρχαίας Ἑλληνικὰς πηγάς, ἀφ' ὧν ἠρύσθησαν καὶ οὗτοι, καὶ τὰ μὲν ἐν συνόψει, τὰ δὲ καὶ αὐταῖς λέξεσι τῶν ἀρχαίων μεταφέρων. ὅθεν καὶ ὕφος μετεχειρίσθην, διὰ τὸ ὁμαλὸν τῆς γλώσσης, ὡς οἷόν τε παρεμφερὲς τῷ τῶν σχολιαστῶν καὶ τῶν ἱστορικῶν, ὧν συνεχῶς ἀνέφερον ὁλόκληρα χωρία. ἀσφαλέστερον δὲ τρόπον ἐξηγήσεως ἔκρινα τὴν δι' ἀντιπαραθέσεως ἑτέρων ὁμοίων χωρίων τοῦ ῥήτορος αὐτοῦ ἢ καὶ ἄλλων ῥητόρων κατὰ τὸ παράδειγμα τοῦ Dissen, Westermann κλπ., ἔνθα δ' ἔλειπεν ἡ βοήθεια αὕτη, οἱ δ' ἐκδόται διεφώνουν, παραδεχθεὶς μίαν τινὰ γνώμην, τὴν πιθανωτέραν μοι δοκοῦσαν, τῶν λοιπῶν οὐδεμίαν ἢ βραχεῖαν μόνον μνείαν ἐποιησάμην. καὶ ταῦτα μὲν περὶ

τῶν σχολίων, σημειώσεων, κτλ.. εὐτυχῆ λογίζομαι ἐμαυτόν, εἰ ἔντε τοῖς ἐρανισθεῖσι καὶ ἐν τοῖς ἤδη πρῶτον συνταχθεῖσιν ἠδυνήθην ἀποφυγεῖν ὅ τι ὁ Ἱερώνυμος Οὐόλφιος ὀνειδίζει τοῖς ἀρχαίοις σχολιασταῖς· « est hoc Graecorum interpretum vitium, ut saepe vel curiosiores, vel argutiores sint quam necesse est; loquaces in locis apertissimis, in obscurrissimis, aut breves aut muti. »

Τὸ δ' ὅλον ἔργον ἵνα καταστήσω, ὅσῳ ἠδυνάμην, ἧττον ἀτελές, προέταξα μὲν τοῦ λόγου (ἐν τῇ ὑποθέσει) οἰκονομίαν ἤτοι κατὰ κεφάλαια καὶ παραγράφους ἀνάλυσιν ἑκατέρων τῶν ἐναγωνίων λόγων, τοῦ τε κατὰ Κτησιφῶντος δηλ. καὶ τοῦ περὶ τοῦ στεφάνου, μετὰ γενικῶν τινων παρατηρήσεων πρὸς εὐσύνοπτον περίληψιν τοῦ συνόλου τῆς δίκης ταύτης, ἐν τέλει δὲ αὐτοῦ προσέθηκα ἰδιαιτέραν τε πραγματείαν (παράρτημα) περὶ τῶν ἐν τῷ λόγῳ τούτῳ δημοσίων ἐγγράφων καὶ εἴτινος ἄλλης σπουδαίας δυσχερείας (καὶ τοῦτο, ἵνα μὴ παρ' ἡμῖν μόνοις ὅλως ἀτημέλητος ἀφεθῇ ἡ ἀναδίφησις τῶν προγονικῶν ἡμῶν θησαυρῶν), καὶ πίνακας ἀλφαβητικοὺς πρὸς εὐχερῆ ἀνεύρεσιν τῶν περιεχομένων. κείμενον τέλος μετεχειρίσθην τὸ τοῦ ἐν Παρισίοις χειρογράφου Σ (2934) τοῦ δεκάτου αἰῶνος ἐπὶ μεμβράνης, καθὸ γενικῶς ἀρίστου εἶναι ὁμολογουμένου, φυλάξας καὶ τὰς τῆς Ῥεϊσκείου ἐκδόσεως σελίδας διακρινομένας δι' ἀστερίσκου καὶ τοὺς ἐν σελίδι ἀριθμοὺς τῶν περιόδων εἴτε παραγράφων διὰ τὴν ἐν ταῖς παραπομπαῖς εὐχέρειαν. διαφόρων δὲ γραφῶν ἀνεμνήσθην μόνον ὅτε ἤτοι φανερὰ προσθήκη ὁλοκλήρων λέξεων καὶ φράσεων ὑπῆρχεν, ἢ καὶ οὐσιωδῶς παρήλλασσεν ἡ ἔννοια.

Εἰ δὲ δεῖ τι εἰπεῖν καὶ περὶ τῆς ἀφιερώσεως τοῦ βι-

βλίου, διὰ ταύτης προεθέμην οὐ μόνον δημοσίᾳ κηρῦξαι τὴν βαθυτάτην μου εὐγνωμοσύνην τοῖς σεβαστοῖς μοι ἐκείνοις ἀνδράσιν, οἷς τὰ πάντα ὀφείλω, ἀλλὰ καὶ τὴν τῆς φιλτάτης μοι πατρίδος νεολαίαν προτρέψαι τῇ σπουδῇ τῶν Ἑλληνικῶν γραμμάτων καὶ τῇ τῆς πατρίου γλώσσης, ἠθῶν, ἐθίμων κτλ. ἀνακτήσει, προβάλλων αὐτῇ ἐν κεφαλίδι τοῦ βιβλίου ὡς διδακτικώτατα παραδείγματα τοὺς πρὸ πεντήκοντα ὅλων ἐτῶν μετὰ μυρίων ὅσων ἱδρώτων τε καὶ μόχθων ἐν ὡρίμῳ ἤδη ἡλικίᾳ τὴν σπουδὴν τῆς Ἑλληνικῆς γλώσσης ἀσπασαμένους, καὶ πλεῖσθ' ὅσα συντελέσαντάς τε καὶ συντελοῦντας τῇ ἠθικῇ μορφώσει τῆς ἐν ᾗ ζῶσι Χριστιανικῆς κοινότητος διά τε πολυετοῦς διδασκαλίας καὶ διὰ τοῦ ἐναρέτου καὶ Χριστιανικοῦ βίου αὐτῶν.

Καὶ τοιαύτη μὲν ἡ ἔκδοσις, ἣν προσφέρω τῇ ἐπιεικείᾳ τῶν φίλων ὁμογενῶν. εἰ μέν τι χρήσιμος καὶ ταῖς παρούσαις ἀνάγκαις ἐπαρκής, τούτου ἡ χάρις ὀφείλεται τῷ γενναίως ἀναδεξαμένῳ πᾶσαν τὴν δαπάνην καὶ ἐπισπεύσαντι τὸ ἔργον, εἰ δ' ἐλάττων τῶν προσδοκιῶν τοῦ φιλομούσου Κοινοῦ, ἐπαινετέα αὖθις ἡ πρόθεσις τοῦ ἀνδρός, διότι πρῶτος τῶν κατοίκων τῆς Καππαδοκικῆς Καισαρείας ἀνέδειξε φιλογένειαν ἐφάμιλλον τῇ τῶν ἀγήρω καὶ ἀθάνατον μνήμην καταλιπόντων Ζωσιμάδων ἐκείνων, καίτοι οὐδὲ τὸ πολλοστὸν τοῦ ἐκείνων κολοσσιαίου πλούτου ἔχων, ἀλλὰ τῷ πρὸς τὰ καλὰ ζήλῳ, εἴπερ τις καὶ ἄλλος, πλουτῶν, κατ' ἐποχὴν μάλιστα στειρεύουσαν τοῦ πρὸ τοῦ ἐθνικοῦ ἀγῶνος πρὸς ἐκδόσεις τῶν προγονικῶν ἡμῶν συγγραμμάτων ἀξιοθαυμάστου ἐκείνου ζήλου· ἀλλὰ δὲν εἶναι, ἐλπίζω, κατακριτέα παράγε τοῖς ἐπιεικέσι, καὶ ἡ ἐμὴ προθυμία, εἰ

προειλόμην καὶ ἐλάχιστόν τι συνενεγκεῖν τῇ θεοῦ εὐδοκοῦντος ἀνεγειρομένῃ οἰκοδομῇ τῆς νεωτέρας ἡμῶν φιλολογίας, ἢ κεχηνότως θεᾶσθαι τοὺς τῶν ὑπὲρ αὐτῆς ὅλαις δυνάμεσιν ἀγωνιζομένων ἱδρῶτας καὶ κόπους.

Σὺ δέ, ὦ φιλομαθὴς νεολαία, αἱ χρησταὶ τῆς πατρίδος ἐλπίδες, μὴ ἀπόκαμνε μελετῶσα τὰ τῶν εὐκλεῶν σου προγόνων συγγράμματα, μηδ' ὀθνεΐά τινα καὶ πρὸς καιρὸν μόνον ἡδύνοντα καρυκεύματα περὶ πλείονος ποιοῦ τῆς στερεᾶς καὶ ὑγιοῦς τροφῆς τῆς πατρίου σου γλώσσης, ἐνθυμουμένη ὅτι «ὥςπερ οὐχ οἱ τὰ πολλὰ καὶ τὰ ἡδέα ἐσθίοντες ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλὰ οὐδ' οἱ ἡδέα ἀλλ' οἱ χρήσιμα ἀναγιγνώσκοντες εἰσὶ σπουδαῖοι.»

Ἔγραφον ἐν Ἀθήναις τὴν δ'. Μαΐου ᾳωνή.

ΓΑΒΡΙΗΛ ΣΟΦΟΚΛΗΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΥΠΟΘΕΣΙΣ.

Μετὰ τὴν ἐν Χαιρωνείᾳ ἧτταν (Ὀλ. ρί. γ΄. 338. π. Χ.) οἱ Ἀθηναῖοι φοβούμενοι ἔφοδον τοῦ Φιλίππου ἔγνωσαν ἐπανορθώσασθαι τὰ πεπονηκότα μέρη τῶν τῆς πόλεως τειχῶν, ἐπελθούσης δὲ τῆς Δημάδου εἰρήνης ἐπαύσαντο μὲν τῶν κατεσπευσμένων ἐκείνων ἐργασιῶν, ἀλλ᾽ αἰσθανόμενοι ἀείποτε τὴν ἀνάγκην γενικῆς τινος ἐπισκευῆς, περὶ τὸ τέλος τοῦ αὐτοῦ ἔτους, «(θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος), γράψαντος ψήφισμα Δημοσθένους ἀγορὰν ποιῆσαι τῶν φυλῶν σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ, καὶ ἑλέσθαι ἐξ ἑκάστης τῶν φυλῶν τοὺς ἐπιμεληθησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη καὶ ταμίας» (Αἰσχ. κ. Κτησ. §. 27.), εἵλοντο ἕνα μὲν ἀρχιτέκτονα γενικὸν ἐπιστάτην τῆς οἰκοδομῆς ἐπὶ πέντε ἔτη ὑπολογιζομένης (α), δέκα δὲ ἐπιμελητὰς (*τειχοποιοὺς*) ἀνὰ ἕνα ἐξ ἑκάστης φυλῆς κατὰ τὰ τμήματα, εἰς ἃ διῃρημένον ἦν τὸ ὅλον τῆς ἐπισκευῆς. τότε λοιπὸν καὶ Δημοσθένης αἱρεθεὶς ἐκ τῆς ἑαυτοῦ φυλῆς, τῆς Πανδιονίδος, τειχοποιὸς ἐπὶ τὸ ά. ἔτος τῆς οἰκοδομῆς (Ὀλ. ρι΄, δ΄.), τοῖς ἐκ τῆς πόλεως «εἰς τὴν τῶν τειχῶν οἰκοδο-

(α) *κατὰ τὴν ἐν Ἀθήναις τὸ* 1834. *εὑρεθεῖσαν καὶ ὑπὸ O. Mueller ἐν τῷ de munimentis Athenarum ἐξηγηθεῖσαν ἐπιγραφήν.*

μίαν» δοθεῖσιν αὐτῷ δέκα ταλάντοις (κ. Κτησ. §. 23.) προσαναλώσας καὶ ἐκ τῆς ἰδίας οὐσίας μνᾶς ἑκατὸν (κ. Κτησ. §. 17.) ἐπέδωκεν αὐτὰς τῇ πόλει. διὰ ταῦτα, ὡς καὶ διὰ τὰ χρήματα, ἃ ἐπέδωκε πάλιν Δημοσθένης ἐπὶ τῷ θεωρικῷ τότε ὤν (ἴδ. π. τοῦ στεφ. §. 113.), ἔγραψε Κτησιφῶν πρὸ τῆς λήξεως ἔτι τοῦ ἔτους ἐκείνου (κϐ'. πυανεψιῶνος), «στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ ἐν τῷ θεάτρῳ, Διονυσίοις τοῖς μεγάλοις, τραγῳδῶν ἀγωνιζομένων καινῶν (κ. Κτησ. §. 34.), καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἕλληνας, ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας, καὶ ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ» (κ. Κτησ. §. 49.). τοῦτο φυσικῶς διήγειρε τὸν φθόνον τῆς μακεδονικῆς μερίδος· ὅθεν ὅτε ἡ βουλὴ εἰσήνεγκεν εἰς τὴν ἐκκλησίαν τοῦ δήμου τὸ Κτησιφῶντος ψήφισμα, ὁ Αἰσχίνης, πολιτικὸς ἀνέκαθεν ἀντίπαλος Δημοσθένους, τότε μὲν δι' ὑπωμοσίας, ἤτοι ἐνόρκου διαβεβαιώσεως ὅτι μέλλει κατηγορῆσαι ὡς παράνομον τὸ Κτησιφῶντος ψήφισμα, ἀνέστειλε τὴν περαιτέρω συζήτησιν καὶ ἐπικύρωσιν αὐτοῦ, πέντε δὲ σχεδὸν μῆνας ὕστερον (ς'. ἐλαφηβολιῶνος) ἀπήνεγκε πρὸς τοὺς θεσμοθέτας παρανόμων γραφὴν κατὰ Κτησιφῶντος

ά. ὅτι «οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς εἰσιν, ἅπαντες δὲ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ γράμματα ἐγγράφειν ἐν τοῖς δημοσίοις ψηφίσμασιν» (κ. Κτησ. §. 50.),

ϐ'. ὅτι «γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν, οὐ προσθείς, *ἐπειδὰν δῷ λόγον καὶ εὐθύνας*, ὁ δὲ νόμος ἀπαγορεύει ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν» (κ. Κτησ. §. 31.),

γ'. ὅτι «καὶ τὴν ἀνάρρησιν τοῦ στεφάνου παρανόμως ἐν τῷ ψηφίσματι κελεύει γίγνεσθαι, ὁ γὰρ νόμος διαρρήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι, ἐὰν δὲ ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ, ἄλλοθι δὲ μηδαμοῦ» (κ. Κτησ. §. 32.),

μόλις δὲ «ἐπ' Ἀριστοφῶντος ἄρχοντος (Ὀλ. ριϐ', γ'. 330.) ὀγδόῳ μὲν ἐνιαυτῷ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἕκτῳ δὲ

μετὰ τὴν Φιλίππου τελευτήν, καθ' ὃν χρόνον Ἀλέξανδρος τὴν ἐν Ἀρβήλοις ἐνίκα μάχην» (Διον. Ἁλικ. ἐπις. πρ. Ἀμμ. ιϐ'.), ἐνεκάλεσε τὸν Κτησιφῶντα καὶ εἰς δίκην. καὶ τίς μὲν ὑπῆρξεν ἡ αἰτία τῆς ἐπὶ τοσαῦτα ἔτη ἀναβολῆς ἀγνοεῖται, οὐδενὸς τῶν δικαζομένων ῥητόρων οὐδ' ἐλάχιστον λόγον ποιουμένου περὶ αὐτῆς, φαίνεται ὅμως ὅτι αὕτη προῆλθε τυχαίως πως παφαμελήσει ἑκατέρων τῶν μερῶν, καὶ ὅτι τότε κυρίως, θριαμβεύοντος ἐν Ἀσίᾳ τοῦ Ἀλεξάνδρου, τῆς δὲ μακεδονικῆς μερίδος τὰ μέγιστα ἰσχυούσης (Πλουτ. Δημ. ΚΔ.), ἔκρινεν Αἰσχίνης κατάλληλον τὸν καιρὸν πρὸς ἐπίθεσιν κατὰ τοῦ ἀντιδίκου αὐτοῦ. καὶ πρῶτος, ὡς κατήγορος, ἀρχόμενος τοῦ λόγου

ἐν μὲν τῷ προοιμίῳ (*κατὰ Κτησιφῶντος* §. 1—8.) ἑλκύει τὴν προσοχὴν τῶν δικαστῶν ἐπὶ τὸ ἱερώτερον καθῆκον αὐτῶν, τὴν διατήρησιν τῶν κειμένων νόμων, ὡς τὸ μόνον μέσον, δι' οὗ σώζεται ἡ δημοκρατία, ἧς φύλακες εἶναι τεταγμένοι ὑπὸ τῶν νόμων κατ' ἐκείνην τὴν ἡμέραν. προχωρῶν δὲ τῷ περὶ παρανόμων κεφαλαίῳ κατὰ τάξιν διάφορον τῆς ἐν τῇ κατὰ Κτησιφῶντος γραφῇ, ὁμιλεῖ

Α. (§. 9—31.) «περὶ αὐτῶν τῶν νόμων, οἳ κεῖνται περὶ τῶν ὑπευθύνων, παρ' οὓς τὸ ψήφισμα τοῦτο γέγραφε Κτησιφῶν, »

Ἐνταῦθα διεξελθὼν πῶς πολλοὶ τῶν ὑπευθύνων ποτὲ ἀναγορευόμενοι ἐν τοῖς ἀγῶσιν ὅτι στεφανοῦνται ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ ϛεφάνῳ, ὕϛερον ἐν ταῖς εὐθύναις, καίτοι κλέπται τῶν δημοσίων χρημάτων ἐξελεγχόμενοι, διέφευγον τὴν προσήκουσαν ποινὴν διὰ τοὺς πρότερον ἐπαίνους καὶ κηρύγματα, καὶ πῶς ἕνεκα τούτου ἐτέθη νόμος «διαρρήδην ἀπαγορεύων τοὺς ὑπευθύνους μὴ ϛεφανοῦν, καὶ ὅμως ὁ Κτησιφῶν ὑπερπηδήσας αὐτὸν γέγραφε μεταξὺ Δημοσθένην ἄρχοντα στεφανοῦν» (9—12.), ἀναιρεῖ ἐκ τῶν προτέρων τὰς τῶν ἐναντίων προφάσεις, « ὡς ἄρα, ὅσα τις αἱρετὸς ὢν πράττει κατὰ ψήφισμα, οὐκ ἔϛι ταῦτα ἀρχή,

ἀλλ' ἐπιμέλειά τις καὶ διακονία προστεταγμένη κατὰ ψήφισμα, καὶ ὡς διὰ τὴν ἐπίδοσιν οὐκ ἔστιν ὑπεύθυνος (13-23). ὅτι δὲ ὄντως ἦν ὑπεύθυνος ὁ Δημοσθένης ὅτε ὁ Κτησιφῶν εἰσήνεγκε τὸ ψήφισμα, ἄρχων μὲν τὴν ἐπὶ τῶν θεωρικῶν ἀρχήν, ἄρχων δὲ τὴν τῶν τειχοποιῶν, οὐδετέρας δέ πω τῶν ἀρχῶν τούτων λόγον δεδωκὼς» διδάξας ἐκ τῶν δημοσίων γραμμάτων ἀναιρεῖ καὶ ἕτερον λόγον τοῦ ἀντιδίκου «ὡς οὔτ' ἔλαχε τειχοποιὸς οὔτ' ἐχειροτονήθη ὑπὸ τοῦ δήμου» (24—31.), ἀλλ' ἠρέθη ὑπὸ τῆς αὐτοῦ φυλῆς.

Β. (§. 32—48). ὁμιλεῖ περὶ τῶν νόμων, οἱ κεῖνται περὶ τῆς ἀναρρήσεως τοῦ στεφάνου, καὶ ἀποδείξας ὅτι ὁ ὢν «εἰς τὴν ἀπολογίαν ἑαυτῶν οἴσουσι» Δημοσθένης καὶ Κτησιφῶν εἶναι Διονυσιακὸς νόμος περὶ τῶν ξενικῶν στεφάνων κείμενος καὶ μηδόλως ἐφαρμοστέος ἐνθάδε μεταβαίνει εἰς τὸ ὑπόλοιπον

Γ. (§. 49—176.) μέρος τῆς κατηγορίας, ἐφ' ᾧ *μάλιστα*, λέγει, *σπουδάζει*, εἰς τὴν πρόφασιν δηλ. «δι' ἣν αὐτὸν ἀξιοῖ Κτησιφῶν στεφανοῦσθαι.»

Ἐνταῦθα ἐπιχειρεῖ «ἐπιδεικνύναι ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς, καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστα, οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ (50.),» καὶ τὸ μὲν τὸν Δημοσθένους βίον ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγούμενος, λέγει μόνον ὅσα οὗτος ἔπραξε κατήγορος γενόμενος τῶν οἰκείων καὶ τῶν πατρικῶν αὐτῷ φίλων, καὶ τὰ περὶ Μειδίαν (51—53.), περὶ δὲ τῶν δημοσίων ἀδικημάτων τέσσαρας καιροὺς ἀκούων ὅτι «μέλλει καταριθμεῖσθαι Δημοσθένης, ἐν οἷς πεπολίτευται, καὶ ἐπερωτᾶν ὁποίου τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορεῖ,» ἀποκρίνεται ὅτι «ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορεῖ» αὐτοῦ (54—57.), διότι κατὰ μὲν τὸν

α) καιρόν, λέγει, «συστὰς μετὰ Φιλοκράτους πλείω μὲν γέγραφε ψηφίσματα Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ συμμαχίας, καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολάκευκε

Φίλιππον καὶ τοὺς παρ' ἐκείνου πρέσβεις, αἴτιος δὲ γέγονε τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ Φιλίππῳ πεποίηκε, βουλευτὴς ὢν ἐκ παρασκευῆς, Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει (58—76.), καὶ ὅμως ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ, πρῶτος πυθόμενος τὴν Φιλίππου τελευτήν, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν ἐβουθύτει καὶ παρηνόμει, ὁ μισότεκνος καὶ πατὴρ πονηρός» (77—78.).

β) ἀλλ' ἐπειδὴ μετὰ τὴν καταστροφὴν τῶν Φωκέων «ἐν ταῖς μεγίσταις ἦσαν αἰτίαις οἱ περὶ τῆς εἰρήνης πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλοκράτης καὶ Δημοσθένης διὰ τὸ μὴ μόνον πρεσβεύειν ἀλλὰ καὶ τὰ ψηφίσματα γεγραφέναι, συνέβη δ' ἐν τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι Δημοσθένην καὶ Φιλοκράτην (ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας), »τότε ἐλπίζων πιστὸς τῷ δήμῳ φανήσεσθαι προδοὺς τοὺς συμπρέσβεις καὶ φίλους, μετέβαλε γνώμην, καὶ δι' ἐπανειλημμένων ἀπεχθειῶν πρὸς Φίλιππον «*τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν καὶ τὸν πόλεμον παρεσκεύασεν*» (79—83.). Ἀλλὰ καὶ ἡ ἣν δωροδοκηθεὶς ὑπὸ Καλλίου τοῦ Χαλκιδέως ἔγραψε πρὸς Εὐβοεῖς συμμαχία ὑπῆρξε τῇ μὲν πόλει ἐπιβλαβὴς καθὸ ἀφαιρέσασα «τὰς ἐξ Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα,» αὐτῷ δὲ ἀφορμὴ χρηματισμοῦ καὶ αἰσχρᾶς δωροδοκίας (84—105.).

γ) κατὰ δὲ τὸν γ', ὅτε δηλ. πρὸς Φίλιππον ἐπολέμουν χρόνον μέχρι τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ, οὐ μόνον «ἠσέβησεν εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς δωροδοκούμενος τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσιν ὑπὸ τῶν ἐπαράτων Ἀμφισσέων, ἀλλὰ δὴ καὶ ἄδικον καὶ οὐδαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας ἀνήκεστα παρεσκεύασε κακὰ Θηβαίοις τε καὶ Ἀθηναίοις ὁ τῆς Ἑλλάδος ἀλιτήριος» (106—138.).

δ) τὸν δ'. τέλος καιρόν, ἐπιφέρει, τοὺς μὲν πρώτους

χρόνους τῆς δυστυχίας τῆς πόλεως «ὑπότρομος καὶ ἡμιθνὴς εἰρηνοφύλακα ἐκέλευεν Ἀθηναίους χειροτονεῖν αὐτόν, ἐπειδὴ δ' ἐτελεύτησε Φίλιππος πάλιν αὖ τερατευόμενος εἰς αἰτίαν εὐαγγελίων θυσίας τὴν βουλὴν κατέστησεν, ἔσκωπτε δὲ Ἀλέξανδρον, καὶ ὅμως ὕστερον δι' Ἀριστίωνος γράμματα πέμψας πρὸς αὐτὸν πολλὴν κολακείαν πεποίηται, ὅθεν καὶ οὐδενὶ τῶν τριῶν καλλίστων καιρῶν φαίνεται κεχρημένος, οἷς ἔδει χρῆσθαι, εἰ πολεμικῶς εἶχε πρὸς Ἀλέξανδρον» (159—167.). καὶ δημοτικὸν μὲν λέγει ἑαυτόν, ἀλλ' οὐ μόνον οὐδὲν τῶν τῷ δημοτικῷ ὑπαρχόντων ὑπάρχει αὐτῷ, ἀλλὰ «καὶ Σκύθης ἐστὶ τὰ ἀπὸ τῆς μητρός, βάρβαρος ἑλληνίζων τῇ φωνῇ» ὡς ἔκ τε τῆς καθ' ἡμέραν διαίτης καὶ τῆς ἀνανδρίας αὐτοῦ δῆλον (168—176.).

Ἐν δὲ τοῖς ἑξῆς (ἤτοι ἀπὸ §. 177—260.) καταστρέφων τὸν κατὰ Κτησιφῶντος λόγον

α) προτρέπει τοὺς δικαστὰς καταλῦσαι « τὰς ἀφθόνους ταύτας δωρεὰς καὶ τοὺς εἰκῇ διδομένους στεφάνους » τοὺς σπανίους παρὰ τοῖς προγόνοις, καίτοι «ἄνδρες τότε ἦσαν ἀμείνους ἢ νυνί » (177—190.), ἐν δὲ ταῖς παρανόμων γραφαῖς ἀναλαβεῖν τὴν παλαιὰν αὐςηρότητα (191—200.), καὶ μὴ παράγεσθαι τοῖς Κτησιφῶντος καὶ Δημοσθένους δόλοις καὶ τεχνάσμασιν, ἀλλὰ « μάλιστα μὲν μὴ προσδέχεσθαι κακοῦργον ἄνθρωπον (τὸν Δημοσθένην) οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἂν δ' ἄρα δόξῃ αὐτοῖς ἀκούειν αὐτοῦ, ἀξιῶσαι αὐτὸν ἀπολογεῖσθαι τὸν αὐτὸν τρόπον, ὃν περ καὶ αὐτὸς κατηγόρησεν, ἤτοι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον, καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δέ, τὸ μέγιστον, ὡς οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς » (201—214.),

β) ἀναιρεῖ ἐκ τῶν προτέρων, καθ' ὑποφοράν, ὅσα μέλλει λοιδορεῖσθαι αὐτῷ Δημοσθένης (215—229.),

γ) τέλος, πανταχόθεν ἐξελέγξας τὴν Κτησιφῶντος γνώμην οὐ μόνον ἄνομον καὶ τοὺς νεωτέρους διαφθείρουσαν,

ἀλλὰ καὶ αἰσχύνης πρόξενον τῇ τε πόλει, καθ' ἃς ἡμέρας «μέλλει τὰ Πύθια γίγνεσθαι καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι,» καὶ τοῖς ἀξίως τιμηθεῖσιν ἀγαθοῖς ἀνδράσι, παραστήσας δὲ Σόλωνα, Ἀριστείδην, Θεμιστοκλέα «καὶ αὐτοὺς τοὺς τάφους τοὺς τῶν προγόνων στενάξοντας, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν στεφανωθήσεται,» κελεύει «τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθαι» (230—260.).

Ἤδη εὐκόλως κατανοεῖ ἕκαστος ὅτι ὁ Αἰσχίνου ἀντίδικος δὲν εἶναι ὁ Κτησιφῶν, ἀλλ' ὁ ἐπὶ τοσαῦτα ἔτη τοὺς Αἰσχίνου σκοποὺς ματαιώσας καὶ τὴν αὐτονομίαν τῆς ἑαυτοῦ πατρίδος κατὰ Φιλίππου καὶ τῶν μακεδονιζόντων ὑπερασπισάμενος Δημοσθένης, καὶ ὅτι ὁ Αἰσχίνης τὸ Κτησιφῶντος ψήφισμα ἀφορμὴν ποιησάμενος ἐζήτησε διὰ τῆς τούτου καταδίκης ὁλόκληρον τὸν Δημοσθένους πολιτικὸν βίον κατακρῖναι. καὶ προτάσσων τὰ περὶ τῶν νόμων, τῶν τε περὶ τῶν ὑπευθύνων κειμένων καὶ τῶν περὶ τῆς τοῦ στεφάνου ἀναρρήσεως, δείκνυσι μὲν ὅτι κήδεται τῶν νόμων καὶ τῆς πολιτείας, ἀλλὰ τὸ πλεῖστον τοῦ λόγου (ἀπὸ §. 49. καὶ ἑξῆς) ἀναλώσας τῇ κατηγορίᾳ τῶν Δημοσθένους πολιτευμάτων ἁπάντων, καὶ αὐτῶν τῶν ἀρίστων εἶναι ὁμολογουμένων, καὶ ἐπὶ τούτῳ δὴ τῷ μέρει τῆς κατηγορίας λέγων ὅτι *μάλιστα σπουδάζει*, αὐταῖς χερσὶν ἀναιρεῖ διὰ μιᾶς ἣν μετὰ τοσούτων μόχθων καὶ ἐπὶ ἑδραίων βάσεων ἀνήγειρεν οἰκοδομήν, τρόπον τινὰ διακηρύττων ὅτι προκειμένου κορέσαι τὸ ἀχόρταγον πάθος αὐτοῦ καὶ νόμοι καὶ πολιτεία μικρᾶς ἢ καὶ οὐδεμιᾶς σπουδῆς ἄξιά εἰσι παρ' αὐτῷ, τοῦθ' ὅπερ καὶ ἔργῳ διαβεβαιοῖ παριστῶν τὸν ἀντίδικον αὐτοῦ δωροδοκούμενον παρὰ Καλλίου, παρὰ Κλειτάρχου, παρὰ τῶν Ὠρειτῶν, παρὰ τῶν Ἀμφισσέων, παρὰ Θηβαίων, παρὰ βασιλέως, παρὰ τοῦ δημοσίου, *παρ' αὐτοῦ τοῦ Φιλίππου*, οὐδενὸς ἀγαθοῦ οὐδὲ τοῦ ἐλαχίστου, ἀλλὰ πάντων τῶν κακῶν καὶ αὐτῆς τῆς καταστροφῆς τῶν Φωκέων καὶ τῆς τῶν Θηβαίων, *ἁπάντων τῶν τῆς Ἑλλάδος ἀτυχημάτων* αἴτιον ἀποκαλῶν αὐτόν, ἐνὶ

λόγῳ οὐδενὸς φειδόμενος μέσου θεμιτοῦ τε καὶ ἀθεμίτου εἰς ἀνάψυξιν τῆς πρὸς ἐκδίκησιν δίψης αὐτοῦ.

Οὕτω καιρίως προσβεβλημένος ὁ Δημοσθένης ἔπρεπε βεβαίως καὶ ὡς συνήγορος, φυσικῷ τῷ λόγῳ, τοῦ Κτησιφῶντος καὶ ὡς Ἀθηναῖος πολίτης, ἀλλὰ δὴ καὶ σύμβουλος Ἀθηναίων ἐπὶ τοσαῦτα ἔτη, γενναίως ν' ἀντικρούσῃ τὰς τοῦ ἐχθροῦ προσβολάς· καὶ δὴ καὶ ἀναδεχθεὶς τὸν λόγον, ἀφοῦ πρῶτον βραχέα τινὰ ἀπελογήθη ὁ Κτησιφῶν,

ἐν μὲν τῷ προοιμίῳ (*ὑπὲρ Κτησιφῶντος περὶ τοῦ στεφάνου* §. 1—8.) εὔχεται τοῖς θεοῖς πᾶσι καὶ πάσαις ἐμπνεῦσαι τοῖς δικασταῖς τοσαύτην εὔνοιαν, ὅσην αὐτὸς διηνεκῶς ἔχει τῇ πόλει, ἵνα ἐπιτρέψωσιν αὐτῷ νὰ μεταχειρισθῇ ἐν τῇ ἀπολογίᾳ αὐτοῦ οἵαν τάξιν προαιρεῖται, καθόσον μάλιστα ἐλαττοῦται Αἰσχίνου κατὰ δύο καὶ μεγάλα ἐν τῷ αὐτῷ τε καὶ Κτησιφῶντι κοινῷ τούτῳ ἀγῶνι. ἐπαναλαβὼν δὲ τὴν αὐτὴν εὐχὴν καὶ ἐν τέλει τοῦ προοιμίου (§. 8.),

καταδείκνυσι (§. 9.) τὴν ἀνάγκην τοῦ ἀπολογεῖσθαι πρῶτον περὶ τῶν παρεκβατικώτερον κατηγορημένων, καὶ (§. 10.) περὶ μὲν τῶν εἰς τὸν ἰδιωτικὸν αὐτοῦ βίον λοιδοριῶν τοῦ Αἰσχίνου παρακαλεῖ τοὺς δικαστάς, ἵνα ἐπιφέρωσιν εὐθὺς ἣν ψῆφον ἤθελον κρίνει δικαίαν, τὴν δὲ λοιπὴν ἀπολογίαν (μετὰ γενικώτερά τινα §. 11 — 19. περὶ κακοηθείας καὶ τῆς πρὸς αὐτὸν ἔχθρας τοῦ Αἰσχίνου) διελὼν εἰς τρία γενικὰ κεφάλαια,

Α. §. 17—52. ἀναιρεῖ τὰς περὶ τῆς φιλοκρατείου εἰρήνης κατηγορίας τοῦ Αἰσχίνου, ἤτοι τὰς περὶ τοῦ κατ' Αἰσχίνην α'. καὶ β'. τῶν τεττάρων καιρῶν, ἐν οἷς πεπολίτευται, ὡς ἑξῆς·

α) ἐκτίθησιν ὅτι ἡ μὲν εἰρήνη ἐγένετο διὰ τὰς τότε περιστάσεις καὶ οὐχὶ δι' αὐτὸν οὔπω πολιτευόμενον τότε, τῶν δὲ κακῶν συνεπειῶν αὐτῆς ὑπῆρξεν αἴτιος ὁ Αἰσχίνης καὶ οἱ κοινωνοὶ αὐτοῦ, καὶ οὐκ αὐτός (17—24.),

β) ὅτι καὶ μετὰ τὴν εἰρήνην, ἐνῷ αὐτὸς προὐνόει τὸ τῇ πόλει συμφέρον, ὁ Αἰσχίνης Φιλίππῳ συνηγωνίζετο πάντα,

κατά τε τὴν κατάληψιν τῶν ἐπικαίρων τόπων τῆς Θρᾴκης (25—30), καὶ κατὰ τὴν καταστροφὴν τῶν Φωκέων (31—41).

γ) ἐπανέρχεται αὖθις εἰς τὴν ἔκθεσιν τῆς τότε καταστάσεως τῆς Ἑλλάδος, καὶ μετὰ τῶν προδοτῶν καὶ δωροδόκων συναριθμεῖ Αἰσχίνην, καίτοι εὔσχημον ὄνομα ζητοῦντα δοῦναι τῇ μισθαρνίᾳ αὐτοῦ (42—52.).

Β. §. 53—125. ἀναιρεῖ τὰ ἐν τῇ κατὰ Κτησιφῶντος γραφῇ περιεχόμενα κατὰ τὴν αὐτὴν τῇ ἐκείνης τάξιν.

ἐνταῦθα Α) ἐξετάζων ἐὰν ἔχηται ἀληθείας τὸ τοῦ Κτησιφῶντος «ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ βέλτιστα τῷ δήμῳ,» καὶ διαγράψας ἣν μέλλει τηρεῖν τάξιν (56—59.), ἐπαριθμεῖ τοὺς ὑπὲρ ἀρχῆς καὶ δυναστείας ἀγῶνας τοῦ Φιλίππου καὶ τὰς ἀδικίας αὐτοῦ, καὶ διὰ τῶν ἐπανειλημμένων αὐτοῦ ἐρωτήσεων ἐξάγει ἀναγκαῖον συμπέρασμα καὶ ὑπ᾽ αὐτοῦ τοῦ ἀντιδίκου ὁμολογούμενον, ὅτι «ἔδει *Ἀθηναίους ὄντας* καὶ τῆς τῶν προγόνων ἀρετῆς κατὰ τὴν ἡμέραν ἑκάστην τοσαῦθ᾽ ὑπομνήματα ὁρῶντας μὴ παραχωρῆσαι Φιλίππῳ *τῷ ἐκ Πέλλης* τῆς τῶν Ἑλλήνων ἀρχῆς, ὡς ἄλλοι τινὲς τῆς Ἑλλάδος λαοί, ἀλλὰ δικαίως ἐναντιοῦσθαι πᾶσιν οἷς ἐκεῖνος ἔπραττεν ἀδικῶν αὐτούς, τὸν δ᾽ Ἀθήνησι σύμβουλον λέγειν καὶ διδάσκειν σύμφωνα τῷ φρονήματι καὶ τῇ ἀξίᾳ τῆς πόλεως» (60—72). ἀποδείξας δὲ ἐξ αὐθεντικῶν ἐγγράφων ὅτι καὶ τὴν εἰρήνην ὁ Φίλιππος ἔλυσε, καὶ οὐχ ἡ πόλις (73—78.), ἐκτίθησι α) *τὰ ἑλληνικὰ πολιτεύματα* αὐτοῦ, πῶς δηλ. ἔσωσεν ἐκ τῶν χειρῶν τοῦ Φιλίππου πρότερον μὲν τὴν Εὔβοιαν, διὸ καὶ ἐστεφανώθη ὑπὸ τοῦ δήμου, ἀκολούθως δὲ τὴν Χερρόνησον, τὸ Βυζάντιον, ἐξ ὧν ἡ πόλις ἀπήλαυσεν ἐπαίνους, δόξας, τιμάς, στεφάνους, χάριτας παρὰ τῶν εὖ πεπονθότων (79—94.). ὅτι δὲ συνέφερε χρήσασθαι τοῖς πράγμασιν οὕτως ἀποδείκνυται καὶ ἐκ προηγουμένων παραδειγμάτων τῆς πόλεως (95-101.). β) *τὰ κατὰ*

τὴν πόλιν πολιτεύματα αὐτοῦ, ὅσα δηλ. ἔπραξε πρὸς βελτίωσιν τῶν τριηραρχιῶν θεὶς συμφέροντα νόμον, ὡς καὶ διὰ πείρας ἤδη ἐβεβαιώθησαν (102—109.).

Β) τοῦ περὶ τῶν εὐθυνῶν κεφαλαίου ἁψάμενος «ὁμολογεῖ πάντα τὸν βίον εἶναι ὑπεύθυνος ὧν ἢ διακεχείρικεν ἢ πεπολίτευται, οὐ μέντοι ὧν ἐκ τῆς ἰδίας οὐσίας τῷ δήμῳ δέδωκεν,» ὁ δὲ Κτησιφῶν περὶ τούτων ἔγραψε στεφανῶσαι αὐτόν, ἀλλ' οὐ περὶ ὧν ἦν ὑπεύθυνος, ἄλλως δὲ καὶ πολλοὶ ἄλλοι, καίτοι ὑπεύθυνοι, εἶχον στεφανωθῇ ἤδη ἐφ' οἷς ἐπέδωκαν (110—119.).

Γ) τὸ δ' ἐν τῷ θεάτρῳ κηρύττεσθαι τὸν στέφανον διατείνεται ὅτι ἦν συγκεχωρημένον, ἐάν τινας ὁ δῆμος ἢ ἡ βουλὴ ψηφίσηται (120.).

Τελευτῶν δὲ τὸ γενικὸν τοῦτο κεφάλαιον δι' ἀποστροφῆς τεχνικωτάτης ἐπιπλήττει τὸν Αἰσχίνην ὅτι ἀναιδῶς μετεποίησε τοὺς νόμους, τινῶν δὲ ἀφῄρεσε μέρη, ὁ τῆς πόλεως μᾶλλον ἐχθρὸς ἢ αὐτοῦ (121—125.).

Γ. §. 126—323. ἀναιρεῖ τὰς εἰς αὐτὸν λοιδορίας τοῦ Αἰσχίνου, ἀπολογούμενος καὶ περὶ τῶν πολιτευμάτων αὐτοῦ ἐκείνων, ὅσα ἐκ τοῦ κατ' Αἰσχίνην γ'. καιροῦ παρέλειψεν ἀνωτέρω.

Ἐνταῦθα δὲ μετὰ γενικώτερά τινα ὀνείδη περὶ γένους Αἰσχίνου καὶ τῶν βεβιωμένων αὐτῷ (126—131.), διηγεῖται τά τε πρὸ τοῦ πολεμεῖν (132—138.) καὶ τὰ ἐν πολέμῳ ὑπὲρ Φιλίππου ἔργα αὐτοῦ, κατ' ἐξοχὴν δὲ ὅσα πυλάγορος χειροτονηθεὶς ἔπραξεν ὑπὲρ Φιλίππου ἐνεργήσας «τὸν ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν ἠρέθη Φίλιππος τῶν Ἀμφικτυόνων ἡγεμών, καὶ ὃς ἀνέτρεψεν ἅπαντα τὰ τῶν Ἑλλήνων (139—159.)», ἐν ᾧ αὐτὸς παρετήρει ὅπως μὴ γένοιτο συμμαχία τις Φιλίππου καὶ Θηβαίων, μόνος ἐν τῷ γενικῷ θορύβῳ τῆς πόλεως διὰ τὴν ὑπὸ Φιλίππου κατάληψιν τῆς Ἐλατείας συμβουλεύσας τὰ συμφέροντα τῇ πατρίδι, καὶ

ἅπανθ' ὅσα ἔδει ἀπὸ τῆς ἀρχῆς ἄχρι τῆς τελευτῆς πράξας, καὶ δοὺς ἑαυτὸν ἁπλῶς εἰς τοὺς περιεστηκότας τῇ πόλει κινδύνους, καὶ συνδιαλλάξας τὰς πόλεις, Θήβας καὶ Ἀθήνας, ἀφώνου τοῦ Αἰσχίνου ἐν ταῖς ἐκκλησίαις καθημένου· καὶ ὅμως συκοφαντεῖ νῦν τὰ συμβάντα ὁ βάσκανος, οὐδὲ λογίζεται ὅσα «χρῆν προσδοκᾶν, εἰ μηδὲ Θηβαίους ἔσχον συμμάχους, ἀλλὰ Φιλίππῳ προσέθεντο καὶ οὗτοι, καὶ εἴ που τῆς Ἀττικῆς ταὐτὸ τοῦτο πάθος συνέβη· καίτοι εἰ καὶ πρόδηλα ἦν ἅπασι τὰ μέλλοντα γενήσεσθαι, οὐδ' οὕτως ἀποστατέον τῇ πόλει τῶν ὑπὲρ αὐτονομίας ἀγώνων ἦν, εἴπερ ἢ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον» (160—210). ἐπανελθὼν δὲ εἰς τὴν ἔκθεσιν τῆς μετὰ Θηβαίων συμμαχίας καὶ τῶν πρώτων νικηφόρων ἀγώνων, ἀνθ' ὧν καὶ ἐστεφανώθη ὑπὸ τῶν Ἀθηναίων, ἐπιπλήττει Αἰσχίνην ζητοῦντα μεταλλάξαι τὴν περὶ ἑκατέρου ὑπάρχουσαν ὑπόληψιν, ἐκτίθησιν ἃς τῇ πόλει συνήγαγε δυνάμεις, ἐξελέγχει τὸ βάσκανον καὶ φιλαίτιον τοῦ αὐτόχρημα συκοφάντου τούτου, τῆς δ' ἐν Χαιρωνείᾳ ἥττης ὑπευθύνους εἰπὼν τοὺς στρατηγούς, τὴν τύχην καὶ οὐχὶ ἑαυτόν, ὡς πολλαχῶς ἀπέδειξε τοῦτο καὶ ὁ τῶν Ἀθηναίων δῆμος μετὰ τὴν μάχην ταύτην (211—251.), ἐπιφέρει μετὰ φιλοσοφικώτερά τινα περὶ τύχης σύγκρισιν τῆς ἑαυτοῦ τύχης τῇ τοῦ Αἰσχίνου (252—290.) καὶ τῶν πολιτευμάτων αὐτοῦ τοῖς ἐκείνου (291—323).

Ἐν τῷ ἐπιλόγῳ τέλος (§. 324.) εὔχεται τοῖς θεοῖς τούτοις μέν, Αἰσχίνῃ δηλ. καὶ τοῖς κοινωνοῖς αὐτοῦ, ἐμπνεῦσαι βελτίω τινὰ νοῦν καὶ φρένας, εἰ δ' ἔχουσιν ἀνιάτως, ἐξώλεις καὶ προώλεις ποιῆσαι αὐτούς, τοῖς δὲ λοιποῖς Ἀθηναίοις δοῦναι σωτηρίαν ἀσφαλῆ.

Καὶ αὕτη ἡ δικαία ὄντως εὐχὴ τοῦ Δημοσθένους εἰσηκούσθη ἐν μέρει ὡς πρὸς τὸν Αἰσχίνην, διότι οὐδὲ τὸ πέμπτον μέρος τῶν ψήφων λαβὼν ὑπέκυψε κατὰ τοὺς νόμους τῷ προστίμῳ τῶν χιλίων δραχμῶν· οὐ δυνάμενος δὲ φέρειν τὴν αἰσχύνην, ἐγ-

καταλείψας διὰ παντὸς τὰς Ἀθήνας ἔφυγεν εἰς Ῥόδον, ἔνθα ἐπεξειργάσθη καὶ ἐξέδωκε τὸν κατὰ Κτησιφῶντος λόγον αὐτοῦ.

Τοιοῦτον πέρας ἔλαβεν ἡ πολύκροτος αὕτη δίκη, οἷον ἀμφιβάλλομεν ὅτι ἤθελε λάβει, εἰ μὴ Δημοσθένης ἦν ὁ ἕτερος τῶν ἀγωνιζομένων· διότι ὅσῳ εὐκαθαίρετοι καὶ ἂν ἦσαν αἱ τοῦ Αἰσχίνου λοιδορίαι, οὐδὲν ἧττον εἶχεν ἡ δίκη τὸ τρωτὸν μέρος αὐτῆς, ἀλλὰ καὶ ἡ τότε πολιτικὴ ἰσχὺς τῆς μακεδονικῆς μερίδος καὶ τὸ ἄστατον τοῦ λαοῦ τοῦ ἀείποτε ὑπὸ τῶν ἰσχυρῶν ἀγομένου καὶ φερομένου ἐπικίνδυνον καθίστων τὸν ἀγῶνα, ὥστε ὁ Δημοσθένης δραττόμενος τῆς εὐκαιρίας ἵνα διὰ τῆς ἀπολογίας αὐτοῦ δικαιώσῃ ἐνώπιον τῶν Ἑλλήνων οὐ μόνον τὸν ἑαυτοῦ πολιτικὸν βίον, ἀλλὰ καὶ ὁλόκληρον τὴν κατὰ Φιλίππου πολιτικὴν τῆς πατριωτικῆς μερίδος, ἐδέησεν ἀναπτύξαι ἐν τῷ λόγῳ τούτῳ πᾶσαν αὐτοῦ τὴν ῥητορικὴν δεινότητα, ἵνα ἐπιτύχῃ τοιούτου νικηφόρου τέλους. οὕτω βλέπομεν αὐτὸν ὅτι κατ' ἀρχὰς μὲν ἀρκεῖται κακίσαι τὴν πρόθεσιν τοῦ ἀντιδίκου αὐτοῦ ὑπὸ φθόνου μόνον ἐπιχειρήσαντος τῇ δίκῃ ταύτῃ, καὶ ὑπὸ τὰ ἀμαυρότερα χρώματα παραστῆσαι τὰς ὑπὲρ Φιλίππου πράξεις αὐτοῦ, ὀλίγα τινὰ ἐπιφέρων περὶ ἑαυτοῦ, καὶ ταῦτα εἰς ὕφος μετριοφρονέστατον καὶ μόνον πρὸς βραχεῖαν ἀναίρεσιν τῶν Αἰσχίνου κατηγοριῶν. χαρακτηρίσας δὲ αὐτὸν δι' ἰσχυρῶν ἀποδείξεων προδότην τῆς πατρίδος καὶ μισθωτὸν Φιλίππου τε καὶ Ἀλεξάνδρου, τότε μόλις ἄρχεται τῶν ἑαυτῷ πεπολιτευμένων, οὐχὶ πάλιν ἀμέσως, ἀλλὰ προτάξας τὸ ἀνέκαθεν φρόνημα τῆς πόλεως καὶ ὡς τούτου ἀπόρροιαν παριστῶν αὐτά. καὶ ἄρχεται μὲν τῶν περὶ ἑαυτοῦ λόγων ἐκ τῶν ἐνδόξως αὐτῷ πεπολιτευμένων, τῆς Βυζαντίου, Χερρονήσου καὶ Εὐβοίας σωτηρίας, ἀλλὰ ταῦτα πάντα ἀπονέμει Ἀθηναίοις, ἑαυτῷ δὲ ἐπιφυλάττει μόνον τὸ προνόμιον τοῦ τῇ πόλει λέγοντος καὶ πράττοντος τὰ βέλτιστα καὶ σύμφωνα τοῖς τῶν προγόνων παραδείγμασιν. οὕτω δὴ ὀχυρώσας τὸν λόγον, τἆλλα δύο κεφάλαια τῆς γραφῆς, τό τε περὶ τῶν εὐθυνῶν καὶ τὸ περὶ τοῦ κηρύγματος, εἰς τὸ μέσον τοῦ λόγου ἀπορρίπτει, ὡς ὀρθῶς παρεστη-

ρησαν οἱ ἀρχαῖοι σχολιασταὶ στρατηγικῶς « κακοὺς εἰς μέσον » ἐλάσας (α), καὶ οἰκονομεῖ αὐτὰ ὑπ' ὄψιν πάντῃ διάφορον τῆς τοῦ Αἰσχίνου θεωρῶν αὐτά, ὠφελούμενος ἔκτε προηγουμένων ὁμοίων παραδειγμάτων καὶ ἐκ τοῦ ὅτι τότε ἤδη πρὸ πολλοῦ εἶχε δώσει, καὶ ταῦτα ἀνεπιλήπτως, τὰς εὐθύνας. προδιαθεὶς δὲ τοὺς ἀκούοντας δυσμενῶς τῷ Αἰσχίνῃ διά τε τῶν κατ' αὐτοῦ ὕβρεων καὶ διὰ τῆς ζωηρᾶς ἐκθέσεως τῶν κατὰ τῆς πόλεως καὶ ὑπὲρ τοῦ ἐχθροῦ πράξεων αὐτοῦ, οὕτω τέλος ἅπτεται τῶν κατὰ Χαιρώνειαν ἀτυχημάτων, καὶ διὰ τῆς δεινοτέρας εὐγλωττίας ἐκτίθησι τοὺς κατὰ τὴν δεινὴν ἐκείνην ἐποχὴν ὑπὲρ πατρίδος πολυειδεῖς ἀγῶνας αὐτοῦ. ἀδύνατον δὲ παριστῶν τὸ ἄλλως, ἢ ὅπως αὐτὸς συμβεβούλευκε, πρᾶξαι ἄξια τῶν προγόνων φρονοῦντας, ἐνδιατρίβει τῇ τε ἑαυτοῦ τῇ πόλει εὐνοίᾳ καὶ τῷ ἐν παντὶ καιρῷ χρησίμῳ, καὶ τῇ τοῦ Αἰσχίνου συστηματικῇ δυσμενείᾳ, δι' ἣν οὐδ' ἐν τοῖς ἐσχάτοις κινδύνοις τῆς πόλεως οὐδ' ἐλάχιστόν τι συνήνεγκεν ὑπὲρ αὐτῆς, καίτοι οὐκ ἀπορῶν.

Τοιαύτη ἔντεχνος οἰκονομία τοῦ λόγου ἐπόμενον ἦν αἴσιον πέρας νὰ ἐπιφέρῃ, καὶ ὅμως ὁ ῥήτωρ δὲν ἔλειψεν ἐμψυχῶν τὴν ἀγόρευσιν καὶ δι' ἑτέρων μέσων πρὸς ἀποφυγὴν τοῦ μονοτόνου τῆς διηγήσεως, ὁτὲ μὲν αἴφνης ἐξερχόμενος τοῦ λόγου εἰς ἐπίκλησιν θεῶν, ἢ εἰς ἀποστροφὴν τῷ ἀντιδίκῳ ἢ τοῖς ἀκροαταῖς, ὁτὲ δὲ διὰ σκωμμάτων, ὕβρεων, σαρκασμῶν καὶ πικρῶν εἰρωνειῶν ἡδύνων τοὺς φιλοσκώμμονας Ἀθηναίους, καὶ διεγείρων τὸ φιλήκοον αὐτῶν, ὁτὲ δὲ διὰ ῥητορικῶν σχημάτων, σπανίων ἐκφράσεων, ἐκπληκτικῶν προσφωνήσεων, θαυμασίων ὅρκων καὶ παραδόξων ἐρωτήσεων ἑλκύων τὴν προσοχὴν αὐτῶν, τοὺς δ' ἑαυτοῦ ἐπαίνους μετριάζων ἤτοι ἀναμιγνὺς αὐτοῖς καὶ τοὺς Ἀθηναίων, ἢ ἀποτεινόμενος ἐν αὐτοῖς πρὸς τὸν Αἰσχίνην, ὡς ἐκείνου τὰς λοιδορίας ἀναιρῶν καὶ οὐχ ἑαυτὸν ἐπαινῶν, ἐν γένει μεταχειριζόμενος εἴ τι καλὸν προλαβεῖν πάντα

(α) Ὁμ. Ἰλ. Δ. στ. 299.

κόρον ἔκ τε τῆς ἀναγκαίας περιαυτολογίας καὶ ἐκ τῆς πληθύος τῶν ἀναιρεθησομένων κατηγοριῶν δυνάμενον προελθεῖν.

Ἐπὶ πᾶσι τούτοις φαντασθῶμεν καὶ τὴν μίμησιν καὶ τὴν μεθ' ἧς ἀπήγγειλε ταῦτα ῥητορικὴν ὑπόκρισιν, ᾗ ἀπένεμε Δημοσθένης πᾶσαν τὴν δύναμιν τῆς τέχνης τῆς πειθοῦς, καὶ δι' ἣν θηρίον ἀπεκάλεσεν αὐτὸν ὁ Αἰσχίνης (Πλιν. Ἐπιστ. Β. 10. παράβαλε καὶ τὰ ἐν τέλει τοῦ παραρτήματος), καὶ ἔξομεν τελείαν ἔννοιαν τῶν μεγάλων τοῦ λόγου τούτου ἀρετῶν, δι' ἃς εὐλόγως ἀπεφήναντο αὐτὸν οἱ ἀρχαῖοι *κράτιστον πάντων λόγων* καὶ περὶ πολλοῦ ἐποιοῦντο τὴν ἀνάγνωσιν αὐτοῦ, ὁ δὲ Κικέρων καὶ εἰς τὴν Λατινίδα φωνὴν μετήνεγκεν αὐτόν (de opt. gener. c. 5.). εἰ δὲ κατὰ τοὺς νεωτέρους χρόνους προσέκρουσάν τινες ταῖς ἐν §. 129. καὶ 258. καὶ ἑξῆς προσωπικαῖς κατ' Αἰσχίνου λοιδορίαις ταῖς ἧττον εὐσχήμοσι, τοῦτο οὐδόλως ἐλαττοῖ τὴν ἀξίαν τοῦ λόγου, καθότι ἐν αἷς πολιτείαις ἐπικρατεῖ πλήρης ἐλευθερία τοῦ λέγειν οὐδόλως παράδοξοί εἰσι τοιαῦται παρεκτροπαί, τοῖς δὲ ἀρχαίοις ἦσαν καὶ συνήθεις.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΥΠΕΡ
ΚΤΗΣΙΦΩΝΤΟΣ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ.

XVIII. σ. 225. 226. R.

Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην *ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν,

§. 1. Πρῶτον μέν—τοῖς θεοῖς—πάσαις] ὁ Ρήτωρ ἄρχεται τοῦ λόγου πανηγυρικῶς δι' ἐπικλήσεως ὅλων τῶν θεῶν καὶ θεαινῶν κατὰ τὸ ὁμηρικὸν ἐκεῖνο «κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι» (Ἰλ. Θ'. 5.), ἀναιρῶν οὕτω τὰ τοῦ Αἰσχίνου κατηγορήσαντος αὐτὸν ὡς ἀσεβῆ πρὸς τοὺς θεοὺς καὶ ἀλιτήριον (κ. Κτησ. 106. κ. ἑ.), τὸν δὲ λόγον καθιστῶν ἀφελῆ ἠθικὸν καὶ ἀξιόπιστον (Ἑρμογένης περὶ ἰδεῶν σ. 309 — 10. καὶ 338.). — Ἡ ἐν ἀρχῇ τοῦ λόγου ἐπίκλησις τῶν θεῶν ἦν συνηθεστέρα παρὰ Ρωμαίοις, ἢ παρὰ τοῖς τότε Ἕλλησιν. ἐκ τῶν συγχρόνων τοῦ Δημοσθένους παρὰ Λυκούργῳ μόνον (ἐν τῷ κ. Λεωκρ.) εὑρηται τοιαύτης ἐπικλήσεως παράδειγμα. W. — πάσαις] ἐλλείπει ταῖς θεαῖς· — ὅσην εὔνοιαν—τοσαύτην] ῥητορικὴ ἀναστροφὴ τῶν μελῶν τῆς περιόδου, ἀντὶ τοῦ τοσαύτην—ὅσην, ἵν' ἀναμνήσας τοὺς δικαστὰς τὴν πρὸς αὐτοὺς διηνεκῆ αὐτοῦ εὔνοιαν συγκινήσῃ αὐτοὺς εἰς εὐμενῆ παραδοχὴν τῆς ἀπαιτήσεώς του, οὔσης ἄλλως καὶ δικαίας· ἐὰν αὐτὸς πάντοτε εἶχεν εὔνοιαν αὐτοῖς, δικαίως ἠδύνατο ἀπαιτῆσαι, ἵνα καὶ αὐτοὶ εἰς τουτονὶ τὸν ἀγῶνα ἀποδώσωσιν αὐτῷ ἴσην εὔνοιαν. D. — ἔχων—διατελῶ] ἀντὶ τοῦ ἀεὶ ἔχω. Σχολ.—συνήθως τὰ ῥήματα ἐκφράζουσι τὴν κυρίαν ἔννοιαν, αἱ δὲ μετοχαὶ τὴν δευτερεύουσαν, καὶ ὅμως ἔν τισι ῥήμασι συμβαίνει τοὐναντίον, ἤτοι ἡ κυρία ἔννοια ἐκφράζεται διὰ μετοχῆς προσδιοριζομένης ὑπὸ τοῦ ῥήματος. τοιαῦτα εἶναι τὰ ῥήμ. διατελῶ, διαμένω, τυγχάνω, λανθάνω, καί τινα ἄλλα εἰς τινας φράσεις μόνον ἀπαντώμενα ἐν τοιαύτῃ χρήσει, οἷον φαίνεσθαι κ.τ.λ.— ὑπάρξαι] κατ' ἀόριστον, ὡς καὶ τὰ ἑπόμενα παραστῆσαι, ποιήσασθαι, καθότι ἡ ἀπαίτησις εἶναι στιγμιαία, διὰ τὴν παροῦσαν μόνον περίστασιν, ἀντιθέτως τοῦ ἔχων διατελῶ. CH. — καὶ τῆς ὑμ.—δόξης] ἐπεξήγησις τοῦ γενικωτέρου ὑπὲρ ὑμῶν· καὶ εὐσέβεια μὲν εἶναι ἡ πρὸς τοὺς θεούς, διαδηλουμένη διὰ τῆς ἀκριβοῦς τηρήσεως τοῦ δικαστικοῦ ὅρκου, δόξα δὲ ἡ παρ' ἀνθρώποις ἀγαθὴ φήμη ἡ παρακολουθοῦσα τοὺς εὐορκοῦντας δικαστάς. εἰς πολλὴν δ' οἰκειότητα ἐπάγεται τοὺς δικαστὰς εὐχόμενος παραστῆσαι (= ἐμπνεῦσαι) τοὺς θεοὺς αὐτοῖς οὐχὶ ἧττον ἢ οἵκτον, ἢ ἄλλο τι ἐνδιαφέρον ἑαυτῷ, ἀλλ' ὅ τι συντείνει πρὸς εὐσέβειαν καὶ δόξαν αὐ-

μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν
2 ὑμᾶς ἐμοῦ δεῖ (σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε), ἀλλὰ τοὺς νόμους καὶ τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροάσασθαι. τοῦτο δ' ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προήρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι.

3 Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου, δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα, ἓν μὲν ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς

τῶν τούτων καὶ κοινῶς καὶ ἰδίως, τοῦθ' ὅπερ ἐπαναλαμβάνει αὐτολεξεὶ καὶ ἐν τέλει τοῦ προοιμίου (§. 8.). — μὴ τὸν ἀντίδικον σύμβουλον] « ἀντίθεσις ἐγγὺς κειμένη τὸ ἄτοπον τῶν ὀνομάτων βιάζεται. ὁ μὲν γὰρ ἀντίδικος πολέμιος, ὁ δὲ σύμβουλος προσφιλής.» Οὐλπ.— περὶ τοῦ — δεῖ] « πλεῖον δὲ τοῦ κάλλους καὶ τὸ τῆς ἐπιμελείας ἔχουσιν αἱ μικραὶ τῶν λέξεων, καὶ αἱ δι' ὀλίγων συγκείμεναι συλλαβῶν, οἷον περὶ τοῦ πῶς ὐ. ἀ. κ. ἐ μ ο ῦ δ ε ῖ.» Ἑρμογ. π. ἰδ. σ. 281. — Διὰ τούτων ἀναιρεῖ ὁ Δημ. τὴν ἐν §. 205. τοῦ κ. Κτησ. πρότασιν τοῦ Αἰσχίνου. « οὕτω δὴ καὶ τὸν Δημ. ἀξιώσατε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον, καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ — ὡς οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς.» ἁπλούστερον ἦν εἰπεῖν « περὶ τοῦ πῶς δεῖ ἐμὲ ἀπολογεῖσθαι», ἀλλ' ὁ ῥήτωρ τεχνηέντως ἐκλέγει φράσεις ἁρμονικὰς, ἅμα τε ἱκανὰς κινῆσαι κατὰ τοῦ ἀντιδίκου τὴν ἀγανάκτησιν τῶν δικαστῶν, καθὸ τολμήσαντος ὑποχρεῶσαι αὐτοὺς καὶ περὶ τοῦ πῶς δεῖ αὐτοὺς ἀκούειν τοῦ ἀπολογουμένου.

2. τὸν ὅρκον] τύπος τοῦ δικαστικοῦ τούτου ὅρκου κεῖται ἐν τῷ κ. Τιμοκρ. τοῦ Δημοσθένους (§. 149. κ. ἑ.) περιέχων πρὸς τοῖς ἄλλοις καὶ τὰ, « καὶ ἀκροάσομαι τοῦ τε κατηγόρου καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν.» W. — τοῦτο δ'] τὸ ὁμοίως ἀμφοῖν ἀκροάσασθαι. W. — οὐ μόνον] τὸ μόνον ἐννοεῖται ἀπὸ κοινοῦ καὶ εἰς τὸ ἑπόμενον οὐδὲ, ὅθεν ἀποδοτέον τὸ οὐ εἰς τὸ ῥῆμα = οὐκ ἔστι μόνον τὸ μὴ προκ. μηδὲν, οὐδὲ μόνον τὸ ἀποδοῦναι κτλ. παράβαλε §. 93. 107. — κ. Φιλ. Γ', 53. — προκατεγνωκέναι] πρὸ τῆς δίκης διδόναι γνώμην κατά τινος, καταδικάζειν πρὶν ἀκοῦσαι. B. — ἀποδοῦναι] ὥς τι ὀφειλόμενον ἐξ ἴσου ἀμφοτέροις τοῖς δικαζομένοις. παρβλ. Ὀλυνθ. Β'. 30. W. — ἀλλὰ — χρήσασθαι] ἐν τῷ « ὁμοίως ἀμφοῖν ἀκροάσασθαι » δὲν ἔγκειται τοιαύτη τις ἔννοια, ἥτις παρεντίθεται ἐνταῦθα ὑπὸ τοῦ ῥήτορος ἰδίως πρὸς ἔνδειξιν τοῦ ἀνόμου τῶν ἀξιώσεων τοῦ Αἰσχίνου (κ. Κτησ. 205.). W.— τῇ τάξει] τοῦ λόγου. — ἀπολογίᾳ] ἡ λογικὴ ἀκρίβεια ἀπήτει λέξιν γενικωτέρας ἐννοίας ἐφαρμοζομένην ἀμφοτέροις καὶ οὐχὶ τῷ ἀπολογουμένῳ μόνον, οἷον ἀποδείξει· πλὴν ἡ ἀπολογία ἰδίως ἕλκει τὴν προσοχὴν τοῦ Δημ. D. — ὡς βεβούληται] ἡ ἀναφορικὴ πρότασις τιθεμένη πρὸ τῆς δεικτικῆς καθιστᾷ τὸν λόγον ἐμφαντικώτερον· τὸ δὲ βεβούληται καὶ προήρηται (=ἠθέλησε καὶ προὐτίμησε) οὐκ ἐστὶ συνώνυμα, ἀλλ' ἐπισωρευτικὰ ἐννοιῶν. CH.

3. οὐ περὶ — ἀγωνίζομαι] ὁ Αἰσχίνης μὴ λαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων, ὤφειλεν ἀποτῖσαι

παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν καὶ τούτῳ μὴ ἐλεῖν τὴν γραφήν, ἀλλ' ἐμοὶ μέν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου, οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ. ἕτερον δ', ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι· τούτων τοίνυν ὃ μέν ἐστι πρὸς ἡδονήν, τούτῳ δέδοται, 4
ὃ δὲ πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνοχλεῖ, λοιπὸν ἐμοί. κἂν μὲν εὐ-

μένον χιλίας δραχμάς, καὶ ἀποστερεῖσθαι τοῦ δικαιώματος τοῦ ἐγκαλεῖν τινα, τοὐναντίον αἱ κατὰ Δημοσθένους κατηγορίαι τοῦ Αἰσχίνου ἦσαν τόσῳ πολλαὶ καὶ δειναί, ὥστε ἡ καταδίκη τοῦ Κτησιφῶντος ἀναγκαίως ἔμελλε νὰ συνεπιφέρῃ τὴν κατάκρισιν καὶ σύμπαντος τοῦ ἰδιωτικοῦ τε καὶ πολιτικοῦ βίου τοῦ Δημ. καὶ ν' ἀποστερήσῃ αὐτὸν τῆς εὐνοίας, ἤτοι τῆς τιμῆς καὶ ὑπολήψεως τῶν συμπολιτῶν του, ὅπερ ἦν αἰσχρότερον θανάτου. τοῦτο ἰδίως καθιστᾷ τὸν λόγον τοῦτον ἀξιοτιμότερον παρὰ πάντας τοὺς πολιτικοὺς λόγους τοῦ Δημ. καθὸ ἔκθεσιν τῆς πορείας τῶν ὑπὲρ πατρίδος ἰδιωτικῶν τε καὶ πολιτικῶν ἔργων αὐτοῦ. CH.—οὐ γάρ ἐστιν—τὴν γραφήν] τὸ ἐλεῖν ἢ μὴ ἐλεῖν τὴν γραφὴν ἀμφοτέροις ἦν κοινόν, ἀλλ' ὁ ῥήτωρ ἐπὶ τοῦ ἀντιδίκου μόνον μεταχειρίζεται αὐτό, ἐφ' ἑαυτοῦ δὲ τὸ διαμαρτεῖν τῆς εὐνοίας, ὑπεμφαίνων οὕτω, πιθανῶς, τοῖς ἀκροαταῖς, ὅτι ὁ Αἰσχ. δὲν διέτρεχε τόσῳ μέγαν κίνδυνον, μὴ ἔχων ἵνα φοβηθῇ τὴν ἀποστέρησιν τῆς παρ' αὐτῶν εὐνοίας, ἣν οὐδέποτε εἶχεν ἀποκτήσει, ἢ πρὸ πολλοῦ εἶχε στερηθεῖ. J. — ἀλλ' ἐμοὶ μέν] « τὸ σχῆμα ἀποσιώπησις, τὸ μὲν ἵνα μὴ δύσφημα λέγῃ ἐν ἀρχῇ τοῦ λόγου, τὸ δὲ ἵνα ὑπόνοιαν πλείονα τῷ ἀκροατῇ παρεμβάλλῃ σιωπήσας τὴν ῥῆσιν. » Ουλπ. κατὰ δὲ Δημήτριον (π.Ερμην. §.234.) « ὁ Δημοσθ. σχεδὸν σιωπήσας ἐνταῦθα δεινότερος παντὸς τοῦ εἰπόντος ἂν. » συμπληροῦσι δὲ αὐτὴν διὰ τοῦ, « ἀλλ' ἐμοὶ μὲν τὸ διαμαρτεῖν τῆς παρ' ὑμῶν εὐνοίας ἔστι τὸ διαμαρτεῖν τοῦ παντός ». — ἐκ περιουσίας] τὸ δημοσθένειον τοῦτο πράγματα παρέσχε τοῖς Σχολιασταῖς· ἴσως ἐννοεῖ δι' αὐτοῦ ὁ ῥήτωρ, ὅτι ὁ Αἰσχ. ἔχων περιουσίαν καὶ χρημάτων καὶ χρόνου (σχολὴν δηλ.), πρὸς δὲ, καὶ μῖσος ἀδιάλλακτον κατ' ἐμοῦ καὶ φθόνον, ἐπεχείρησε τῷ ἀγῶνι τούτῳ μηδὲν μέγα ἔχων διακινδυνεῦσαι, ὡς ἐγώ. — ἕτερον δ'] τὸ ἕτερον τοῦτο εἶναι, κατὰ τοὺς Σχολιαστάς, τὸ « τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαιν. δ' αὐτοὺς ἄχθεσθαι », πλὴν τοῦτο ὅλον ἐκ τοῦ ὃ φύσει μέχρι τοῦ τούτων τοίνυν ἐστὶ παρεμπίπτον, καὶ ἀφαιρουμένου τοῦ ἀναφορ. ὅ, ἀπετελεῖ γνωμικὸν ἀπολύτως ἀληθὲς καὶ οὐδὲν ἔχον ἴδιον τῷ Δημ. καὶ Αἰσχίνῃ μᾶλλον, ἢ παντὶ ἄλλῳ, ἑπομένως τὸ καθ' ὃ ἐλαττοῦται ὁ ῥήτωρ τοῦ Αἰσχίνου εἶναι τὸ « τούτων τοίνυν ὃ μέν ἐστι πρὸς ἡδονὴν τούτῳ δέδοται, ὃ δὲ πᾶσιν ἐνοχλεῖ,—λοιπὸν ἐμοί. » ἡ πρώτη ἐξήγησις προῆλθε πιθανῶς ἐκ τῆς παρεξηγήσεως τοῦ ὃ (=καὶ τοῦτο) καὶ ἐκ τοῦ ὡς ἰδιαιτέρου λόγου ἐπιφερομένου τούτων τοίνυν κτλ., ἔνθα ὁ τοίνυν κεῖται οὐχὶ συλλογιστικῶς, ἢ συμπερασματικῶς, ἀλλὰ συγκεφαλαιωτικῶς εἶτ' ἐπαναληπτικῶς (=ἡμῖ), ὡς καὶ ἐν §. 249. ἡ δ' ἔννοια· καθ' ἕτερον δ' ἐλαττοῦμαι τοῦ Αἰσχ. (καὶ τοῦτο ἔχουσι φυσικὸν ἰδίωμα πάντες, ἵνα τὰς μὲν λοιδορ. καὶ τὰς κατηγ. ἀκούωσιν ἀσμένως, τοῖς δ' ἐπαινοῦσιν ἑαυτοὺς δυσαρεστῶνται), ἐκ τούτων, λέγω, ὅ τι μὲν τείνει πρὸς ἡδονήν, ἐδόθη τούτῳ, ὅ τι δὲ πάντας, συντόμως εἰπεῖν, ἐνοχλεῖ, ἔστιν ὑπόλοιπον ἐμοί.

4. Κἂν]κατὰ κρᾶσιν ἀντὶ τοῦ καὶ ἂν· ἀτόνιστον δὲ (κἀν), ἀντὶ τοῦ καὶ ἐν. — εὐλαβούμενος] εὐλαβοῦμαι κυρίως ἅπτομαί τινος πράγματος μετὰ προσοχῆς καὶ φόβου· ὅθεν σημαίνει καὶ τὸ φυλάττεσθαι, φεύγειν

λαβούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι δεικνύναι· ἐὰν δ' ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. *πειράσομαι μὲν οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ τι δ' ἂν τὸ πρᾶγμα αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δίκαιος ἔχειν ὁ τοιοῦτον ἀγῶνα ἐνστησάμενος.

5 Οἶμαι δ' ὑμᾶς πάντας, ὦ ἄνδρες Ἀθηναῖοι, ἂν ὁμολογῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶνα ἐμοὶ καὶ Κτησιφῶντι, καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί· πάντων μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῷ τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας

τι κακόν. Β. — τοῦτο] τὸ ἐνοχλεῖν ὑμῖν.—μὴ λέγω τὰ πεπραγμ. ἐμ.] « ἠθικώτατα οὐκ εἶπεν ἐπαινεῖν ἐμαυτόν, ἀλλὰ λέγειν ἁπλῶς.» Οὐλπ.—ἀπολύσασθαι] κατ' ἀόριστον· καθότι τὰ κατηγορημένα ἦσαν προσδιωρισμένα, ἡ δ' ἐξέλεγξις αὐτῶν ἐθεωρεῖτο πρᾶξις ἁπλῆ· τοὐναντίον κατ' ἐνεργῶτα τὸ δεικνύναι, καθ' ὅσον προτίθεται ὁ ῥήτωρ ἐκθεῖναι διὰ πολλῶν τὰ ἐφ' οἷς ἀξιοῖ τιμᾶσθαι ἀόριστα τὸν ἀριθμὸν, ἐπιμένων ἐπ' αὐτοῖς δι' ὅλου τοῦ λόγου. ἀμφότερα δ' ἐξαρτῶνται ἐκ τοῦ ἔχειν. CH. — πεποίηκα καὶ πεπολίτευμαι] ὁ CH. τὰ θεωρεῖ ὡς συνώνυμα. πρβλ. §. 45. — βαδίζω] κατὰ μεταφοράν (= προχωρῶ τακτικῶς εἰς τὴν διήγησιν τῶν ἰδιωτικῶν τε καὶ πολιτικῶν μου πράξεων). « εἰ γὰρ δὴ οἶμος ἡ ὁδός ἐστι, καὶ τὸ προοίμιον ὡς ὁδὸς τοῦ παντὸς λόγου, — οὐκ ἀλλότριον ὡς πρὸς ὁδὸν τὸ βαδίζειν.» Οὐλπ. — ἀναγκασθήσομαι—ἀναγκάζῃ] « ὁ Δημ. ἐν τῷ περὶ τοῦ στεφ. μέλλων ἑαυτὸν ἐπαινεῖν, καὶ τὴν ἑαυτοῦ πολιτείαν, πολλάκις χρῆται τῇ ἀνάγκῃ.» Ἑρμογ. π. μεθ. δεινότ. σ. 430. — ὡς μετριώτατα] τὸ ὡς ἐπιτατικόν, = ὅσον ἔνεστι μετριώτατα. πρβλ. §. 256. — τοῦτο] τὸ περὶ ἐμαυτοῦ λέγειν. — τὸ πρᾶγμα αὐτὸ] ἡ αὐτὸς κεῖται ἐνταῦθα κατὰ διασταλτικὴν ἔννοιαν = ἡ περίστασις αὐτὴ καθ' ἑαυτήν, χωρὶς ν' ἀναμιχθῇ οὐδὲν πάθος, οὔτε φιλαυτία δηλ. οὔτε ἀπέχθεια, κτλ..

5. Κοινόν—ἐμοὶ καὶ Κτησιφῶντι] δι' οὓς ἐν §. 3. ἐξεθέμεθα λόγους. πρῶτος δ' ἀπελογήθη ὁ Κτησιφῶν ὡς ἰδίως κατηγορούμενος, μετ' αὐτὸν ἀπολογεῖται ὁ Δημοσθ. ὡς ἐπίσης ἐνοχοποιούμενος, καὶ συνήγορος αὐτοῦ. CH. — οὐδὲν] οὐδαμῶς. — πάντων] οὐχὶ ὡς τι ὅλον ἀποκλειστικῶς, ἀλλ' ὡς ἐκφραστικὸν ἑκάστου τῶν συνιστώντων τὸ ὅλον = οὐτινοσοῦν (οἱουδήποτε ἀγαθοῦ). W.— ἄλλως τε κἂν] καὶ ἐν ἄλλαις περιστάσεσι, καὶ μάλιστα ἐάν. — ὑπ' ἐχθροῦ—συμβαίνῃ] τὸ συμβαίνῃ ἐνταῦθα = τῷ προέλθῃ· ὅθεν λαμβάνει καὶ ποιητικὸν αἴτιον διὰ γενικῆς ἐμπροθέτου· ὀρθότατα κρίνει ὁ ῥήτωρ· οἱονδήποτε δυστύχημα προελθὸν ἐκ τύχης δὲν προξενεῖ τὴν αὐτὴν βαθεῖαν θλῖψιν, οἵαν ἐπενεχθὲν ὑπό τινος ἐχθροῦ. τὰ ἐκ τύχης ὑπομένομεν μετὰ πλείονος ἀνοχῆς ὡς πεπρωμένα καὶ ἀναπόφευκτα.— μάλιστα δὲ τῆς—φιλανθρωπίας] ἀντιθέτως τῶν παρ' Αἰσχίνῃ κ. Κτησ. §. 210. « ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς

καὶ φιλανθρωπίας, ὅσῳ περ καὶ τὸ τυχεῖν τούτων μέγιστόν
ἐστιν. περὶ τούτων δ' ὄντος τουτουὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ 6
δέομαι πάντων ὁμοίως ὑμῶν ἀκοῦσαί μου περὶ τῶν κατηγο-
ρημένων ἀπολογουμένου δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν,
οὓς ὁ τιθεὶς ἐξ ἀρχῆς Σόλων, εὔνους ὢν ὑμῖν καὶ δημοτικός,
οὐ μόνον τῷ γράψαι κυρίους ὥετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ
τοὺς δικάζοντας ὁμωμοκέναι, οὐκ ἀπιστῶν ὑμῖν, ὡς γ' ἐμοὶ φαί-
νεται, ἀλλ' ὁρῶν, ὅτι τὰς αἰτίας καὶ τὰς διαβολάς, αἷς ἐκ τοῦ 7
πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν,
εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν τὴν πρὸς τοὺς θεοὺς εὐσέ-
βειαν φυλάττων, καὶ τὰ τοῦ λέγοντος ὑστέρου δίκαια εὐνοϊκῶς
προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις
ἀκροατήν, οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ ἁπάντων.

νόμους. » W. — τὸ τυχεῖν—ἐστι] ἡ ὑψηλὴ αὕτη ἐκτίμησις τῆς εὐνοίας καὶ φιλανθρωπίας ὑποτίθεται ὅτι λίαν εὐχάριστος ἦν τοῖς Ἀθηναίοις τοῖς καὶ ἄλλως ἐπὶ φιλανθρωπίᾳ μέγα φρονοῦσι (πρ. Λεπτ. §. 109). CH.

6. Ἀξιῶ καὶ δέομαι] « τὸ μὲν ἀξιῶ τὸ δίκαιον, νομίζω, ὑπολάβοι ἄν τις, τὸ δὲ δέομαι σαφῶς τὸ ἱκετεύω δηλοῖ, ὥστε διὰ μὲν τοῦ ἀξιῶ φυλάττει τὸ φρόνημα, διὰ δὲ τοῦ δέομαι θηρεύει τὸν ἔλεον. » Οὐλπ. — ὁμοίως] ἐπίσης, ἀνεξαιρέτως. — οὓς ὁ—Σόλων κτλ.] ταῦτα πιθανῶς ἀναφέρονται εἰς τὰ ἐν §. 257. τοῦ κ. Κτησ., ἔνθα ὁ Αἰσχ. διαμαρτυρόμενος κατὰ τοῦ Δημ. τὰς σκιὰς τῶν τῆς πόλεως εὐεργετῶν ἐπιφέρει « (ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος) Σόλωνα τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθόν, σωφρόνως ὡς προσῆκεν αὐτῷ δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων. » W. — τῷ γράψαι] διὰ τοῦ προτεῖναι αὐτοὺς ἐγγράφως (οἱ εἰς τὴν ἐκκλησίαν τοῦ δήμου παρουσιαζόμενοι νόμοι ἔπρεπε νὰ προτείνωνται ἐγγράφως). — κυρίους—εἶναι] ἔχειν κῦρος, τοὐναντίον τοῦ ἀκύρους εἶναι. — ὁμωμοκέναι] ἡ λογικὴ ἀκρίβεια ἀπήτει, φαίνεται, τὸ ὀρκίζειν, ἐπιβάλλειν ὅρκον, ἀλλ' ὁ ῥήτωρ καταλλήλως μετεχειρίσθη τὸ ὁμωμοκέναι καθὸ ἔχον περιποιητικωτέραν ἔννοιαν, καὶ ἐκφράζον ἧττονα ἐπιβολὴν τῆς θελήσεως τοῦ νομοθέτου ἐπὶ τῶν δικαστῶν. CH. — ἀπιστῶν—ὁρῶν] αἰτιολογικαὶ μετοχαὶ ἐξηγητέαι διὰ παρατατικοῦ.

7. τὰς αἰτίας] κατὰ τὴν δικαστικὴν γλῶσσαν τῶν Ἀθηναίων ἡ κατηγορία πρὸ τῆς ἀποδείξεως ἐλέγετο αἰτία (Δημ. κ. Ἀνδροτ. §. 22.), μετὰ δὲ τὴν ἀπόδειξιν ἔλεγχος, καὶ ἀδίκημα μετὰ τὴν καταδίκην. — παρελθεῖν] « προσφόρως εἶπε τὸ παρελθεῖν ὡς ἐπὶ δρομέων λαβών. » Οὐλπ. ὡς διώκων καὶ φεύγων ἐπὶ κατηγόρου καὶ κατηγορουμένου κατὰ τὴν αὐτὴν μεταφοράν. — τὴν εὐσέβειαν] ἴδ. §. 1. σημ. — τοῦ λέγ. ὑς ἕρου] (= ἀπολογουμένου) δυνάμει ἔλξεως ἀντὶ τοῦ λέγοντος ὕστερον· αἱ φράσεις « πρότερος λέγων, ὕστερος λέγων, ὕστατοι εἰπόντες » συνήθεις τοῖς ῥήτορσι. — δίκαια] δικαιολογήματα, ὅσα ὁ κατηγορούμενος ἔχει εἰπεῖν πρὸς δικαιολογίαν αὐτοῦ. παρβλ. §. 9. W. — ἴσον—ἀκρ.] παρβλ. §. 2. — τὴν διάγνωσιν] τὴν δικαστικὴν ἀπόφασιν.

8 Μέλλων δὲ τοῦ τε ἰδίου βίου παντός, ὡς ἔοικε, λόγον διδόναι τήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλομαι πάλιν τοὺς θεοὺς παρακαλέσαι, καὶ ἐναντίον ὑμῶν εὔχομαι, πρῶτον μέν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν *ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅ τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι.

9 Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἄλλα διεξιὼν ἀνήλωκε καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα βρα-

8. Μέλλων — διδόναι] περιφραστικὸς μέλλων, ὡς καὶ τὸ ἑπόμενον μέλλει συνοίσειν, εἰς δήλωσιν πράξεως προκειμένης γενέσθαι. — τοῦ τε ἰδίου] τοῦ ἰδιωτικοῦ ἀντιθέτως τῶν κοινῇ πεπολιτευμένων. — ὡς ἔοικε] κεῖται εἰς περιορισμὸν τῆς περιληπτικῆς ἐννοίας τοῦ παντός· τοιοῦτοι ἐνδοιασμοὶ εἰσὶ συνήθεις τῷ Δημοσθένει, ὡς καὶ παντὶ ἐμβριθῶς σκεπτομένῳ. CH. — ὅ τι μέλλει συνοίσειν] ἀντικείμ. τοῦ γνῶναι. — πρὸς εὐδοξίαν] = καλὴν ὑπόληψιν. — κοινῇ] = κοινῶς πάντων, οὐχὶ δηλ. τῶν δικαστῶν μόνον, ἀλλὰ καὶ τῶν πολυαρίθμων ἀκροατῶν, ἀφ' ὧν ἐπίσης προσδοκᾷ ὁ ῥήτωρ τὴν ἀθώωσίν του, ἣν ἐννοεῖ διὰ τοῦ ὅ τι μέλλει συνοίσειν κτλ., καὶ ἥτις εἰς μὲν τὴν κοινὴν εὐδοξίαν συντελεῖ, καθ' ὅσον ἐν πᾶσι τοῖς ἀφορῶσι τὰς ἑλληνικὰς πολιτείας αὐτὸν εἶχον σύμβουλον οἱ Ἀθηναῖοι, καὶ αὐτοῦ τοὺς λόγους καὶ τὰ ψηφίσματα εἶχον διαπράξει, ὥστε ἡ καταδίκη αὐτοῦ ἤθελεν εἶναι καταδίκη τῆς μέχρι τοῦδε πολιτικῆς πορείας τῶν Ἀθηναίων [ιδέα, ἥτις ἀναπτύσσεται πληρέστερον πολλαχοῦ τοῦ παρόντος λόγου, ῥητῶς δ' ἐκφέρεται ἐν §. 207.], συντελεῖ δὲ καὶ εἰς τὴν ἀτομικὴν εὐσέβειαν ἑκάστου τῶν συνεδριαζόντων δικαστῶν, καθότι ἦσαν ὡρκισμένοι ἵνα δικάσωσι κατὰ τοὺς νόμους. CH. — τοῦτο] ἐπανάληψις τοῦ ἀνωτέρω ὅ τι μέλλει συνοίσειν. — γνῶναι] (= διαγνῶναι, ἀποφασίσαι) ἀντικείμ. τοῦ παραστῆσαι.

9. ἐδίωκε — κατηγόρησεν] ἐνταῦθα ὁ ῥήτωρ διακρίνει τὸ διώκειν τοῦ κατηγορεῖν, ἐννοῶν διὰ μὲν τοῦ πρώτου τὴν κατὰ Κτησιφῶντος παρανόμων γραφὴν τοῦ Αἰσχίνου, διὰ δὲ τοῦ κατηγόρησεν τὴν ἐνώπιον τῶν δικαστῶν προφορικὴν ἔκθεσιν τῶν ἐν τῇ παρανόμων γραφῇ περιεχομένων (= ἂν μ' ἐκατηγόρει μόνον δι' ὅσα μ' ἐνεκάλεσε). παρβλ. §. 15. «κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί». W. — περὶ αὐτοῦ τοῦ προβουλεύματος] = αὐτοῦ μόνου τοῦ προβουλ. «προβούλευμα τὸ ὑπὸ τῆς βουλῆς ψηφισθὲν πρὶν εἰς τὸν δῆμον εἰσενεχθῆναι.» Ἁρποκρατίων. — προβούλευμα καλεῖ τὸ ψήφισμα τοῦ Κτησιφ. ἐπειδὴ περ ἤδη ἐκυρώθη ἐν τῇ βουλῇ. Σχολ. οἱαδήποτε πρότασις πρὶν νὰ εἰσαχθῇ εἰς τὴν ἐκκλησίαν ἔπρεπε νὰ ἐγκριθῇ ὑπὸ τῆς βουλῆς. — εὐθὺς) ἀπ' εὐθείας, χωρὶς νὰ παρεκτραπῶ εἰς ἄλλο τι. — διεξιὼν] διηγούμενος λεπτομερῶς. — ἀναγκαῖον] ἴδ. §. 4. σημ. — βραχέα] τὰ βραχέα ταῦτά ἐστι 44 ὅλαι §. ἀπὸ τοῦ 10 δηλ. μέχρι τοῦ 54 σημ.

χέα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν λόγοις ἠγμένος ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου.

Περὶ μὲν δὴ τῶν ἰδίων ὅσα λοιδορούμενος βεβλασφήμηκε περὶ ἐμοῦ, θεάσασθε ὡς ἁπλᾶ καὶ δίκαια λέγω. εἰ μὲν ἴστε με τοιοῦτον, οἷον οὗτος ἠτιᾶτο (οὐ γὰρ ἄλλοθί που βεβίωκα ἢ παρ' ὑμῖν), μηδὲ φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα τὰ κοινὰ ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀναστάντες καταψηφίσασθε ἤδη· εἰ δὲ πολλῷ βελτίω τούτου καὶ ἐκ βελτιόνων, καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γιγνώσκετε, τούτῳ μὲν μηδ' ὑπὲρ τῶν ἄλλων πιστεύετε (δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο), ἐμοὶ δ', ἢν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθε

—τοῖς ἔξωθεν] τοῖς ἐκτὸς τοῦ προκειμένου, οἷα τὰ περὶ τοῦ ἰδιωτικοῦ βίου αὐτοῦ, τὰ περὶ τῆς φιλοκρατείου εἰρήνης κλπ. — ἠγμένος) προκατειλημμένος, ἠπατημένος. Δ. — ἀλλοτριώτερον] συνεκδοχικῶς ἀντὶ τοῦ ψυχρῶς πως, ἀδιαφόρως· φύσει ἐνδιαφερόμεθα εἰς πᾶν ὅ τι οἰκεῖον ἡμῖν, καὶ μετά τινος ζέσεως ἀκούομεν τοὺς περὶ τούτου λόγους, τοὐναντίον εἰς πᾶν ἀλλότριον διακείμεθα ψυχρῶς.— ὑπὲρ τῆς γραφῆς] ἡ ὑπὲρ ἐνταῦθα κεῖται ἀντὶ τῆς περὶ (ὡς καὶ ἐν Ὀλυνθ. Α. 1. καὶ κ. Φιλ. Δ. 1.), καθὼς τἀνάπαλιν ἡ περὶ συνεχῶς τίθεται ἀντὶ τῆς ὑπὲρ· οἷον καὶ τὸ περὶ τοῦ στεφάνου = ὑπὲρ τοῦ στεφάνου.— δικαίων] = δικαιολογημάτων. ἴδ. §. 7. — ἀκούῃ] δίπτωτον μετὰ διπλῆς γενικῆς, ἤτοι προσώπου δηλωτικῆς (μου) καὶ πράγματος (τῶν δικαίων).

10. Περὶ μὲν δὴ τῶν ἰδίων] τῶν ἀφορώντων τὸν ἰδιωτικόν μου βίον. —μηδὲ φωνὴν ἀνάσχησθε] μὴ ἀνεχθῆτε μηδὲ λέξιν νὰ προφέρω. — καταψηφίσασθε ἤδη] ψηφοφορήσατε κατ' ἐμοῦ (καταδικάσατέ με) τώρα εὐθύς. βαθέως πρέπει νὰ συνηθάνετο ὁ ῥήτωρ τὴν ἀξίαν τῶν ἰδιωτικῶν αὐτοῦ πράξεων, ἵνα προτείνῃ τοιαύτην τινα τολμηρὰν πρόκλησιν τοῖς Ἀθηναίοις. — καὶ ἐκ βελτιόνων] ἀναφέρεται εἰς τὰ ἐν §. 171—172. τοῦ κ. Κτησ. — μηδενὸς τῶν μετρίων —λέγω] τὸ μέτριος ἐξελαβόν τινες οὐκ ὀρθῶς κατὰ τὴν παρ' ἡμῖν συνήθη σημασίαν. = ἧττον καλὸς· παρὰ τοῖς πάλαι Ἀθηναίοις μέτριος ἦν ὁ ἔχων τὸ ἀπαιτούμενον μέτρον ἀρετῆς, σοφίας, πλούτου, ὁ χρηστὸς, ὁ κατὰ τοὺς Γάλλους, comm'il faut, ἄνθρωπος καθὼς πρέπει. παρβλ. καὶ §. 321. οὕτω μεταφράζουσι τὴν λέξιν καὶ οἱ εὐρωπαῖοι ἐκδόται.—ὑπειλήφατε καὶ γιγνώσκετε] « τὸ ὀχυρώτερον ἐπήγαγε δεύτερον· τὸ μὲν γὰρ (ὑπειλήφατε) ἀμφίβολον, τὸ δὲ (γιγνώσκετε) ὁμολογούμενόν τε καὶ βέβαιον.» Οὐλπ. — ὑπὲρ τῶν ἄλλων] τῶν ἀφορώντων τὴν γραφὴν, τῶν κυρίως ἀντικειμένων τῆς κατηγορίας. — ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο] οὐχὶ διότι ψευσθεὶς ἐν τούτοις ὁ Αἰσχ., ἀναγκαίως ψεύδεται καὶ καθ' ὅλα τἆλλα (διότι τοῦτο εἶναι σόφισμα), ἀλλὰ διότι εἶναι ἐξ ἐπαγγέλματος ψεύστης καὶ συκοφάντης· καὶ τῳόντι, ἀφοῦ ἐτόλμησε νὰ ψευσθῇ περὶ πραγμάτων πασιδήλων, καὶ νὰ διαβάλῃ τόσῳ ἀναιδῶς τὴν διαγωγὴν τοῦ Δημοσθ. τιμωμένου παρὰ πάντων, οὐδὲν παράδοξον ἦν νὰ παραμορφώσῃ κατὰ τὸ δοκοῦν αὐτῷ καὶ ἔγγραφα καὶ νόμους, καὶ τούτους ἀπηρχαιωμένους, ὧν οὐδεμίαν ἢ τὴν ἐλαχί-

11 ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον, καὶ νυνὶ παράσχεσθε. κακοήθης δ' ὤν, Αἰσχίνη, τοῦτο παντελῶς εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με πρὸς τὰς λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι. οὐ δὴ ποιήσω *τοῦτο· οὐχ οὕτω τετύφωμαι· ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων ἃ κατεψεύδου καὶ διέβαλλες ἐξετάσω, τῆς δὲ πομπείας ταύτης τῆς ἀνέδην γεγενημένης ὕστερον, ἂν βουλομένοις ἀκούειν ᾖ τουτοισί, μνησθήσομαι.

12 Τὰ μὲν οὖν κατηγορημένα πολλά, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι διδόασι τιμωρίας· τοῦ δὲ παρόν-

στην γνῶσιν εἶχεν ὁ δῆμος. — ἐπὶ τῶν πρότερον] μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην οἱ ἐν Ἀθήναις μακεδονίζοντες ἐπῄρθησαν, καὶ ἐπέπεσον ὅλαις δυνάμεσιν ἐπὶ τοῦ Δημοσθένους, διαβάλλοντες αὐτὸν ὡς πρωτουργὸν ἁπάντων τῶν δυστυχημάτων τῆς πόλεως, καὶ καθ' ἑκάστην σχεδὸν ἐγκαλοῦντες αὐτὸν ἐπὶ διαφόροις ἐγκλήμασιν. ἴδ. §. 249. ταύτας τὰς δίκας ἐννοεῖ ἐνταῦθα ὁ ῥήτωρ.

11. Αἰσχίνη] σχῆμα λόγου τὸ καλούμενον ἀποστροφή. « ὅταν ἀπὸ τῶν δικαστῶν πρὸς τὸν ἀντίδικον ἀποστρέφῃ (ὁ ῥήτωρ) τὸν λόγον.» Τιβέριος π. Σχημ. σ. 534. ὑπὸ τὸ πρόσχημα δὲ αὐτῆς τεχνηέντως ἀναγγέλλει ὁ ῥήτωρ τὸ σχέδιον τοῦ λόγου αὐτοῦ. — κακοήθης — εὔηθες ᾠήθης] « παρονομασία· ὅταν τι τῶν ληφθέντων εἰς διάνοιαν ὀνομάτων ἢ ῥημάτων βραχὺ μεταποιήσαντες ἑτέραν κινήσωμεν ἔννοιαν.» Ζωναῖος π. Σχημ. σ. 687. — οὕτω καὶ ἐν τῷ κ. Μειδ. §. 207. « εἰ κακῶς ἐμὲ βούλει ποιεῖν Εὖ βούλε.» ἐν γένει ὅμως ὁ Δημοσθ. μετριωτάτην χρῆσιν ποιεῖται τῆς παρονομασίας, καὶ μόνον ὅτε προέρχεται αὕτη οἴκοθεν καὶ ἀζήτητος. W. — κακοήθης] ἀντίθετον τοῦ εὐήθης, (περὶ οὗ ἰδὲ τὴν ἐν §. 44. τοῦ π. Χερρ. σημ.), ἐπομένως = πανοῦργος, πονηρός. — τετύφωμαι] « μαίνομαι ἀπὸ τοῦ Τυφῶνος τοῦ δαίμονος» Σχολ. ἢ ἀπὸ τοῦ τῦφος. — ἃ κατεψεύδου καὶ διέβαλλες] τὸ καταψεύδεσθαι συντάσσεται μετ' αἰτιατικῆς πράγματος δηλωτικῆς καὶ γενικῆς προσώπου (παράβλ. §. 9. καὶ 17.), τὸ δὲ διαβάλλειν μετ' αἰτιατ. προσώπου, σπανίως δὲ καὶ πράγματος, ὡς ἐν §. 28.),=ὅσα ἔλεγες ψευδῶς κατ' ἐμοῦ, καί με διέβαλλες. CH. — πομπείας] « πομπείας καὶ πομπεύειν ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν. Δ. ἐν τῷ ὑπὲρ Κτ. μεταφέρει δὲ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἀμαξῶν λοιδορουμένων ἀλλήλοις. » Ἁρποκρ. — ἀνέδην] ἐκ τοῦ ἀνίημι, =ἀσυστόλως ἀχαλινώτως. — ὕστερον — μνησθήσομαι] κατὰ ταῦτα ἄρα διαιρεῖ ὁ Δημ. τὸν λόγον εἰς τρία γενικὰ κεφάλαια· α) εἰς τὴν ἀναίρεσιν τῶν ἐκτὸς τῆς γραφῆς κατηγοριῶν, β) εἰς τὴν ἀναίρ. τῶν ἐν τῇ γραφῇ περιεχομένων, καὶ γ) εἰς τὴν ἀναίρεσίν τινων λοιδοριῶν ἃς ὁ Αἰσχ. ἐπεσώρευσεν ἐπ' αὐτοῦ. CH. — ἂν βουλομένοις — ᾖ] παρβλ. ὑ. Μεγαλοπ. §. 3. ἠθικὴ δοτικὴ τὸ αἰσθηματικὸν ἀφορῶσα=ἂν οὗτοι οἱ δικασταὶ βούλωνται ἀκούειν. «θηρᾶται πάλιν τῶν καθημένων τὴν εὔνοιαν, ἢ τῇ ἐκείνων γνώμῃ παρακολουθεῖν βούλεται. » Οὐλπ.

12. περὶ ὧν ἐνίων] οἷον περὶ προδοσίας, δωροδοκίας. ἡ δὲ σύνταξις· περὶ ἐνίων ὧν, ἢ πιθανώτερον ἐκληπτέον τὸ ἐνίων ἀπολύτως ὡς περιοριστικὸν τῆς καθόλου σημασίας τοῦ ἀναφ. ὧν = περὶ τῶν ὁποίων ἐνίων τοὐλάχιστον· ὡς παρὰ Θουκυδ. Α', 6. ἔτι δὲ καὶ ἐν τοῖς βαρβάροις ἔστιν οἷς (=ἐνίοις) ἆθλα τίθεται. παρβλ. Ολ. Γ, 11. — π. παραπρ. 260. — Αἰσχ. κ. Κτ. 130. W. — διδόασι] ὡς καὶ ἐν τῷ πρ. Λεπτ.

τος ἀγῶνος ἡ προαίρεσις αὐτὴ ἐχθροῦ μὲν ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα, τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ' ἐγγύς· οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ 13

§. 154. « [οἱ νόμοι] οἵ τε τοῖς ἀγαθόν τι πράττουσι τὰς τιμὰς διδόντες, καὶ οἱ τοῖς τἀναντία πράττουσι τὰς τιμωρίας. » —τοῦ δὲ παρόντος — οὐδ' ἐγγύς] ἀπόδοσις τοῦ τὰ μὲν κατηγορημένα, καὶ λόγος διμελής, οὗ τὰ μέρη συνδέονται ἀλλήλοις πάλιν ἀντιθετικῶς (ἐχθροῦ μὲν —τῶν μέντοι κατηγ.), ἕπεται δὲ αἰτιολογία αὐτοῦ ἐπίσης διμελής, ἤτοι μέχρι μὲν τοῦ δίκαιόν ἐστιν αἰτιολογία τοῦ ἀκώλυτον (ἐχθροῦ μὲν κτλ.), ἀπὸ δὲ τοῦ ἀλλ' ἐφ' οἷς μέχρι τοῦ γραφόμενον αἰτιολογία τοῦ β' (τῶν μέντοι κατηγοριῶν κτλ.). ἡ δ' ἔννοια τῆς περιόδου ὅλης· « αἱ μὲν λοιπὸν κατ' ἐμοῦ κατηγορίαι τοῦ Αἰσχίνου εἰσὶ πολλαὶ καὶ τοιαῦται, περὶ ὧν τινων οἱ νόμοι ἐπιβάλλουσι μεγάλας καὶ τὰς ἐσχάτας τιμωρίας· ὁ σκοπὸς ὅμως τοῦ Αἰσχίνου, δι' ὃν ἐπεχείρησεν εἰς τὴν δίκην ταύτην εἶναι κυρίως, νὰ μὲ κακολογήσῃ ὡς ἐχθρὸς καὶ ὑβρίσῃ καὶ λοιδορήσῃ καὶ ἐξευτελίσῃ ὁμοῦ, καί μοι ἐπισωρεύσῃ πάντα τὰ τοιαῦτα, πλὴν διὰ τούτων ὅλων ἀδύνατον νὰ ἱκανοποιηθῇ ἡ πόλις, ἤτοι τιμωρήσῃ με ἐπαξίως τῶν προσαπτομένων μοι ἐγκλημάτων ἐὰν τυχὸν ταῦτα ἦσαν ἀληθῆ· πολλοῦ γε καὶ δεῖ· διότι ἄλλως [ἐὰν δηλ. ἐπεχείρησεν εἰς τὴν δίκην οὐχὶ ἐπὶ τοιούτῳ σκοπῷ, ἀλλὰ πρὸς ἱκανοποίησιν τῆς πόλεως], δὲν πρέπει νὰ μὲ ἀφαιρέσῃ τὸ προνόμιον τοῦ προσελθεῖν τῷ δήμῳ καὶ ἀπολογηθῆναι, οὔτε νὰ μὲ κατηγορῇ μετ' ἐπηρείας καὶ φθόνου (πρᾶγμα, μὰ τοὺς θεούς, οὔτε ὀρθὸν οὔτε πολιτικὸν οὔτε δίκαιον), ἀλλὰ καθ' ὅσα μ' ἔβλεπεν ὅτι ἀδικῶ τὴν πόλιν, ἐπειδὴ μάλιστα ἦσαν τόσῳ μεγάλα ὅσῳ ἔλεγεν, ἔπρεπε πάραυτα νὰ μοὶ ἐπιβάλῃ τὰς ἐκ τῶν νόμων ὡρισμένας ποινάς, εἰσαγγέλλων μέν, ἂν μ' ἔβλεπε πράττοντα ἔργα εἰσαγγελίας ἄξια, ἐγκαλῶν δὲ ὡς παράνομον ἂν μ' ἔβλεπε γράφοντα παράνομα. » καὶ αὕτη μὲν ἡ ἔννοια τῆς ἐκτεταμένης ταύτης περιόδου, ἣν τινες ἀποσπάσαντες ἐκ τῆς ὅλης ὑφῆς τῆς καὶ μέχρι τοῦ §. 16. ἐπακολουθούσης διὰ τοῦ καὶ μήν, εὗρον ἐν αὐτῇ ἀσάφειαν καὶ τετράγωνα καὶ προτάσεις παρεμβληθείσας ὑπὸ ξένης χειρὸς κτλ. ἴδωμεν δὲ τὰ καθ' ἕκαστα. — αὐτή] αὐτὴ καθ' ἑαυτήν· παρβλ. §. 4. σημ. — ἐχθροῦ — ἐπήρειαν] ἐπήρειαν ἰδίαν ἐχθροῦ = ἐχθρικήν. — αἰτιῶν ἴδ. §. 7. σημ. παρβλ. §. 15. 34. — οὐκ ἔνι τῇ πόλει — λαβεῖν] ἡ πόλις δὲν ἠδύνατο νὰ τιμωρήσῃ τοιαῦτα βαρέα ἐγκλήματα καθὸ πεπραγμένα πρὸ τεσσάρων χρόνων, ἤδη δὲ ἐγκαλούμενα ὀλιγῶς, καὶ ὑπὸ τοιαύτην γενικὴν ὄψιν, ὥστε ἀδύνατον ἦν νὰ ἐφαρμοσθῇ αὐτοῖς εἰδική τις ποινή. D. — ἐκτὸς τούτου ὁ Αἰσχ. ἐνεκάλει τὸν Κτησ. καὶ οὐχὶ τὸν Δημ., ἄνδρα δὲ μὴ ἐγκαλούμενον δὲν ἠδύνατο νὰ τιμωρήσῃ ἡ πόλις. S. κ. P. —οὐδ' ἐγγύς] = « οὐδ' ὀλίγου δεῖ » (ὡς ἐν τῷ πο. Λεπτ. §. 113.), ἢ « πολλοῦ γε καὶ δεῖ, » φράσει προσφιλεῖ τῷ Δημοσθ., ὅθεν καὶ συνεχῶς ἀπαντωμένη παρ' αὐτῷ» W.

13. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ — λόγου τυχεῖν] τοῦτ' αὐτὸ ἐπικυροῖ τῷ ῥήτορι καὶ ὁ Αἰσχ. λέγων ἀλλαχοῦ (π. παραπρ. §. 2.)· « οὐδ' οἱ τἀληθῆ λέγοντες κωλύουσι λόγου τυχεῖν τὸν φεύγοντα. » — τὸ προσελθεῖν τῷ δήμῳ] ἀναφέρεται εἰς τὰ ἐν §. 202. τοῦ κ. Κτησ. (παρβλ. αὐτ. §. 242.). — διὰ τοῦ δήμῳ ἐννοεῖ ἐνταῦθα ὁ ῥήτωρ οὐχὶ τὴν ἐκκλησίαν τοῦ δήμου ἀμέσως, ἀλλὰ τὸ δικαστήριον, ἔνθα ἐκτὸς τῶν δικαστῶν, τῶν ἀντιπροσώπων τοῦ δήμου,

καὶ λόγου τυχεῖν, οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν. οὔτε μὰ τοὺς Θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν, οὗσί γε τηλικούτοις ἡλίκα νῦν ἐτραγῴδει καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τἀδικήματα χρῆσθαι, εἰ μὲν εἰσαγγελίας ἄξια πράττοντα ἑώρα, εἰσαγγέλλοντα καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν, εἰ δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον· οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμέ, ἐμὲ
14 δέ, εἴπερ ἐξελέγξειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. καὶ μὴν εἴ τι τῶν ἄλλων ὧν νυνὶ διέβαλλε καὶ διεξῄει, ἢ καὶ ἄλλ' ὁτιοῦν ἀδικοῦντά με ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ πάντων καὶ

παρῆσαν συνήθως καὶ πολλοὶ ἄλλοι ἐκ τοῦ δήμου ἀκροαταί, μάλιστα ἐν τοιαύταις δημοσίαις δίκαις. παρβλ. §. 196. W. — ἐν ἐπηρείας τάξει] = μετ' ἐπηρείας. παρβλ. §. 63. καὶ 173. « τὴν τῆς εὐνοίας τάξιν. » — τοῦτο] τὸ κατηγορεῖν καὶ αἰτιᾶσθαι. W. — πολιτικὸν] ἐλευθέρας πολιτείας ἴδιον. — ἐτραγῴδει] τὰ διηγεῖτο μετὰ τραγικοῦ πάθους ὥς τις ὑποκριτής· συνεχῶς ὀνειδίζει τῷ Αἰσχίνῃ ὁ ῥήτωρ τὸ πρότερον αὐτοῦ ἐπιτήδευμα (ἴδ. §. 129. καὶ 180. σημ.) διὰ τῶν τραγῳδεῖ, ὑποκρίνεται, ὑποκριτής, τραγικός, οἷον ἐν §§. 15. 287. 313. — π. παραπρ. §. 189. — παρ' αὐτὰ τἀδικήματα] πλησίον αὐτῶν τῶν ἀδικημάτων, τότ' εὐθύς. — χρῆσθαι] ἐννοεῖται κατ' ἀναλογίαν τὸ ἔδει· — εἰσαγγελίας] εἰσαγγελία ἐλέγετο ἡ διὰ μεγάλα καὶ τὸ δημόσιον βλάπτ ντα ἐγκλήματα γραφὴ (δημοσία δίκη) εἰσαγομένη ἀπ' εὐθείας εἰς τὴν βουλὴν ἢ εἰς τὴν ἐκκλησίαν τοῦ δήμου, οἷον διὰ κατάλυσιν τοῦ δήμου, τυραννίδα, ἢ καὶ δι' ἐκτακτά τινα ἐλαφρότερα ἐγκλήματα, περὶ ὧν δὲν ὑπῆρχεν ὡρισμένη ἐκ τῶν νόμων τιμωρία. — καὶ τοῦτον τὸν τρόπον] = οὕτω, δι' εἰσαγγελίας δηλ. — εἰς κρίσιν — παρ' ὑμῖν] εἰσάγων με ἐνώπιον ὑμῶν ἵνα κριθῶ. — γράφοντα] εἰ δὲ ἑώρα με γράφοντα παράνομα, γραφόμενόν με [γραφὴν] παρανόμων. ὅρα τὴν διαφορὰν τῆς ἐνεργητ. μετοχῆς γράφοντα (= προτείνοντα ἐγγράφως) ἀπὸ τῆς μέσης γραφόμενον (= ἐγκαλοῦντα). τὸ γράφομαι συντάσσεται μετ' αἰτιατικῆς προσώπου, καὶ γενικῆς τοῦ αἰτίου (οἷον « γράφομαί τινα παρανόμων »)· ἐνίοτε δ' ἀπαντᾶται καὶ μετὰ συστοίχου αἰτιατ. ὡς παρ' Αἰσχίνῃ κ. Τιμ. §. 1. « οὐδένα — γραφὴν γραψάμενος. » — οὐ γὰρ — δι' ἐμέ, ἐμὲ δέ] « Ἀναστροφή, ὅταν ἔνθα πέπαυται τὸ ἀ. κῶλον, ἐκεῖθεν ἄρχηται τὸ β'. » Τιβέρ. π. Σχημ. σ. 552. ἡ δ' ἔννοια· διότι ἀφοῦ κατηγορῇ τὸν Κτησ. ἐξ αἰτίας ἐμοῦ, ἀδύνατον ἦν νὰ μὴ κατηγορήσῃ ἐμὲ τὸν ἴδιον, εἰ ἐνόμιζεν ὅτι θ' ἀποδείξῃ τὰς κατ' ἐμοῦ κατηγορίας του (ἴδε καὶ Ἀσωπ. συντ. περ. β'. σ. 658. §. 18 κ. ἑ. — ἐξελέγξειν] δικαστικὴ λ. ἐκ τοῦ ἔλεγχος.

14. καὶ μὴν] προσθετικός, δι οὗ τῷ περὶ τῶν βαρέων ἐγκλημάτων λόγῳ ἐπιπροστίθεται καὶ ἡ περὶ τῶν λοιπῶν διαβολῶν τοῦ Αἰσχ. κρίσις τοῦ Δημ. ἡ δὲ σύνταξις· εἰ ἑώρα με ἀδικοῦντα ὑμᾶς κατά τι τῶν ἄλλων — ἢ καὶ κατ' ἄλλο ὁτιοῦν. — ὧν — διέβαλλε καὶ διεξῄει] ἔλξις· = καθ' ἃ μὲ διέβαλλε, καὶ τὰ διηγεῖτο. περὶ δὲ τοῦ ἐν τούτοις, ὡς καὶ ἐν τῷ ἀνωτ. « ἐτραγ. καὶ διεξῄει », πλεονασμοῦ ἴδ. τὴν ἐν §. 21. σημ. — περὶ πάντων] τῶν

τιμωρίαι καὶ ἀγῶνες καὶ κρίσεις, καὶ τούτοις ἐξῆν ἅπασι χρῆσθαι, *καὶ ὁπηνίκα ἐφαίνετο ταῦτα πεποιηκὼς καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ, ὡμολογεῖτ' ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ. νῦν δ' ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ 15
καὶ φυγὼν τοὺς παρ' αὐτὰ τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις αἰτίας καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας ὑποκρίνεται. εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί, καὶ τοῦ μὲν ἀγῶνος ὅλου τὴν πρὸς ἐμὲ ἔχθραν προίσταται, οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοὶ τὴν ἑτέρου ζητῶν
ἐπιτιμίαν ἀφελέσθαι φαίνεται. καίτοι πρὸς ἅπασιν, ὦ ἄνδρες 16
Ἀθηναῖοι, τοῖς ἄλλοις οἷς ἂν εἰπεῖν τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἔμοιγε δοκεῖ καὶ μάλ' εἰκότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐφ' ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζε-

τοιούτων ἀδικημάτων. — χρῆσθαι] κατ' ἐμοῦ. — καὶ ὁπ. ἐφαίνετο — κεχρημένος] « περιττεύει τὸ ἕτερον κῶλον ἐκ παραλλήλου τεθέν. » Ἑρμογ. π. ἰδ. σ. 267. — τὸ φαίνεσθαι μετὰ μετοχῆς ἐκφράζει ἔννοιαν θετικήν, φανερὰν τοῖς πᾶσι (= δῆλον εἶναι), μετ' ἀπαρεμφάτου δέ, κρίσιν εἴτε ἰδέαν τοῦ λέγοντος (= δοκεῖν)· ἑπομένως τὸ ὁπ. ἐφαίν. πεποιηκὼς = ὁπότε ὁλοφάνερα εἶχε κάμει ταῦτα· οὕτω καὶ ἐν τῷ ἑξῆς §. ζητῶν φαίνεται = ὁλοφάνερα ζητεῖ, καὶ ἐν §. 24. παρβλ. τὴν ἐν §. 1. περὶ τοῦ διατελῶ σημ. — τοῖς πρὸς ἐμέ] ἐννοεῖται προσήκουσι = τοῖς τρόποις τῆς κατηγορίας τοῖς προσήκουσι πρὸς ἐμέ, ἤτοι πρὸς τἀδικήματά μου. — ὡμολογεῖτ' ἄν] συνεφώνει ἄν.

15. Ἐκστὰς] παρεκτραπείς. — τῆς ὀρθῆς — ὁδοῦ] ἤτοι τοῦ ἐγκαλεῖν με ἀπ' εὐθείας. — παρ' αὐτὰ τὰ πράγματα] παρβλ. §. 226. ἐκ τούτου προέκυψε τὸ παραυτα, ὡς τὸ παραχρῆμα ἐκ τοῦ παρὰ τὸ χρῆμα. — ἐλέγχους] ἀποδείξεις ἰδ. §. 7. σημ. — ὑποκρίνεται] ἀπαγγέλλει ὡς ὑποκριτής. ἰδ. τὴν π. τ. ἐτραγῴδει σημ. §. 13. — κρίνει] = εἰσάγει εἰς κρίσιν, ἐγκαλεῖ· ἐπὶ δὲ δικαστῶν = δικάζει, ἀποφασίζει. — προίσταται] προβάλλεται ὡς κυριωτάτην αἰτίαν. καθότι ὅλος σχεδὸν ὁ λόγος του εἶναι αὐστηρὰ ἐπίκρισις τοῦ χαρακτῆρος καὶ τοῦ βίου τοῦ Δημοσθ. ἐλάχιστον δὲ μόνον μέρος ἀποτελεῖ τὰ κατὰ Κτησιφῶντος, καὶ ταῦτα εἰς ὕφος μετριώτερον συγκρινόμενα ταῖς κατὰ Δημοσθ. λοιδορίαις. CH. — οὐδαμοῦ δ' — ἐμοὶ] χωρὶς δὲ ν' ἀντιταχθῇ ἐναντίον μου οὐδέποτε καὶ οὐδαμοῦ εἰς διαδικασίαν ταύτης τῆς ἔχθρας του. παρβλ. §. 231. 271. — ἐπιτιμίαν ἀφελέσθαι] = ἀτιμῶσαι· παράβ. Λυσ. κ. Ἐρατοσθ. §. 21. ἐν Ἀθήναις οἱ δημόσιοι ὀφειλέται ἐστεροῦντο τῶν πολιτικῶν δικαιωμάτων αὐτῶν μέχρις οὗ ἀποτίσωσι τὸ ὀφειλόμενον. ἆρα καὶ ὁ Κτησ. ἐὰν κατεδικάζετο, ἀδύνατων ν' ἀποτίσῃ τὸ ὑπὸ τοῦ Αἰσχ. ὡρισμένον πρόστιμον (ἰδ. §. 33. τὴν π. τ. τίμημα σημ.) ἀναγκαίως ἔμελλε νὰ στερηθῇ τῆς ἐπιτιμίας, ἤτοι τῶν πολιτικῶν δικαιωμάτων αὐτοῦ. παρβλ. §. 312.

16. ἐφ' ἡμῶν αὐτῶν] = προσωπικῶς μετ' ἀλλήλων. — τὸν ἐξετασμὸν] « ἐξετασμὸς ἀντὶ τοῦ « ἐξέτασις ». Δημοσθένους ἐν τῷ ὑπὲρ τ. στ. εἰπόντος οὗ φασι δόκιμον εἶναι οὕτω τιθέμενον. » Λεξ. π. Βεκκ.

σθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

17 Πάντα μὲν τοίνυν τὰ κατηγορημένα ὁμοίως ἐκ τούτων ἄν τις ἴδοι οὔτε δικαίως οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα· βούλομαι δὲ καὶ καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάσαι, καὶ μάλισθ' ὅσα ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας κατεψεύσατό μου, τὰ πεπραγμένα ἑαυτῷ μετὰ Φιλοκράτους ἀνατιθεὶς ἐμοί. ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματα ἀναμνῆσαι, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε.

18 Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ (οὐ γὰρ

Ἀνεκδ. Γραμμ. σ. 93, 20. παρβλ. §. 226. « ἐξέτασιν ποιήσειν ὑμᾶς. » — ὑπερβολὴ ἀδικίας] = ὑπερβάλλουσα ἀδικία (ὡς ἐν Ολυνθ. Γ'. §. 23. «κάλλη ἱερῶν» ἀντὶ «κάλλιστα ἱερά.»). πρβλ. §. 212.

17. ἐκ τούτων] τῶν εἰρημένων. — ἄντις ἴδοι] = ἠδύνατό τις νὰ ἴδῃ ἐὰν παρετήρει ὀρθῶς. ὁ ἂν πάντοτε ἀναφέρεται εἰς ὑπόθεσιν εἴτ' ἐκφραζομένην ῥητῶς, εἴτ' ἐννοουμένην. CH. — ἐπ' ἀληθείας] ἡ αὐτὴ φράσις καὶ ἐν §. 22. καὶ 226. — αὐτῶν] τῶν κατηγορημένων. — ὑπὲρ τῆς εἰρήνης] τῆς μετὰ Φιλίππου βασιλέως τῶν Μακεδόνων μετὰ τοὺς περὶ Ἀμφιπόλεως Ολύνθου καὶ ἄλλων μερῶν πολέμους, γενομένης Ολ. ρή, δ'. 346. π. Χ. κατὰ πρότασιν τοῦ Φιλοκράτους, ὅθεν καὶ φιλοκρατείου καλουμένης. — πρεσβείας] τῆς β'. τῆς ἐπὶ τοὺς ὅρκους, ἣν δηλ. ἀπέστειλαν οἱ Ἀθηναῖοι πρὸς Φίλιππον, ἵνα λάβωσι παρ' αὐτοῦ τοὺς ὅρκους (ἴδ. §. 23.). ἑτέρα πρεσβεία ἡ περὶ τῆς εἰρήνης εἶχεν ἀποσταλῇ εἰς Μακεδονίαν πρὸ δύο σχεδὸν μηνῶν, ἵνα βεβαιωθῇ τοὺς περὶ εἰρήνης σκοποὺς τοῦ Φιλίππου, καὶ διαπραγματευθῇ μετ' αὐτοῦ περὶ τῶν συνθηκῶν. ἀμφοτέρων τούτων τῶν πρεσβειῶν μέλη ἦσαν ὁ Δημ. καὶ ὁ Αἰσχίνης. καὶ κατὰ μὲν τὴν ἀ. πρεσβείαν ἦσαν σύμφωνοι, μετὰ τὴν εἰς Ἀθήνας ἐπάνοδον ὅμως κατὰ τὰς περὶ τῶν ὅρων τῶν συνθηκῶν διασκέψεις διαφωνήσαντες πρὸς ἀλλήλους ἔκτοτε ἐχωρίσθησαν ἐπὶ μᾶλλον καὶ μᾶλλον ἕως οὗ κατέστησαν ἄσπονδοι ἐχθροί. — ἀνατιθεὶς ἐμοί] ἴδ. κ. Κτησ. §. 62. — ἴσως] ἐπίσης. — ἀναμνῆσαι] ὑμᾶς. — πρὸς τὸν — καιρὸν] = ὡς πρὸς τὸν καιρόν, καθ' ὃν ἐγίγνετο ἕκαστα.

18. του — Φωκικοῦ — πολέμου] οὗτος εἶναι ὁ δεύτερος ἱερὸς πόλεμος λεγόμενος διαρκέσας δέκα σχεδὸν ἔτη (355—346. π. Χ.) καὶ ἀποπερατωθεὶς διὰ τῆς ὑπὸ Φιλίππου μετὰ τὴν φιλοκράτειον εἰρήνην παντελοῦς καταστροφῆς τῶν Φωκέων. οἱ Φωκεῖς καλλιεργήσαντες μέρος τῆς ἱερᾶς χώρας τῆς ὀνομαζομένης Κιρραίας κατεδικάσθησαν ὑπὸ τῶν Ἀμφικτυόνων εἰς πρόστιμον βαρύ, ἀπειληθέντες καὶ ἐπὶ καθιερώσει τῆς χώρας αὐτῶν ἐὰν μὴ ὑπακούωσιν. ἀπελπισθέντες λοιπὸν διὰ τὸ μέγεθος τῆς καταδίκης, στερούμενοι δὲ χρημάτων ἵνα ὑπερασπίσωσι τὴν χώραν, ὥρμησαν ἐπὶ τοὺς Δελφοὺς ὑπὸ στρατηγὸν τὸν Φιλόμηλον, καὶ καταλαβόντες τήν τε πόλιν καὶ τὸ ἱερὸν ἁφῆρεσαν τοὺς ἐν αὐτῷ θησαυρούς (Ολ. ρέ, δ'. 357.). ἡ ἱεροσυλία αὕτη τῶν Φωκέων δυσηρέστησε πάντας μέν, ἰδίως δὲ τοὺς Θηβαίους, Λοκρούς, καὶ Θεσσαλούς, οἵτινες ἔλαβον τὰ ὅπλα, ἵνα ὑπὸ τὸ πρόσχημα τῆς εὐσεβείας χορτασωσι τὸ πρὸς τοὺς Φωκεῖς παλαιὸν μῖσος αὐτῶν· μετ' αὐτῶν συνεμάχησαν

ἔγωγε ἐπολιτευόμην πω τότε), πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, ὥστε Φωκέας μὲν βούλεσθαι *σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν ἂν ἐρησθῆναι παθοῦσιν, οὐκ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ εὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο· ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει, καὶ οὔθ' οἱ μισοῦντες Λακεδαιμονίους οὕτως ἴσχυον, ὥστε ἀνελεῖν αὐτούς, οὔθ' οἱ πρότερον δι' ἐκείνων ἄρχοντες κύριοι τῶν πόλεων ἦσαν, ἀλλά τις ἦν ἄκριτος

ὕστερον καὶ ὁ Φίλιππος πρὸς σκοποὺς ἰδιοτελεῖς. τοὐναντίον οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι διὰ τὸ πρὸς Θηβαίους μῖσος ἔκλινον πρὸς τοὺς Φωκεῖς (Διόδ. ιϛ', 23. κ. ἑ. — Παυσ. Φωκ. 2—3.). — συστάντος] λαβόντος σύστασιν, ὕπαρξιν (ἐκραγέντος). — οὐ γὰρ — τότε] ὁ πολιτικὸς βίος τοῦ Δημ. ἄρχεται ἀπὸ Ὀλ. ρϛ', γ'. 334. (ὅτε ἐξεφώνησε καὶ τὸν ἀ. πολιτικὸν λόγον αὐτοῦ, τὸν περὶ συμμοριῶν) ἤτοι ἀπὸ τοῦ β'. ἔτους τοῦ Φωκ. πολέμου. W. — οἷς — εὐτυχήκεσαν] ἐννοεῖ τὴν κατὰ τῶν Σπαρτιατῶν λαμπρὰν νίκην τῶν Θηβαίων τὸ 371., στρατηγοῦντος τοῦ Ἐπαμινώνδου (Διόδ. ιέ, 51—57.), ἥτις κατέστησεν αὐτοὺς ὑπερηφάνους καὶ τυραννικοὺς δι' ἣν μεταξὺ τῶν ἑλληνικῶν λαῶν ἀπέκτησαν ὑπεροχήν. — Λεύκτροις] Λεῦκτρα κώμη τῆς Βοιωτίας πλησίον τῆς ἀπὸ Θεσπειῶν εἰς Πλαταιὰς ὁδοῦ. ἐρείπια αὐτῆς σώζονται κατ' Οὐλερῖχον παρὰ τὸ χωρίον Παραπούγγια. — οὐ μετρίως ἐκέχρηντο] ἴδ. τὴν ἐν §. 99. π. Ὠρωποῦ σημ.. τοῦτ' αὐτὸ ἐπικυροῖ τῷ Δημοσθ. καὶ ὁ Ἰσοκρ. (Φίλιπ. §. 53). « καλλίστην μάχην νικήσαντες καὶ δόξαν ἐξ αὐτῆς λαβόντες, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταῖς εὐτυχίαις οὐδὲν βέλτιον πράττουσι τῶν ἡττηθέντων. » ἠπίως δ' ἐκφράζεται ἐνταῦθα, ὡς καὶ ἐν τῷ ἑξῆς §. περὶ τῶν Θηβαίων ὁ ῥήτωρ διὰ τὴν ὑπὸ Ἀλεξάνδρου ὁλοτελῆ καταστροφὴν τῶν Θηβῶν (Ὀλ. ριά, β'. 335.), ἐν ᾧ ἐν τῷ πρὸς Λεπτίνην (§. 109.) ἐκφωνηθέντι Ὀλ. ρϛ', β'. 333. ἤτοι ὀλίγῳ ὕστερον ἀφοῦ ἤρχισεν ὁ Φωκ. πόλεμος, ἐμπαθῶς καταφέρεται κατ' αὐτῶν. — ἔπειθ' — τάραχή] διὰ τούτων περιγράφει ὁ Δημ. τὴν τότε, ἤτοι 50 ἔτη μετὰ τὸν πελοποννησιακὸν πόλεμον ἐν Ἑλλάδι κατάστασιν τῶν πραγμάτων. οἱ Θηβαῖοι ταπεινώσαντες τὴν ὀρρῦν τῆς Σπάρτης εἶχον ἀποικίσει τὴν Μεσσήνην, τὰ δὲ καθ' ἕκαστα ἀρχαδικὰ πολίσματα 38—40 τὸν ἀριθμὸν (Παυσ. Ἀρκαδ. 27. — Διόδ. ιέ, 72. —) εἶχον συνοικίσει εἰς μίαν κοινὴν πατρίδα τῶν Ἀρκάδων Μεγάλην πόλιν ἐπικληθεῖσαν (τὴν εἶτα Μεγαλόπολιν). Τούτων ᾐσχύνοντο κατ' ἀρχὰς οἱ Λακεδαιμόνιοι φόβῳ τῶν Θηβαίων, ὅτε δὲ ὁ πόλεμος ὁ Φωκικὸς ἀπεμάκρυνεν ἐκ Πελοποννήσου τοὺς Θηβαίους, ἀναθαρρήσαντες ἐπεχείρησαν ἀνακτήσασθαι τὴν Μεσσήνην· Ἀλλ' οἱ Μεσσήνιοι μετὰ Ἀργείων καὶ Ἀρκάδων (Μεγαλοπολιτῶν), οὓς ἐννοεῖ ὁ Δημ. διὰ τοῦ οἱ μισοῦντες Λακεδαιμονίους, ἀντέσχον τῷ πολέμῳ ἐπικαλεσάμενοι καὶ τοὺς Ἀθηναίους (Παυσ. Μεσσην. 28.). καὶ τότε ἐξεφώνησεν ὁ Δημ. τὸν ὑπὲρ Μεγαλοπολιτῶν λόγον αὐτοῦ. Ὀλ. ρϛ', δ'. 353. — οἱ πρότερον — ἄρχοντες] ὡς τούτους ἐξέλαβον οἱ ἐκδόται τοὺς Ἁρμοστὰς καὶ τοὺς « δέκα ἄνδρας οὓς Λύσανδρος κατέστησεν ἐν ἑκάστῃ πόλει » (Ξενοφ. Ἑλλην. Γ', ἑ, 13,— Ἰσοκράτ. Παναθ. §. 68. — Διόδ. ΙΔ', 13.), πλὴν τά, ἀλλά τις ἦν ἔρις καὶ ταραχή, ἀκριβέστερον θεωρούμενα πείθουσι μᾶλλον ἵνα ἐννοήσωμεν ἐνταῦθα τοὺς ἐν ἑκάστῃ πόλει ἀριστοκράτας, οἵτινες ἴσχυον διὰ τῶν Λακεδαιμονίων, ἤδη δὲ εἶχον μὲν ἐξασθενήσει, δὲν ἔπαυον ὅμως καὶ ἐνερ-

καὶ παρὰ τούτοις καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἔρις καὶ ταρα-
19 χή. ταῦτα δ' ὁρῶν ὁ Φίλιππος (οὐ γὰρ ἦν ἀφανῆ) τοῖς παρ' ἑκάστοις προδόταις χρήματα ἀναλίσκων πάντας συνέκρουε καὶ πρὸς αὐτοὺς ἐτάραττεν· εἶτ' ἐν οἷς ἡμάρτανον ἄλλοι καὶ κακῶς ἐφρόνουν, αὐτὸς παρεσκευάζετο καὶ κατὰ πάντων ἐφύετο. ὡς δὲ ταλαιπωρούμενοι τῷ μήκει τοῦ πολέμου οἱ τότε μὲν βαρεῖς, νῦν δ' ἀτυχεῖς Θηβαῖοι φανεροὶ πᾶσιν ἦσαν ἀναγκασθησόμενοι καταφεύγειν ἐφ' ὑμᾶς, ὁ Φίλιππος, ἵνα μὴ τοῦτο γένοιτο μηδὲ συνέλθοιεν αἱ πόλεις, ὑμῖν μὲν εἰρήνην, ἐκείνοις
20 δὲ βοήθειαν ἐπηγγείλατο. τί οὖν συνηγωνίσατο αὐτῷ πρὸς τὸ λαβεῖν ὀλίγου δεῖν ὑμᾶς ἑκόντας ἐξαπατωμένους; ἢ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κακίαν εἴτ' ἄγνοιαν εἴτε καὶ ἀμφό-

γεῦντας εἰς ἀνάκτησιν τῆς προτέρας ἀρχῆς. οὕτω καὶ Ἰσοκράτης (Ἀρχίδαμ. §. 63—69.) διαγράφων ζωηρὰν εἰκόνα τῆς τότε φρικτῆς καταστάσεως τῆς Πελοποννήσου διὰ μὲν τῆς προγενεστέρας ἀρχῆς τῆς ὑπὸ τοὺς Λακεδαιμονίους ἐννοεῖ κυρίως τοὺς ἀριστοκράτας («τοὺς βελτίστους, τοὺς ταῖς οὐσίαις προέχοντας»), διὰ δὲ τῆς τότε ἐνεστώσης τὸν ὄχλον. ΓΜ.

19. τοῖς — προδόταις] τούτους ὀνομαστὶ ἀναφέρει ὁ Δημ. παρακατιὸν ἐν §. 48. 295. — πρὸς αὐτοὺς] πρὸς ἀλλήλους (ὡς ἐν τῷ κ. Ἀριστοκρ. §. 103. «ἡ ἐκείνων πρὸς ἀλλήλους ταραχή.») πρβλ. καὶ §. 61. «τ. Ἑλλ. ἔχοντας πρὸς ἑαυτούς.» — ἐν οἷς ἡμάρτανον] ἡ ἐν σημαίνει ἐνταῦθα τὸ ἐν μέσῳ, = ἐν μέσῳ τῶν ἁμαρτημάτων καὶ τῶν ἀνοησιῶν τῶν ἄλλων, καὶ διὰ τούτων κρατυνόμενος παρεσκευάζετο καὶ ἐφύετο ἐπὶ κεφαλῆς ὅλων. — ὡς δὲ ταλαιπωρούμενοι] παρβλ. Δημ. π. παραπρ. §. 320. — Διόδ. ιϛ', 56. 58. — τοῦ πολέμου] τοῦ Φωκικοῦ. — βαρεῖς] ἀφόρητοι, ἐπαχθεῖς. — ἀτυχεῖς] παράβαλε Αἰσχίνην κ. Κτησ. §§. 133. 156 — 157. ἐκτιθέμενον τὰ δεινὰ τῶν Θηβαίων. — τὸ ζητητικὸν κεῖται ἐνίοτε καθ' ὑπερβολὴν ἐκφράσεως ἀντὶ τοῦ ἀχωρίστου συνθετικοῦ μορίου δυς (= κακός), οἷον ἄμορφος γυνὴ ἀντὶ δύσμορφος, δυσειδής, οὕτω καὶ ἀτυχεῖς ἀντὶ δυστυχεῖς (ἀντιθέτως τοῦ εὐτυχεῖς) = κακόμοιροι, καὶ οὐχὶ πάντη ἄμοιροι. — καταφεύγειν ἐφ' ὑμᾶς] φυσικώτατον ἦν οἱ Θηβαῖοι ἐξ ἀνάγκης νὰ καταφύγωσιν ἐπὶ τοὺς Ἀθηναίους, καί τοι μὴ φίλους· τοῦτο προϋλαβεν ὁ Φίλιππος διὰ τῶν εἰρηνικῶν προτάσεων αὐτοῦ. — τοῦτο] τὸ καταφεύγειν Θηβαίους ἐφ' ὑμᾶς. — αἱ πόλεις] Ἀθῆναι καὶ Θῆβαι. — ὑμῖν μὲν — ἐπηγγείλατο] κατὰ μὲν τὸν West. κρυφίως ἀλλήλων, κατὰ δὲ τὸν ΓΜ. ἀναφανδὸν μέν, ἀλλὰ κατὰ διαφόρους ἐποχάς. τὸ βέβαιον ὅτι ὁ Φίλιππος κατ' ἀρχὰς ἐτήρει μυστικὰ τὰ πρὸς τοὺς Θηβαίους αἰσθήματά του (Αἰσχ. π. παραπρ. §. 136. κ. ἑ.), μέχρις οὗ πείσῃ τοὺς Ἀθηναίους περὶ τῶν εἰρηνικῶν φρονημάτων αὐτοῦ· ἅμα δ' ἐπιτυχὼν τούτου, ἐτόλμησε καὶ ἀναφανδὸν νὰ δείξῃ τὴν πρὸς τοὺς Φωκεῖς ἀντιπάθειάν του, ὡς ἐξάγεται ἐκ τῶν ἐν §. 35.

20. πρὸς τὸ λαβεῖν — ἐξαπ.] εἰς τὸ νὰ σᾶς εὕρῃ σχεδὸν προθύμους ν' ἀπατᾶσθε. — ἢ τῶν — Ἑλλ. εἴτε χρὴ κακίαν] ἀπορῶν τί ἐκ τούτων νὰ εἴπῃ ὅτι ἐβοήθησε τῷ Φιλίππῳ, θέτει τὸ ἄρθρον ἄνευ ὀνόματος καὶ λέγει, εἴτε δειλίαν πρέπει νὰ εἴπῃ τις τοῦτο, εἴτε ἄγνοιαν εἴτε καὶ ἀμφότερα. Β. —

τερα ταῦτ' εἰπεῖν, οἱ πόλεμον συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν, καὶ τοῦτον ὑπὲρ τῶν πᾶσι συμφερόντων, ὡς ἔργῳ φανερὸν γέγονεν, οὔτε χρήμασιν οὔτε σώμασιν οὔτ' ἄλλῳ οὐδενὶ τῶν ἁπάντων συνελάμβανον ὑμῖν· οἷς καὶ δικαίως καὶ προσηκόντως ὀργιζόμενοι ἑτοίμως ὑπηκούσατε τῷ Φιλίππῳ. ἡ μὲν οὖν τότε συγχωρηθεῖσα εἰρήνη διὰ ταῦτ', *οὐ δι' ἐμέ,

παρβλ. καὶ τὰ ἐν §. 270. « συγχωρῶ τὴν ἐμὴν εἴτε τύχην εἴτε δυστυχίαν ὀνομάζειν βούλει. » καὶ ἐν τῷ κ. Ἀριστοκρ. §. 156. « ἡ ὑμετέρα εἴτε χρὴ φιλανθρωπίαν λέγειν, εἴθ' ὁτιδήποτε. » W. — πόλεμον — πολεμούντων ὑμῶν] ἐν τῇ Ἑλλ. Χρηστομαθείᾳ σημειοῦται κατὰ τῶν Φωκέων, ἐνῷ οἱ Ἀθηναῖοι συνεμάχουν τοῖς Φωκεῦσιν· ἐν δὲ τῇ ἐγκυκλοπ. Σ. Κομμητᾶ διὰ τὸν φωκικὸν δοκεῖ λέγειν πόλεμον· ἀλλὰ καὶ αὕτη ἡ εἰκασία δὲν συμβιβάζεται τῷ, « καὶ τοῦτον ὑπὲρ τῶν πᾶσι συμφερόντων· » τοὐναντίον γνωρίζομεν ὅτι ἀπὸ τῆς ἐπὶ τὸν Μακεδονικὸν θρόνον ἀναβάσεως Φιλίππου τοῦ Ἀμύντου μέχρι τῆς φιλοκρατείου εἰρήνης (359 — 346 π. Χ.) οἱ Ἀθηναῖοι δὲν ἔπαυσαν σχεδὸν ἀντενεργοῦντες τῷ Φιλίππῳ. ἡ Ἀμφίπολις (τὸ 358), ἡ Πύδνα, ἡ Ποτίδαια (τὸ 357.), ἡ Μεθώνη (τὸ 353), ἡ Ὄλυνθος (τὸ 348), τὰ ἐν Θράκῃ ὀχυρὰ ταῦτα τῶν Ἀθηναίων χωρία, ὧν τὴν ἀπώλειαν τόσῳ συνεχῶς θρηνεῖ ὁ Δημοσθ. δὲν παρεχωρήθησαν τῷ Φιλίππῳ ἀμαχητί, ἀλλὰ καὶ ἐν πάσῃ ἄλλῃ πολεμικῇ ἐπιχειρήσει αὐτοῦ ἀπαντῶμεν ἀντιτασσομένους τοὺς Ἀθηναίους. οἱ Ἀθηναῖοι ἐκώλυσαν αὐτὸν (τὸ 353) τοῦ διελθεῖν τὰς Πύλας καὶ πολεμῆσαι τοῖς Φωκεῦσιν· αὐτοὶ ἐματαίωσαν (τὸ 350) τοὺς κατὰ τῆς Εὐβοίας φιλοδόξους σκοποὺς αὐτοῦ· ἐν γένει αὐτοὶ ἦσαν οἱ μόνοι ἐπίφοβοι ἀντίπαλοί του. τὸν κατὰ Φιλίππου λοιπὸν πόλεμον ἐννοεῖ ἐνταῦθα ὁ Δημοσθ. ὅθεν καὶ ἐπιφέρει « καὶ τοῦτον ὑπὲρ τῶν πᾶσι συμφερόντων, ὡς ἔργῳ φανερὸν γέγονεν, » εἰς τὴν ἐν Χαιρωνείᾳ μάχην δηλ. ὡς ὀρθῶς σημειοῦται καὶ ἐν τῇ Ἑλλ. Χρηστομαθείᾳ, διότι μετὰ τῆς ἐν Χαιρωνείᾳ ἥττης τῶν Ἀθηναίων ἔπαυσε καὶ ἡ αὐτονομία τῆς Ἑλλάδος. — καὶ τοῦτον] ἐννοητέον τὴν μετοχὴν πολεμούντων· συνήθως δ' ἐξηγεῖται διὰ τοῦ καὶ μάλιστα. — σώμασιν] στρατιώταις. B. — οὔτ' ἄλλῳ οὐδενὶ] οἷον βέλεσι καὶ ὅπλοις ἢ ναυσί. D. — τῶν ἁπάντων] ἐμφατικώτερον τοῦ πάντων. — ὑπηκ. — Φιλίππῳ] = παρεδέχθητε τὰς περὶ εἰρήνης προτάσεις τοῦ Φιλίππου. — συγχωρηθεῖσα] = συμφωνηθεῖσα. — διὰ ταῦτ' — οὐ δι' ἐμέ] τὸ σύνολον τῶν περὶ τῆς εἰρήνης ταύτης κατὰ τοῦ Δημοσθένους κατηγοριῶν τοῦ Αἰσχίνου κεῖται ἐν §. 54—76. τοῦ κ. Κτησ.· καὶ ἀληθὲς μὲν ὅτι ὁ Δημ. συνήργησε τὸ κατ' αὐτὸν ὑπὲρ αὐτῆς, ἐπαινέσας μάλιστα καὶ εἰς πρυτανεῖον καλέσας τὴν ἀ. πρὸς Φίλιππον πρεσβείαν, ἧς μέλος ἦν σὺν τοῖς ἄλλοις καὶ Φιλοκράτης (Δημ. π. παραπρ. § 234. — Αἰσχ. π. παραπρ. §. 53.), ἀλλ' οὐδὲν ἧττον ἀληθεύει ὅτι ἡ εἰρήνη ἐκείνη ἦν προϊὸν τῆς ἀνάγκης, καὶ πάνδημος ἔκφρασις τῶν αἰσθημάτων τοῦ ἐκ μακρῶν καὶ τούτων ἀνωφελῶν πολέμων ἀπηυδηκότος ἤδη λαοῦ [καὶ οἱ σύμμαχοι ἔτι, λέγει ὁ Αἰσχίνης (κ. Κτ. §. 69.), « ὑπελάμβανον τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω. »], ἑπομένως οὐδεὶς δίκαιον ἦν νὰ ὀνειδίζηται περὶ αὐτῆς, ἥκιστα δὲ πάντων ὁ Δημ. ὡς ὑπὲρ πάντα ἄλλον ἀγωνισθεὶς πρὸς ἀποφυγὴν τῶν ἀπευκταίων ἐκείνων συνεπειῶν αὐτῆς. ταῦτα κατὰ τὸν ΓΜ. πλὴν ὁ Αἰσχ. οὐδαμοῦ διέβαλε τὸν Δημ. ὡς πρωτουργὸν τῆς εἰρήνης ταύτης, ἀλλ' ἠγωνίσθη κυρίως ἀποδεῖξαι αὐτὸν συνήγορον καὶ κατὰ πάντα ὁμόφρονα τοῦ Φιλοκράτους. ἴδ. κ. Κτησ. §§. 57 – 64. 72 — 74. 80. — π. παραπρ. §§. 13 – 15. 18. 20. ἀλλ' ὁ ῥήτωρ καὶ τοῦτο μεταπλάττει κατὰ τὸ δοκοῦν αὐτῷ. —

ὡς οὗτος διέβαλλεν, ἐπράχθη· τὰ δὲ τούτων ἀδικήματα καὶ δωροδοκήματα ἐν αὐτῇ τῶν νυνὶ παρόντων πραγμάτων, ἄν
21 τις ἐξετάζῃ δικαίως, αἴτια εὑρήσει. καὶ ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι. εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστα ἐν τούτοις ἀδίκημα, οὐδέν ἐστι δήπου πρὸς ἐμέ, ἀλλ' ὁ μὲν πρῶτος εἰπὼν καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης Ἀριστόδημος ἦν ὁ ὑποκριτής, ὁ δ' ἐκδεξάμενος καὶ γράψας καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα Φιλοκράτης ὁ Ἀγνούσιος, ὁ σός, Αἰσχίνη, κοινωνός, οὐχ ὁ ἐμός, οὐδ' ἂν σὺ διαῤῥαγῇς ψευδόμενος, οἱ δὲ συνειπόντες ὅτου δήποτε ἕνεκα (ἐῶ γὰρ τοῦτό γ' ἐν τῷ παρόντι) Εὔβουλος καὶ Κηφισοφῶν.

τούτων] τῶν περὶ τὸν Αἰσχίνην. — ἐναὐτῇ] ἐν διαῤῥήματι αὐτῆς τῆς εἰρήνης, οὕτω καὶ «ἐν τῇ πρεσβείᾳ.» §. 31.

21. ἀκριβολ. — διεξέρχομαι] ῥητορικὸς πλεονασμός, ὅστις κείμενος ὅτε καὶ ὅπου δεῖ, ὡς ἐν γένει παρὰ Δημοσθ., καὶ οὐχὶ ἁπλῶς χάριν ῥυθμοῦ, ὡς παρὰ Κικέρωνι, οὐ μόνον δὲν ἀποτελεῖ ταὐτολογίαν, ἀλλὰ καὶ ἔμφασιν προξενεῖ τῷ λόγῳ παριστωμένης τῆς ἰδέας ὑπὸ διαφόρους ἐκφράσεις, τὴν μὲν δηλ. ἐντονωτέραν, τὴν δὲ ἀσθενῆ, τὴν μὲν γενικήν, τὴν δὲ μερικήν, καὶ τὴν μὲν ἁπλῆν, τὴν δὲ εἰκονικὴν ἢ περιγραφικήν. οὕτω καὶ «βοᾷν καὶ διαμαρτύρεσθαι.» §. 23. «πολεμεῖν καὶ διαφέρεσθαι.» §. 31. «εἰπεῖν καὶ ἀπαγγεῖλαι.» §. 33. «δηλοῦν καὶ διορίζεσθαι.» §. 40. «προὔλεγον καὶ διεμαρτυρόμην.» §. 45. «προορώμενος καὶ λογιζόμενος.» §. 27. «εἰδὼς καὶ ἑωρακώς.» §. 348. «ζώντων καὶ ὄντων.» §. 72. καί τινα ἄλλα. CH.— τὰ μάλιστα] αἰτιατικοφανὲς ἐπίῤῥημα = κατ' ἐξοχήν, μέγα τι ἀποδοτέον εἰς τὸ ἀδίκημα. — οὐδὲν — πρὸς ἐμέ] οὐδαμῶς ἀνήκει πρὸς ἐμέ, οὐδόλως πταίω ἐγώ.—μνησθείς] μνείαν (λόγον) ποιησάμενος. — Ἀριστόδημος] εἷς τῶν περιφημοτέρων ὑποκριτῶν (Λουκ. Ἀπολογ. 5. — Ζεὺς τραγ. 3. 41.), ὅστις μετὰ τὴν ἅλωσιν τῆς Ὀλύνθου ἀποσταλεὶς «διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης» πρὸς Φίλιππον ἐπὶ ἀπολυτρώσει τῶν Ἀθηναίων αἰχμαλώτων, «τὴν πρώτην ἀρχὴν τοῦ φενακισμοῦ ἔφερεν» εἰς Ἀθήνας (Δημ. π. παραπρ. §. 94.), «πολλήν τινα εὔνοιαν ἀπαγγείλας τοῦ Φιλίππου πρὸς τὴν πόλιν» (Αἰσχ. π. παραπρ. §. 15—17.). —ὁ δ' ἐκδεξάμενος] τὴν γνώμην τοῦ Ἀριστ δήμου. — μισθώσας] τῷ Φιλίππῳ. — Φιλοκράτης] ὁ πρωτουργὸς τῆς μετὰ Φιλίππου εἰρήνης (ἴδ. §. 17. σημ.), καὶ τῶν πλειοτέρων περὶ αὐτῆς ψηφισμάτων (Δημ. π. παραπρ. §§. 47. 159. 174.), καὶ μισθωτὸς Φιλίππῳ εἴ περ τις καὶ ἄλλος (Δημ. αὐτ. §. 114.). καταδικασθεὶς δὲ εἰς θάνατον δι' εἰσαγγελίας τοῦ Ὑπερείδου μόλις ἐσώθη φυγών (Αἰσχ. κ. Κτησ. §. 79.—Δημ. π. παραπρ. §. 116.). — ὁ σὸς κοινωνός] ἴδ. καὶ π. παραπρ. Δημ. §. 23. 46. — οὐδ' ἂν — ψευδόμενος] ἀναφέρεται εἰς τὸν ζῆλον μεθ' οὗ ἠγωνίσθη ὁ Αἰσχ. ν' ἀποδείξῃ σύμπνοιαν τοῦ Δημ. καὶ Φιλοκράτους ἐν τῇ εἰρήνῃ ταύτῃ. CH. πρβλ. κατωτ. §. 87. — Εὔβουλος] ὁ ἐπισημότερος δημαγωγὸς τῶν Ἀθηνῶν πρὸ τῆς πολιτικῆς ὑπεροχῆς τοῦ Δημ., φίλος ὅλων τῶν εἰρηνικοῦ χαρακτῆρος πολιτῶν, καὶ ἀρχηγὸς τῶν ἀντιπολιτευομένων τῷ Δημ., ὅθεν καὶ ἐκρίθη ὕποπτος φιλιππισμοῦ. ΓΜ. — Κηφισοφῶν] ὑποτίθεται ὅτι εἶναι ὁ παρ' Αἰσχίνῃ (π. παραπρ. §. 73.) μνημονευόμενος, ὁ Παιανιεύς. (πρβλ. Δημ. π. παραπρ. 293.), εἰμὴ γραπτέον καὶ

ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. ἀλλ' ὅμως, τούτων τοιούτων ὄντων καὶ 22
ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων, εἰς τοῦθ' ἥκειν ἀναι-
δείας, ὥστ' ἐτόλμα λέγειν, ὡς ἄρα ἐγὼ πρὸς τῷ τῆς εἰρήνης αἴ-
τιος γεγενῆσθαι καὶ κεκωλυκὼς εἶην τὴν πόλιν μετὰ κοινοῦ
συνεδρίου τῶν Ἑλλήνων ταύτην ποιήσασθαι. εἶτ' ὦ—τί ἂν εἰπών
σέ τις ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρὼν τηλικαύτην πρᾶ-

ἐνταῦθα Κτησιφῶν ὡς ἐν τῷ π. παραπρ. τοῦ Δημ. §§. 12. 18. 94. 313. ὁπότε ἐξηγεῖται καὶ ὁ λόγος δι' ὃν ἐπέχει ὁ ῥήτωρ τοῦ εἰπεῖν ὅτου ἕνεκα συνεῖπον οὗτοι τῷ Φιλοκράτει· διότι ἀπίθανος εἶναι ἡ τοῦ Ἀρποκρατίωνος εἰκασία ὅτι «ὁ Κτησιφῶν οὗτός ἐστιν ἕτερος τοῦ τὸ περὶ τοῦ στεφάνου ψήφισμα γεγραφότος Δημοσθένει.» W. —ἐγὼ δ' οὐδὲν οὐδαμοῦ] ταῦτα ἐκληπτέον μετά τινος πειοιρισμοῦ. ὑπὲρ τῆς εἰρήνης ἐκείνης ὡς ἐκ τῶν ἀναγκῶν τοῦ δήμου προκαλουμένης εἶχον συνεργήσει πάντες οἱ τότε δημαγωγοὶ τῶν Ἀθηνῶν οὐδ' αὐτοῦ τοῦ Δημ. ἐξαιρουμένου, ἑκάστου ὅμως οἱ σκοποὶ διαφόρου ἔτυχον τέλους. τὴν δ' ἀγαθὴν προαίρεσιν τοῦ Δημ. ἐματαίωσαν ἰδίως ἡ κουφόνοια τοῦ λαοῦ καὶ τὰ ῥυπαρὰ τεχνάσματα τῶν μακεδονιζόντων.

22. δεικνυμένων] ἀποδεικνυμένων, ἐξελεγχομένων.—εἰς τοῦθ' —ἀναιδείας] εἰς τοῦτο τὸ μέρος τῆς ἀναιδ. ἦκεν, = ὀδεύων ἐν τῷ σταδίῳ τῆς ἀναιδείας προέβη τοσοῦτον. — ὥστ' ἐτόλμα λέγειν] ἐπανειλημμένως ἐνειδίζει τοῦτο τῷ Δημ. ὁ Αἰσχίνης π. παραπρ. §. 58. κ. ἐ.—κ. Κτησ. §. 58.). ἐὰν λοιπὸν [δὲν ἦναι τοῦτο ἀναπόδεικτον, ὡς φρονεῖ ὁ A. Schaefer, ἀλλ'] ἦσαν πάντως πρέσβεις ἀπεσταλμένοι τότε εἰς τὰς λοιπὰς Ἑλλην. πολιτείας, οὗτοι ἠδύναντο νὰ ἦναι μόνον οἱ ὑπὸ τῶν ἐν Ἀθήναις πρέσβεων τῶν συμμάχων [Δημ. π. παραπρ. §. 16.] εἰς τὰς ἑαυτῶν πολιτείας κατὰ προτροπὴν ἴσως τῶν Ἀθηναίων ἀποσταλέντες, ἵνα λάβωσι πληρεστέρας ὁδηγίας περὶ εἰρήνης. ΓΜ. ὁ δὲ CH. ὑποτίθησιν ὅτι ὁ Αἰσχ. προὐφασίζετο πρέσβεις περιμενομένους ἐξ ἄλλων μὴ συμμάχων πόλεων, ἵνα ποιήσωσι συμμαχίαν κοινὴν μετὰ τῶν Ἑλλήνων ἁπάντων (Αἰσχ. κ. Κτησ. §. 71.). τοιαύτην τινα ὑπόνοιαν δίδει καὶ τὸ ἑξῆς «μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων», καὶ τὸ ἐν §. 23. «τὴν τῶν Ἑλλήνων κοινωνίαν,» καί τοι ἄλλως ἐκληφθὲν ὑπὸ τοῦ Οὐλπιανοῦ. —ὡς ἄρα] ὅτι τάχα. ὅρα τὴν διαφορὰν τοῦ ὅτι καὶ ὡς καὶ ἐνταῦθα καὶ ἐν §. 35. καὶ εἶπου ἀλλαχοῦ. —εἶτ' ὦ—τί—ἂν προσείποι] οὕτω καὶ παρ' Ἀριστοφάνει (Νεφ. 1379.) «ὦ—τί σ' εἴπω;» «διὰ τῆς ἀπορίας δείκνυσι τῆς πονηρίας τὸ μέγεθος, ὡς οὐ δυνάμενος δηθεν δι' ἑνὸς ὀνόματος δηλῶσαι τὰ πάντα πονηρεύματα προσόντα τῷ Αἰσχίνῃ» Σχολ. —τοιαῦτα σχήματα διανοίας ἐν γένει παρὰ τοῖς ἀρχαίοις ῥήτορσιν εἰσὶ πλείονα ἢ οἱ τρόποι (σχήματα λέξεων, οἷον μεταφορὰ κτλ.)· καὶ τοῦτο δύναται νὰ θεωρηθῇ ἐκ τῶν κυριωτέρων χαρακτηριστικῶν τῆς ἀρχαίας ῥητορικῆς ἀναπτυχθείσης παρὰ τοῖς Ἕλλησιν ὡς ἰδιαιτέρας τέχνης πάντη διαφόρως τοῦ ἱστορικοῦ καὶ τοῦ οἰκιακοῦ ὕφους κατά τε τὸν ῥυθμὸν τῶν περιόδων καὶ τὴν κατάλληλον θέσιν ἐμφατικῶν ἢ μὴ ἐμφατικῶν λέξεων πρὸς ἀποκατάστασιν ἁρμονίας τινος. ὅθεν οἱ ἐκπληκτικοὶ τρόποι τῶν προσφωνήσεων [ὡς ἐνταῦθα] καὶ αἱ ἔντεχνοι στροφαὶ τῶν περιόδων ἠδύναντο καταλληλότερον νὰ λάβωσι χώραν ἐν τῇ ἀρχαίᾳ ἢ ἐν τῇ νεωτέρᾳ Ῥητορικῇ. καὶ ὅμως παρὰ Δημοσθένει ταῦτα δὲν ἀπαντῶνται πλείονα ἢ παρὰ τοῖς ἄλλοις ῥήτορσι, πιθανῶς, διότι οὗτος πρὸς ἐπιτυχίαν του ἐβασίζετο ἰδίως ἐπὶ ἀκριβοῦς ἐξετάσεως συνόλου τοῦ ἀντικειμένου τῆς δίκης, καὶ ἐντόνου παραστάσεως αὐτοῦ τοῖς ἀκροαταῖς. CH. — ἔστιν ὅπου] ἔστι χρόνος ἢ τόπος, ἐν ᾧ,

ξιν καὶ συμμαχίαν, ἡλίκην νυνὶ διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως ἠγανάκτησας, ἢ παρελθὼν ταῦτα ἃ νῦν κατη-
23 γορεῖς ἐδίδαξας καὶ διεξῆλθες; καὶ μὴν εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράκειν ἐγὼ Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾷν καὶ διαμαρτύρεσθαι καὶ δηλοῦν τουτοισί. οὐ τοίνυν ἐποίησας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην *τὴν φωνὴν οὐδείς· οὔτε γὰρ ἦν πρεσβεία πρὸς οὐδένα ἀπεσταλμένη τότε τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι, οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν.
24 χωρὶς δὲ τούτων καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστα ἐν οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ τῆς εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πόλεως ἔργον οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· τί

= πότε ἢ ποῦ; — παρὼν — ὁρῶν] ἀσυνδέτως καθὸ διαφόρου φύσεως, ἴδ. τὴν ἐν §. 87. σημ. ἡ δ' ἁπλουστέρα πλοκὴ τοῦ λόγου ἤθελεν εἶσθαι· «ἔστιν ὅπου σὺ παρὼν ἠγανάκτησας, ὁρῶν (= ἐπειδὴ ἑώρας) με ἀφαιρούμενον τῆς πόλεως τηλικαύτην πρᾶξιν (= ἐπιχείρημα, ὡς καὶ παρὰ Πολυβ. Θ', 17.) καὶ συμμαχίαν;

23. Καὶ μὴν εἰ — ἐπεπράκειν] εἰ ἐγὼ λαβὼν χρήματα εἶχον κωλύσει χάριν Φιλίππου κτλ. — τὸ μὴ σιγῆσαι] τὸν ἔλεγχον τοῦτον συνεχῶς ἐπαναλαμβάνει ὁ ῥήτωρ κατὰ τοῦ Αἰσχίνου. ἴδ. §§. 13. 117. 124. 188. κ. ἑ. 196. 222. 239. 243. 273. W. πρβλ. π. παραπρ. §. 335. καὶ φαίνεται ὅτι ἰσχυρὸν λόγον θεωρεῖ τὸ ἐγκαίρως κατηγορεῖν. ἴδ. αὐτόθι §§. 25. 31. ὁ Αἰσχ. ὅμως ἀπολογεῖται περὶ τῆς σιγῆς του ταύτης (κ. Κτησ. §. 218.). — σιγῆσαι κατ' ἀόριστον. διότι τὸ ἅπαξ καὶ τότε μόνον δηλοῖ, τοὐναντίον κατ' ἐνεστῶτα τὰ βοᾷν, διαμαρτύρεσθαι, δηλοῦν, εἰς δήλωσιν τοῦ διαρκοῦς. Β. κ. Ρ. οὕτω καὶ ἐν §. 30. «γράψαντος καὶ ζητοῦντος.» — οὔτε γὰρ] τὸ ἐντισιν ἐκδόσεσι πρὸ τοῦ οὔτε κείμενον εἰκότως λείπει ἐν τοῖς καλλίστοις χειρογρ. καθὸ ἀναπλήρωσις γραμματικοῦ τινος εἰς ἐξήγησιν τοῦ γάρ. Β. κ. Ρ. — ἀλλὰ — ἐξεληλεγμένοι] (ὡς τὸ ἐν §. 19. φανεροὶ ἦσαν) = πρὸ πολλοῦ ἦν ἀποδεδειγμένον ὁποίαν γνώμην εἶχον. — οὔθ' οὗτος] ἐν τῷ οὔτε γὰρ ἦν παύει ἡ ἀπὸ §. 22. ἐξακολουθοῦσα πρὸς τὸν Αἰσχ. ἀποστροφή. — ὑγιὲς] οὐ τὸ ἐναντίον σαθρόν. Β. κ. Ρ. — ἐκ τῆς ἐπὶ σωμάτων χρήσεως μεταφέρεται μετωνυμικῶς καὶ ἐπὶ ἠθικῶν ὄντων = εἰλικρινές, ἐπωφελές. πρβλ. καὶ τὸ ἐν §. 45. «αἱ — πόλεις ἐνόσουν».

24. διαβάλλει — τῷ καιρῷ] μεγεθύνει τὸ πταῖσμα τοῦ Αἰσχ. ὡς καὶ τὴν πόλιν διαβάλλοντος δι' ὧν ψεύδεται. τὸ δ' ἄτοπον τῆς κατηγορίας ἐμφαίνει διὰ ῥητορικοῦ συλλογισμοῦ εἴτ' ἐνθυμήματος ἐκπεφρασμένου ἐρωτηματικῶς ἐπὶ τὸ ζωηρότερον. — αὐτοὶ δὲ] ὑμεῖς αὐτοί, ἀντιθέτως τοῦ «τοὺς μὲν Ἕλληνας.» — Εὐρυβάτου πρᾶγμα] ὁ Εὐρύβατος ἢ κατ' ἄλλους, Εὐρυβάτης Ἐφέσιος «λαβὼν χρήματα παρὰ Κροίσου, ὥστε στρατείαν συναγαγεῖν εἰς τὸν πόλεμον τὸν εἰς τοὺς Πέρσας, εἶτα προδότης γενόμενος, ἐνεχείρησε τὰ χρήματα τῷ Κύρῳ. καὶ ἐντεῦθεν

γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν. ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. οὐκοῦν οὔτε τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε τῶν ἄλλων ὧν κατεψεύσατό μου οὐδὲν ἀληθὲς ὂν δείκνυται.

Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα 25
πάλιν σκέψασθε τί ἡμῶν ἑκάτερος προείλετο πράττειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε, τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δὲ οὐδὲ γράψαντος ἐμοῦ ταῦτα ποιεῖν ἠθέλησαν. τί δὲ τοῦτ' ἠδύνατο, 26
ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ' ὡς ἐλάχιστον. διὰ τί; ὅτι ὑμεῖς μὲν οὐκ ἀφ' ἧς ὠμόσατε *ἡμέρας μόνον, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, πάσας

(σύνηθες) τοὺς πονηροὺς Εὐρυβάτας καλεῖσθαι.» Ἁρποκρ. καὶ εὐρυβατεύεσθαι· παροιμία ἐπὶ τῶν πονηρευομένων. τούτου πονηρότερον καλεῖ ὁ Αἰσχ. (κ. Κτησ. §. 137.) τὸν Δημ. — τί γὰρ — ἐβουλεύεσθε] «μέθοδος γοργότητος τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις, ταῖς τε ἀντιθέσεσιν ὡσαύτως.» Ἑρμογ. π. ἰδ. σ. 296. — οὐκοῦν οὔτε — οὐδ' — οὔτε — οὐδὲν] ἐπισώρευσις ἀρνητικῶν μορίων προσφιλὴς τοῖς Ἕλλησιν. Β. κ. Ρ. πρβλ. §. 306. μάλιστα δὲ §. 216. — οὔτε τῆς — εἰρήνης] «τὸ ὁμολογούμενον πρῶτον θείς, ᾧ οὐκ ἔστιν ὑπεύθυνος, ἐπάγει λοιπὸν ἐκ τούτου πιστούμενος τὸ ἀμφίβολον.» Οὐλπ. — ἡγεμὼν] πρωτουργός. — ὢν φαίνομαι] ἰδ. §. 14. σημ.

25. ἐνταῦθα] χρονικόν. — ἡμῶν ἑκάτερος] = ἐγὼ καὶ οἱ περὶ τὸν Αἰσχίνην ἕκαστος χωρίς. — ἐκ τούτων] ἃ προείλετο ἑκάτερος πράττειν. — ὁ πράττων] ἀμεταβάτως = ὁ ἐνεργῶν. — βουλεύων] μέλος ὢν τῆς βουλῆς τῶν φ'. πρβλ. §. 28. καὶ π. παραπρ. §. 134. κ. ἑ.. ἐπειδὴ ἡ εἰρήνη εἶχεν ὁμολογηθῆ ἐπὶ τοῦ ἑκατέρους τοὺς συμβαλλομένους ἔχειν ἃ εἶχον [Δημ.] π. Ἁλονν. §§. 18. 26., συνέφερε τοῖς Ἀθηναίοις νὰ ἐπιτελεσθῆ αὕτη ὅσον τάχιον. ὅθεν ἀφοῦ ἀνεχώρησαν οἱ τοῦ Φιλ. πρέσβεις λαβόντες τοὺς ὅρκους, ἔγραψε ψήφισμα ὁ Δημ. «ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην, τὸν δὲ στρατηγὸν Πρόξενον κομίζειν αὐτοὺς ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνηται» (Δ. π. παραπρ. §. 134.), ἵνα λάβωσι παρ' αὐτοῦ τοὺς ἀμοιβαίους ὅρκους. — οὐδὲ γράψαντος] τὸ οὐδὲ κεῖται κατ' ἐπιδοτικὴν σημασίαν = οὐ μόνον εἴκοθεν δὲν ἠθέλησαν, ἢ οὐ μόνον ὅτε «ἠξίουν ὑμᾶς, καὶ ἔλεγον τούτοις πλεῖν τὴν ταχίστην ἐφ' Ἑλλησπόντου, κ.τ.λ.» (π. παραπρ. §. 130.), ἀλλ' οὐδ' ἀφοῦ ἐγγράφως καὶ τυπικῶς προὔτεινα. κ.τ.λ.

26. τί δὲ — ἠδύνατο] = τί δ' ἐσήμαινε τοῦτο; πρβλ. π. τ. ἐ. Χερρ. §. 57. — τῶν ὅρκων] τῶν ἀ-

ἐξελύσατε τὰς παρασκευὰς τὰς τοῦ πολέμου, ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου μάλιστα ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην
27 λύσειν τούτων ἕνεκα. ἃ ἐγὼ προορώμενος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λογιζόμενος τὸ ψήφισμα τοῦτο γράφω, πλεῖν ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ᾖ Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν, ἵν' ἐχόντων τῶν Θρᾳκῶν, τῶν ὑμετέρων συμμάχων, ταῦτα τὰ χωρία, ἃ νῦν οὗτος διέσυρε, τὸ Σέρριον καὶ τὸ Μυρτηνὸν καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοιντ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐπορήσας ἐκ τούτων ῥᾳδίως τοῖς λοιποῖς ἐπιχει-
28 ροίη πράγμασιν. εἶτα τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ' ἀναγιγνώσκει· εἰ δὲ βουλεύων ἐγὼ προσάγειν τοὺς πρέσβεις

μοιβαίων. — ἐξελύσατε] ἐπαύσατε. — τοῦτο] τό, ὅπως ἂν ὁ χρόνος ὁ μεταξὺ ὡς πλεῖστος γένοιτο. W. πιθανώτερον ἴσως τοῦτο τὸ πολεμεῖν. — ἐπραγματεύετο] ἐπετηδεύετο. — λύσειν] ἐννοεῖται κατ' ἀναλογίαν τὸ ἐνόμιζεν.

27. προορώμενος] = ὑποπτεύων. — γράφω] ἱστορικὸς ἐνεστὼς ἐπὶ τὸ ζωηρότερον, ἀντὶ «ἔγραψα», ὅθεν καὶ τῆς ἐξαρτωμένης προτάσεως τὰ ῥήματα κατ' εὐκτικήν, ἐν ᾧ ἄλλως ὑποτακτικὴν ἀπήτει τὸ γράφω. B. κ. Ρ. οὕτω καὶ ἐν §. 32. «ὠνεῖται — ἵνα μὴ ἐξέλθοιτε κτλ.». — τῶν Θρᾳκῶν] ὧν τότε ἐβασίλευε Κερσοβλέπτης. — ἃ διέσυρε] διὰ τῶν, «Ἐργίσκην καὶ Μυρτίσκην καὶ Γάνος καὶ Γανίδα» κ. Κτησ. §. 82., ἐκ προθέσεως διαστρέφων ἐπὶ τὸ κωμικώτερον τὰ καὶ ἄλλως ἡμιβαρβαρικὰ ταῦτα ὀνόματα τῶν βαρβαρικῶν τούτων τόπων, καὶ παριστῶν αὐτὰ ὡς ἄγνωστα πρότερον, ἐν ᾧ τὸ Σέρριον καὶ ὁ Δορίσκος καὶ παρ' Ἡροδότῳ (Ζ', 59. 108.) μνημονεύονται. — τὰ χωρία ταῦτα ἐν μέρει ἀναφέρει ὁ ῥήτωρ καὶ κατωτ. §. 70. — π. χερρ. §. 64. — κ. Φιλ. Γ', §. 15. καὶ ἀλλαχοῦ ὅτε λάβοι ἀφορμὴν ἵνα ψέξῃ τὸν Φιλ. ὡς διαλύοντα τὴν εἰρήνην. J. — Μυρτηνὸν] «φρούριον ἐν Θρᾴκῃ» Ἁρποκρ. — Ἐργίσκην] «ὃ λέγουσι νῦν Σεργέντζιν.» Σχολ. — τοὺς τόπους] ἐπικαίρους (= χρησίμους ἐν καιρῷ) λέγει τὰς ὀχυρὰς ταύτας θέσεις καθὸ γειτνιαζούσας τῇ Θρᾳκικῇ χερσονήσῳ οὔσῃ Ἀθηναίων, τινὰς δὲ καὶ φρουρουμένας ὑπὸ Ἀθηναίων στρατιωτῶν. κ. Φιλ. Γ', §. 15. W. — ἀλλ' εἶχον καὶ λιμένας προσιτοὺς εἰς τὰς τῶν Ἀθηναίων τριήρεις, ἃς συνέφερε πολὺ τῷ Φιλίππῳ ἵν' ἀπομακρύνῃ τῶν παραλίων ἐκείνων. CH. — πολλῶν μὲν — στρατιωτῶν] ἡ Θρᾴκη ἔχουσα ἄφθονα μεταλλεῖα, χρυσοῦ ἰδίως (Στράβ. ΙΔ', σ. 680.), κατοικουμένη δὲ ὑπὸ μαχίμου λαοῦ διττῶς ἐχρησίμευε τῷ Φιλίππῳ εἰς κατάκτησιν τῆς Ἑλλάδος. ΓΜ.

28. εἰ δέ] ὁ ὑποθετ. εἰ εὔχρηστος συνεχῶς πρὸς ἧττονα ἔμφασιν ἀντὶ τοῦ ὅτι, ἔνθα τοῦτο ἤθελεν εἶσθαι λίαν θετικόν. B. κ. Ρ. ἴδ. καὶ Ἀσώπ. συντ. περ. 6'. σ. 759. §. 28. — προσάγειν τοὺς πρέσβεις] ξενικαί

ὤμην δεῖν, τοῦτό μου διαβάλλει. ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προσάγειν γράψαι τοὺς ἐπὶ τοῦθ' ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν; ἢ θέαν μὴ κατανεῖμαι τὸν ἀρχιτέκτονα αὐτοῖς κελεῦσαι; ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν, εἰ μὴ τοῦτ' ἐγράφη. τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν, τὰ δ' ἄλλα, ὥσπερ οὗτοι, πεπρακέναι; οὐ δήπου. λέγε τοίνυν μοι τὸ ψήφισμα τουτὶ λαβών, ὃ σαφῶς οὗτος εἰδὼς παρέβη.

*ΨΗΦΙΣΜΑ. [Ἐπὶ ἄρχοντος Μνησιφίλου, ἑκατομβαιῶνος ἔνῃ 29

πρεσβεῖαι δὲν ἠδύναντο νὰ ἐμφανισθῶσι τῇ τοῦ δήμου ἐκκλησίᾳ ἄνευ ἰδιαιτέρου ἐπὶ τούτῳ ψηφίσματος τῆς βουλῆς (Αἰσχ. π. παραπρ. §. 58.), τοιοῦτον δὲ ψήφισμα τότε εἶχε γράψει ὁ Δημ. ὢν βουλευτής. — τοῦτό μου διαβάλλει] ὁ Αἰσχίνης ἔψεξεν ἰδίως τὸν κολακευτικὸν τρόπον τοῦ Δημ. («τότε μόνον καὶ πρῶτον πρέσβεις εἰς προεδρίαν ἐκάλεσε, καὶ προσκεφάλαια ἔθηκε, καὶ φοινικίδας περιεπέτασε, καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν, κτλ.» κ. Κτησ. §. 76.), καὶ οὐχὶ τὸ «περὶ τοῦ προσάγειν τοὺς πρέσβεις» ψήφισμα αὐτοῦ, ἀλλ' ὁ ῥήτωρ μεταπλάττει καὶ τοῦτο ἐπὶ τὸ συμφερώτερον ἑαυτῷ. — θέαν] «τόπον εἰς θεωρίαν.» Σχολ. ἔθεν καὶ αἱ φράσεις «θέαν καταλαμβάνειν» (Δημ. κ. Μειδ. §. 179.), «θέαν κατανεῖμαι.» ἡ μὲν ἐπὶ τοῦ θεατοῦ, ἡ δὲ ἐπὶ τοῦ θεατρώνου. — τὸν ἀρχιτέκτονα] οὕτως ἐλέγετο ὁ θεατρώνης καθὸ ἀναδεχόμενος καὶ τὴν ἐπισκευὴν τοῦ θεάτρου. — ἀλλ' ἐν — ἐγράφη] «διασυρμοῦ σχῆμα· τοῦτο δέ ἐστι τὰ μεγάλα μικρὰ ποιῆσαι καὶ ἐξευτελίσαι.» Τιβέρ. π. σχημ. §. 44. — ἐν τοῖν δυοῖν ὀβολοῖν] = διὰ μέσου, καταβολῇ τῶν δύο ὀβολῶν. Schaefer. τοὺς δύο ὀβολοὺς (οὓς παρεχώρει τοῖς ἀπόροις ἡ πολιτεία ἐπὶ θεωρίᾳ, πρβλ. §. 113.) κατέβαλλον ὡς τιμὴν εἰσόδου οἱ πολῖται, οἱ δὲ ξένοι πρέσβεις ἀμισθὶ συνήθως κατεῖχον θέσιν καὶ μάλιστα τὴν προεδρίαν τιμῆς ἕνεκεν· κατὰ ταῦτα καὶ τοὺς πρέσβεις τοῦ Φιλ. εἶχε καλέσαι τότε εἰς προεδρίαν ὁ Δημ., ἐπειδὴ δὲ ὁ Αἰσχ. κατηγόρησε τὴν πρᾶξιν ταύτην τοῦ Δημ. καὶ τὰ ἐπακόλουθα αὐτῆς ὡς κολακείαν, διασύρει αὐτὸν ὁ ῥήτωρ ὡς μικροπρεπῆ λέγων ὅτι καὶ ἂν δὲν ἐγράφετο τὸ ψήφισμα τοῦτο ἠδύναντο οὗτοι νὰ θεωρήσωσι καταβάλλοντες τοὺς δύο ὀβολούς. — τὰ μικρὰ συμφέροντα] ἤτοι τοὺς δύο ὀβολούς, ἐξ ὧν ἔμελλε νὰ συναχθῇ καὶ μετὰ κέρδους τὸ ὑπὸ τοῦ θεατρώνου τῇ πολιτείᾳ καταβληθὲν χρηματικὸν ποσόν, ὅπερ συνήθως δὲν ἦτο μικρόν. — (τὸ ἐν Πειραιεῖ θέατρον παρ. χάριν, κατὰ τὴν ἐν Corp. inscr. gr. 102. ἐπιγραφὴν χρονολογουμένην μεταξὺ Ολ. ρ' — ριε., εἶχε μισθωθεῖ εἰς δραχμὰς 3400. W.). — τὸ δ' ὅλον εἶναι εἰρωνεία τις καὶ ὑπερβολή, διότι τοὺς δύο ὀβολοὺς ἐλάμβανεν ὁ θεατρώνης καὶ οὐχὶ ἡ πόλις. Β. κ. Ρ. — τὰ δ' ὅλα] = τὰ δὲ μέγιστα ἐξ ὧν ἐχρήματο τὸ πᾶν. πρβλ. §. 278. 303. — Ολυνθ. Β', §. 30. — κ. Φιλ. Γ' §. 64. — ὅρα δὲ τὴν μεταξὺ τοῦ φυλάττειν καὶ πεπρακέναι ἀντίθεσιν ὡς καὶ τὴν μεταξὺ τοῦ μικρὰ καὶ τοῦ τὰ δ' ὅλα. — λέγω] ἀποτείνεται πρὸς τὸν γραμματέα. — εἰδὼς] ἐναντιωματικὴ μετοχή.

29. ΨΗΦΙΣΜΑ] περὶ τῆς γνησιότητος ἢ μὴ τούτου καὶ τῶν ἀκολούθων δημοσίων ἐγγράφων ἴδε τὸ ἐν τέλει τοῦ λόγου παράρτημα. — ἐπὶ ἄρχοντος] τοῦ ἐπωνύμου λεγομένου. ἴδ. Ἑλλ. ἀρχαιολ. ἐγχειρίδιον Ἀθ. Ῥουσοπούλου σ. 193 – 194. καὶ 162 – 164. — ἑκατομβαιῶνος] τοῦ ἀ. ἀττικοῦ μηνός. ἴδ. τὸ αὐτὸ ἐγχειρίδ. σ. 253 – 257. — ἔνῃ] Θηλ., τοῦ ἕνος ἢ ἕνος = παλαιός, ὅθεν ἔνῃ καὶ νέᾳ = παλαιᾷ καὶ νέᾳ σελήνῃ,

καὶ νέᾳ, φυλῆς πρυτανευούσης Πανδιονίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν· ἐπειδὴ Φίλιππος ἀποστείλας πρέσβεις περὶ τῆς εἰρήνης ὁμολογουμένας πεποίηται συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ, ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθηναίων ἤδη πέντε, τοὺς δὲ χειροτονηθέντας ἀποδημεῖν μηδεμίαν ὑπερβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι τὴν ταχίστην ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν Ἀθηναίων δῆμον, συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. πρέσβεις ἠρέθησαν Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Κοθωκίδης, Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεύς, Κλέων Κοθωκίδης.]

30 Ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι καθῆντο ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης, πάντα καταστρεψάμενος, ἐξὸν

ἤτοι τῇ τελευταίᾳ ἡμέρᾳ ἑκάστου σεληνιακοῦ μηνός. — φυλ. πρυτανευούσης] ἴδ. τὸ αὐτὸ ἐγχειρίδ. σ. 174. καὶ 188 — 190. — Λεξικὸν ἀρχαιολογ. μεταφρ. Δ. Πανταζῆ σ. 142. — Δημ. — Παιανιεὺς] οἱ ἀρχαῖοι Ἕλληνες δὲν εἶχον οἰκογενειακὰ ὀνόματα, ἀλλὰ πρὸς διάκρισιν τῶν προσώπων προσέγραφον τῷ κυρίῳ ὀνόματι τὸ τοῦ πατρὸς καὶ τὸ τοῦ δήμου ᾧ ἀνῆκον. — ὁμολογουμένας] συμπεφωνημένας ὑπ' ἀμφοτέρων τῶν μερῶν. Β. — δεδόχθαι] ἀντὶ δεδόχθω· εἰς πάντα τὰ δημόσια ψηφίσματα, ὅπου προβάλλεται ἢ ζητεῖται νὰ γείνῃ τι, τὸ ῥῆμα τίθεται κατ' ἀπαρέμφατον. Β. — ἡ ἐπιχειροτονηθεῖσα] ἡ δι' ἀνατάσεως χειρῶν ἐπικυρωθεῖσα. — ἐν τῇ — ἐκκλησίᾳ] ἴδ. τὸ αὐτὸ ἀρχαιολ. ἐγχειρίδ. σ. 178 — 179. — ἐκ πάντων Ἀθηναίων] ἄνευ διακρίσεως φυλῶν δηλ. κτλ. — ἤδη] καταλληλότατον ἐνταῦθα. ἀφοῦ ἐν τῇ ἀ. ἐκκλησίᾳ, λέγει, ἀπεφασίσθη ἡ εἰρήνη πρέπει τώρα πλέον νὰ ἐκλέξωσι κ.τ.λ. Β. κ. Ρ.

30. γράψαντος — ζητοῦντος] ἴδ. τὴν ἐν §. 23. π. τ. σιγῆσαι σημ. — οἱ χρηστοὶ] εἰρωνικῶς ὡς καὶ ἐν §. 89. — καθῆντο — μῆνας] ἀκριβέστερον ἐκφράζεται ἐν τῷ π. παραπρ. (§. 155.)· «πρὶν εἰς Μακεδονίαν ἐλθεῖν τρεῖς καὶ εἴκοσιν ἡμέρας ἀνηλώσαμεν, τὰς δ' ἄλλας πάσας καθήμεθ' ἐν Πέλλῃ πρὶν Φίλιππον ἐλθεῖν, σὺν αἷς ἐπορεύθημεν ὁμοῦ πεντήκοντ' ὅλας.» ἄρα 27 ἡμέρας ἐκάθηντο ἐν Μακεδ. ἕως ἦλθε Φίλιππος. ὡσαύτως «τρεῖς ὅλους μῆνας ἀπεδημήσαμεν ἐπὶ τοὺς ὅρκους» λέγει (π. παραπρ. §§. 57. 158.), ἐν ᾧ 70 περίπου ἡμέρας εἶχον ἀποδημήσει, ἤτοι ἀπὸ τρίτης μουνυχιῶνος ἱσταμένου (Αἰσχ. π. παραπρ. §. 91 — 92.) μέχρι τρίτης ἐπὶ δέκα τοῦ σκιροφοριῶνος (Δημ. π. παραπρ. §. 58.). σχεδὸν δὲ τρεῖς μῆνες παρῆλθον ἀπὸ τῆς

ἡμερῶν δέκα, ὁμοίως δὲ τριῶν ἢ τεττάρων, εἰς τὸν Ἑλλήσποντον
ἀρῖχθαι καὶ τὰ χωρία σῶσαι, λαβόντας τοὺς ὅρκους πρὶν ἐκεῖ-
νον ἐξελεῖν αὐτά· οὐ γὰρ ἂν ἥψατ' αὐτῶν παρόντων ἡμῶν, ἢ
οὐκ ἂν ὠρκίζομεν αὐτόν, ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει
καὶ οὐκ ἂν ἀμφότερα εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ χωρία.

Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίπ- 31
που, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων τοιοῦτον
ἐγένετο, ὑπὲρ οὗ καὶ πότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ καὶ πολε-
μεῖν καὶ διαφέρεσθαι τούτοις. ἕτερον δ' εὐθὺς ἐρεξῆς ἔτι τούτου
μεῖζον κακούργημα θεάσασθε. ἐπειδὴ γὰρ ὤμοσε τὴν εἰρήνην 32
ὁ Φίλιππος προλαβὼν τὴν Θρᾴκην διὰ τούτους οὐχὶ πεισθέντας
τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν ὅπως μὴ ἀπίω-
μεν ἐκ Μακεδονίας, ἕως τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φω-
κέας εὐτρεπῆ ποιήσαιτο, ἵνα μή, δεῦρ' ἀπαγγειλάντων ἡμῶν
ὅτι μέλλει καὶ παρασκευάζεται πορεύεσθαι, ἐξέλθοιτε ὑμεῖς
καὶ περιπλεύσαντες ταῖς τριήρεσιν εἰς Πύλας, ὥσπερ πρότερον,
κλείσαιτε τὸν τόπον, ἀλλ' ἅμ' ἀκούοιτε ταῦτα ἀπαγγελλόντων
ἡμῶν κἀκεῖνος ἐντὸς εἴη Πυλῶν καὶ μηδὲν ἔχοιθ' ὑμεῖς ποιῆ-

ἡμέρας καθ' ἣν ἐψηφίσθη ἡ εἰρήνη (Δημ. αὐτόθι) μέχρι τῆς ἀπὸ Μακεδονίας ἐπανόδου αὐτῶν. — ἡ μ ε ρ ῶ ν δ έ κ α] ἐντὸς δέκα ἡμερῶν, ὡς καὶ τὸ ἐν §. 35. «δυοῖν ἢ τριῶν ἡμερῶν.» διὰ δὲ τοῦ ὁ μ ο ί ω ς δ ὲ (= ἀλλ' ἐπίσης) τ ρ ι ῶ ν ἢ τ ε τ τ ά ρ ω ν σμικρύνει τὸν χρόνον τοῦ ἀπόπλου εἰς τὸν ἐλάχιστον ὅρον. — ἐ ξ ε λ ε ῖ ν] ἀφελεῖν αὐτὰ τῶν Θρακῶν. — α ὐ τ ῶ ν] τῶν χωρίων. — π α ρ ό ν τ ω ν] ὑποθετικὴ μετοχὴ ἐξηγητέα διὰ παρατατικοῦ. — ὠ ρ κ ί ζ ο μ ε ν] ὅθεν ὁ ρ κ ω τ α ὶ οἱ πεμπόμενοι πρέσβεις ἵνα λάβωσιν ὅρκους. Ξενοφ. Ἑλλην. ς'. ἐ, 3. R.

31. Κ λ έ μ μ α — δ ω ρ ο δ ό κ η μ α] ὃ ἐκέρδησε μὲν ὁ Φίλ. διὰ δόλου καὶ ἀπάτης, παρεχώρησαν δὲ αὐτῷ οὗτοι δωροδοκηθέντες. — κ α ὶ τ ό τ ε — καὶ ἀ ε ὶ] τοὺς τρεῖς συμπεριέλαβε χρόνους τὸ α ἰ ω ν ί ω ς δηλῶν. — ε ὐ θ ὺ ς ἐ φ ε ξ ῆ ς] ἐννοητέον τὴν μετοχὴν σ υ μ β ὰ ν ῆ π ρ α χ θ έ ν.

32. Ἐ π ε ι δ ὴ — ὤ μ ο σ ε] κατὰ τὰ ἐν §. 138. τοῦ Δημ. π. παραπρ. ὁ Φίλ. ἔδωκε τοὺς ὅρκους ἐν Φεραῖς «ἐν τῷ πανδοκείῳ τῷ πρὸ τοῦ Διοσκουρείου, — ὅτε δεῦρ' ἤδη τὸ στράτευμ' ἄγων ἐβάδιζε». — ὠ ν ε ῖ τ ο π α ρ ' α ὐ τ ῶ ν — μ ὴ ἀ π ί ω μ ε ν] «ἡνίκα μὲν περὶ προδοσίας ἦν ἡ μνήμη τὸ ὠ ν ε ῖ τ α ι π α ρ ' α ὐ τ ῶ ν εἶπεν» καθὸ ἀμέτοχος αὐτῆς (Δημ. π. παραπρ. §. 205.)· «ὅτε δὲ κακὸν οὐδὲν ἦν συνῆψεν ἑαυτὸν εἰπών, ὅ π ω ς μ ὴ ἀ π ί ω μ ε ν ἐκ Μ α κ ε δ.» Οὐλπ. — οὕτω καὶ τὸ ἐν §. 30. «καθῆντο ἐν Μακεδ.» ὁ Δημ. καὶ πλοῖον ἐμισθώσατο, ὡς λέγει (π. παραπρ. §. 323.), ἵνα ἐπανέλθῃ πρὸ τῶν συμπρέσβεων, ἀλλὰ κατεκωλύθη ἐκπλεῦσαι. — ε ἰ ς Π ύ λ α ς] εἴτε Θερμοπύλας ἀπὸ τῶν πλησίον θερμῶν ὑδάτων τιμωμένων ὡς Ἡρακλέους ἱερῶν. Στράβ. Θ', σ. 428. — ὥ σ π ε ρ π ρ ό τ ε ρ ο ν] Ολ. ρς', δ', 353. πρβλ. τὴν ἐν §. 20. π. τ. π ό λ ε μ ο ν σημ. — κ. Φιλ. Δ', §. 17. — π. παραπρ. §. 84. —

33 σαι. οὕτω δ' ἦν ὁ Φίλιππος ἐν φόβῳ καὶ πολλῇ ἀγωνίᾳ, μὴ καὶ ταῦτα προειληφότος αὐτοῦ, εἰ πρὸ τοῦ τοὺς Φωκέας ἀπολέσθαι ψηφίσαισθε βοηθεῖν, ἐκφύγοι τὰ πράγματ' αὐτόν, ὥστε μισθοῦται τὸν κατάπτυστον τουτονί, οὐκέτι κοινῇ μετὰ τῶν ἄλλων πρέσβεων, ἀλλ' ἰδίᾳ καθ' αὑτόν, τοιαῦτα πρὸς ὑμᾶς
34 εἰπεῖν καὶ ἀπαγγεῖλαι, δι' ὧν ἅπαντ' ἀπώλετο. ἀξιῶ δὲ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δέομαι τοῦτο μεμνῆσθαι παρ' ὅλον τὸν ἀγῶνα, ὅτι μὴ κατηγορήσαντος Αἰσχίνου μηδὲν ἔξω τῆς γραφῆς οὐδ' ἂν ἐγὼ λόγον *οὐδένα ἐποιούμην ἕτερον, πάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου ἀνάγκη κἀμοὶ πρὸς ἕκαστα τῶν κατηγορημένων μικρὰ ἀποκρίνασθαι.
35 τίνες οὖν ἦσαν οἱ παρὰ τούτου λόγοι τότε ῥηθέντες καὶ δι' οὓς ἅπαντ' ἀπώλετο; ὡς οὐ δεῖ θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον εἴσω Πυλῶν· ἔσται γὰρ ἅπανθ' ὅσα βούλεσθ' ὑμεῖς, ἂν ἔχηθ' ἡσυχίαν, καὶ ἀκούσεσθε δυοῖν ἢ τριῶν ἡμερῶν, οἷς μὲν ἐχθρὸς ἥκει, φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος, τοὐναντίον ἐχθρόν. οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βε-

Διόδ. ις', 38. — εὐχερέστατα δὲ ἠδύναντο νὰ κλείσωσιν αὐτῷ οἱ Ἀθην. τὰς Πύλας, καθόσον ὁ στρατηγὸς αὐτῶν Πρόξενος μετὰ τοῦ στόλου ἦν ἐν Εὐβοίᾳ (εἰς Ὠρεόν) [Δημ. παραπρ. §. 135.]. ΓΜ.

33. ἐν φόβῳ καὶ πολλῇ ἀγωνίᾳ] τὸ ἐπίθετον κείμενον μεταξὺ δύο οὐσιαστικῶν ἐκλαμβάνεται ἀπὸ κοινοῦ καὶ εἰς τὸ ἡγούμενον· οὕτως, «ἐν σκότει καὶ πολλῇ δυσκλείᾳ.» Ἐπιτάφ. §. 24. — καὶ ταῦτα] τὰ εἰρημένα. — μισθοῦται] μισθοῦμαι = λαμβάνω τι ἐπὶ μισθῷ, ἐνεργητικῶς δὲ (μισθῶ) = δίδω τινί τι ἐπὶ μισθῷ· τὸν οἶκον, λ. χάριν, μισθοῖ μὲν ὁ ἰδιοκτήτης, μισθοῦται δὲ ὁ ἐνοικιαστής· οὕτω καὶ ἐπὶ ὑπηρεσίας, μισθοῖ μὲν ἑαυτὸν ὁ δοῦλος, προδότης κλπ. (ἴδ. §. 21. 42.), μισθοῦται δὲ αὐτὸν ὁ δεσπότης. πρβλ. §. 51. — τοιαῦτα] οἷα τὰ ἐν §. 35.

34. ἀξιῶ δὲ — ἀνάγκη κἀμοὶ κτλ.] ὅρα καὶ ἐνταῦθα καὶ ἀλλαχοῦ τὴν προσπάθειαν τοῦ ῥήτορος ἵνα ῥίψῃ ἐπὶ τοῦ ἀντιπάλου αὐτοῦ τὴν αἰτίαν τῶν φιλονεικιῶν τούτων τῶν πάντῃ ξένων τῆς προκειμένης δίκης. CH. — παρ' ὅλον τὸν ἀγῶνα] καθ' ὅλον τὸν λόγον, τὴν δικαιολογίαν μου. Β. — μὴ κατηγορήσαντος] ὑποθετικὴ μετοχή (= εἰμὴ κατηγόρησεν), ἧς ἡ ἀπόδοσις οὐδ' ἂν ἐγὼ ἐποιούμην. — κεχρημένου] αἰτιολογικὴ μετοχή.

35. οἱ παρὰ τούτου λόγοι — ῥηθέντες] τὸ οὐσιαστικὸν προτάσσεται τῆς μετοχῆς κατ' ἔμφασιν ῥητορικήν, ὡς καὶ ἐν §§. 98. 126. 293. — ὡς οὐ δεῖ — Θηβαίων] πρβλ. τούτοις τὰ ἐν §§. 19—24. 74. 112. τοῦ Δημ. π. παραπρ.· μάτην ἠγωνίσθη ὁ Δημ. ἵν' ἀποκαλύψῃ τὴν ἀπάτην, ὁ Αἰσχ. καὶ ὁ Φιλοκράτης δὲν ἀφῆκαν αὐτὸν μηδὲ νὰ ὁμιλήσῃ, ὁ δὲ κοῦφος λαὸς ἐπίστευε μᾶλλον τοῖς προσδοκωμένοις ἀγαθοῖς. ἐν τούτοις ὁ Αἰσχ. (π. παραπρ. §. 118. κ. ἑ.) ἀρνεῖται ταῦτα πάντα. W. — οἷς μὲν ἐχθρὸς] τοῖς Φωκεῦσιν. — οἷς δὲ φίλος] τοῖς Θηβαίοις.

δικαιοῦν, μᾶλλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ συμφέρειν· συμφέρειν δὲ Φιλίππῳ καὶ Φωκεῦσι καὶ ὑμῖν ὁμοίως ἅπασι τῆς ἀναλγησίας καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν Θηβαίων. ταῦτα δ' ἀσμένως τινὲς ἤκουον αὐτοῦ διὰ τὴν τόθ' 36
ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους. τί οὖν συνέβη μετὰ ταῦτ' εὐθύς, οὐκ εἰς μακράν; τοὺς μὲν Φωκέας ἀπολέσθαι καὶ κατασκαφῆναι τὰς πόλεις αὐτῶν, ὑμᾶς δ' ἡσυχίαν ἀγαγόντας καὶ τούτῳ πεισθέντας μικρὸν ὕστερον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, τοῦτον δὲ χρυσίον λαβεῖν, καὶ ἔτι πρὸς τούτοις τὴν μὲν ἀπέχθειαν τὴν πρὸς Θηβαίους καὶ Θετταλοὺς τῇ πόλει γενέσθαι, τὴν δὲ χάριν τὴν ὑπὲρ τῶν πεπραγμένων Φιλίππῳ.

— ὀνομάζων] «ἀντὶ τοῦ φράζων, ἁρμηνείᾳ χρώμενος. Δημ. ἐν τῷ ὑπὲρ Κτησ.» Ἁρποκρ. — τὸ ταὐτὰ συμφέρειν] ἡ ταυτότης τῶν συμφερόντων. — τῆς ἀναλγ. — βαρύτητος] «τῆς ἀναισθησίας καὶ τῆς ὠμότητος» Σχολ., ἣν ὑπειδίζει αὐτοῖς καὶ ἐν τῷ πρ. Λεπτ. §. 169.

36. ὑποῦσαν] ὑπάρχουσαν μὲν πλὴν κεκρυμμένην, ὡς καὶ ἐν §. 315. «ὑπεστι.» — εἰς μακράν] ἐννοεῖται ὥραν. περὶ δὲ τῆς προθ. εἰς ἴδ. τὴν ἐν §. 151. σημ. — «τῇ τετράδι σκιροφοριῶνος φθίνοντος» ἤτοι 15 ἡμέρας ὕστερον ἀπὸ τῆς ἐπανόδου τῶν πρέσβεων ἀπηγγέλθη Ἀθηναίοις «ἐκκλησιάζουσιν ἐν Πειραιεῖ ὅτι Φωκεῖς ἀπολώλασιν» (Δημ. π. παραπρ. §. 60. 125.). πᾶσα ἡ Φωκὶς παρεδόθη Φιλίππῳ ἀμαχητί (Δημ. π. παραπρ. §. 61.), ἀφ' οὗ «Φάλαικος ὁ στρατηγὸς τῶν Φωκέων ὑπόσπονδος εἰς τὴν Πελοπόννησον ἀνεχώρησε μετὰ τῶν μισθοφόρων·» αἱ φωκικαὶ πόλεις κατεσκάφησαν, ὁ δὲ λαὸς ἀφωπλίσθη, καὶ ἀπεκλείσθη τοῦ ἀμφικτυονικοῦ συνεδρίου καταδικασθεὶς «φέρειν κατ' ἐνιαυτὸν τῷ θεῷ (τῷ Ἀπόλλωνι) φόρον τάλαντα ἑξήκοντα, μέχρις ἂν ἐκτίσωσι τὰ ἀπογραφέντα χρήματα κατὰ τὴν ἱεροσυλίαν» (Διόδ. ιϛ'. 59. 60.)· οἱ δ' Ἀθηναῖοι φοβούμενοι ἐχθρικὴν εἰσβολὴν τοῦ Φιλίππου ἐψηφίσαντο κατὰ πρύτανιν τοῦ Καλλισθένους «καὶ παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν [εἰς τὸ ἄστυ], καὶ τὰ φρούρια ἐπισκευάζειν, καὶ τὸν Πειραιᾶ τειχίζειν, καὶ τὰ Ἡράκλεια [ὁρτὴν Ἡρακλ. κατ' ἀγροὺς τελουμένην] ἐν ἄστει θύειν» (Δημ. π. παραπρ. §. 125. 86. — Αἰσχ. κ. Κτησ. §. 80.). — τοῦτον δὲ] σχῆμα λόγου τὸ καλούμενον ἀπροσδοκήτων, εἶτ' ἐξ ἀπροσδοκήτου. ἐννοητέον δὲ ὅτι μετὰ τὸ τοῦτον δὲ ἐστάθη ὀλίγον ὁ ῥήτωρ. Β. κ. Γ. — τὴν μὲν ἀπέχθειαν — Φιλίππῳ] ἡ μὲν πόλις ἡμῶν νὰ γίνῃ ἀπεχθὴς πρὸς Θηβαίους καὶ Θεσσαλοὺς διὰ τὴν πρὸς τοὺς Φωκεῖς συμπάθειαν αὐτῆς, ὁ δὲ Φιλ. νὰ ἔχῃ τὴν περὶ τῶν πεπραγμένων (περὶ τῆς καταστροφῆς τῶν Φωκέων) χάριν. παιδλ. §. 40. καὶ π. παραπρ. §. 85. οὕτως ἁρμηνεύουσι τὸ χωρίον συνήθως οἱ ἐκδόται. κατὰ τὸν CH. ὅμως πολλοὶ τῶν ἑλληνικῶν λαῶν μετὰ φρίκης ἐθεώρουν τοὺς Φωκεῖς, καθὸ συλήσαντας τὸ ἐν Δελφοῖς ἱερόν, καὶ δημοτικὸν ἔργον ἦν κατ' αὐτοὺς ἡ καταστροφὴ τῶν ἀσεβῶν τούτων· τοῦτο κατορθώσας ὁ Φίλιππος ἐφείλκυσεν ἑαυτῷ τὴν εὔνοιαν τούτων τῶν λαῶν, τοὐναντίον οἱ Ἀθηναῖοι περιέπεσον εἰς τὸ μῖσος αὐτῶν, καθὸ ἀντιστάντες τῷ Φιλίππῳ [Ολ. ρϛ', δ'. 333.], καὶ οὕτως ὑποστηρίξαντες δήθεν τοὺς Φωκεῖς ἐν τῇ ἀσεβείᾳ αὐτῶν· ἑπομένως ἡ ἔννοια εἶναι· «τὸ μὲν κατὰ Θηβαίων καὶ Θεσσαλῶν μῖσος [ὡς διαπραξάντων κατὰ τὸ ἐκ παλαιοῦ μῖσος γενέσθαι

37 ὅτι δ' οὕτω ταῦτ' ἔχει, λέγε μοι τό τε τοῦ Καλλισθένους ψήφισμα καὶ τὴν ἐπιστολὴν τοῦ Φιλίππου, ἐξ ὧν ἀμφοτέρων ταῦθ' ἅπανθ' ὑμῖν ἔσται φανερά. λέγε.

*ΨΗΦΙΣΜΑ. [Ἐπὶ Μνησιφίλου ἄρχοντος, συγκλήτου ἐκκλησίας ὑπὸ στρατηγῶν, καὶ πρυτάνεων καὶ βουλῆς γνώμῃ, μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος, Καλλισθένης Ἐτεονίκου Φαληρεὺς εἶπε· μηδένα Ἀθηναίων μηδεμιᾷ παρευρέσει ἐν τῇ χώρᾳ κοιταῖον γίγνεσθαι, ἀλλ' ἐν ἄστει καὶ Πειραιεῖ, ὅσοι μὴ ἐν τοῖς φρουρίοις εἰσὶν ἀποτεταγμένοι· τούτων δ' ἑκάστους, ἣν παρέλαβον τάξιν, διατηρεῖν μήτε ἀφη-
38 μερεύοντας μήτε ἀποκοιτοῦντας· ὃς δ' ἂν ἀπειθήσῃ τῷδε τῷ ψηφίσματι, ἔνοχος ἔστω τοῖς τῆς προδοσίας ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον ἐπιδεικνύῃ περὶ ἑαυτόν· περὶ δὲ τοῦ ἀδυνάτου ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων στρατηγὸς καὶ ὁ ἐπὶ τῆς διοικήσεως καὶ ὁ γραμματεὺς τῆς βουλῆς. κατακομίζειν

τὴν ζημίαν τοῖς Φωκεῦσι (Παυσ. Φωκ. 2.), καὶ οὕτω δόντων τὴν ἀ. ἀφορμὴν τοῦ β'. ἱεροῦ πολέμου] νὰ πέσῃ ἐπὶ τῆς πόλεως ἡμῶν, ἡ δὲ—χάρις νὰ ὀφείληται Φιλίππῳ.» οὕτως ἐξηγεῖ αὐτὸ καὶ ὁ Γάλλος μεταφρ. ἀλλ' ἀσφαλέστερον ἴσως ἕπεσθαι τοῖς πλείοσι τῶν ἑρμηνευτῶν.

37. ὅτι—ἔχει, λέγε μοι] τύπος σχεδὸν στερεὸς παρὰ τοῖς ῥήτορσιν εἰς πρόσκλησιν τοῦ γραμματέως τοῦ δικαστηρίου, ἵν' ἀναγνῷ δημόσια ἔγγραφα ἀποδεικτικὰ τῶν λεγομένων. πρβλ. §§. 115. 135. 137. καὶ ἀλλαχοῦ συνεχῶς. πληρέστερος δὲ ὁ ἐν §. 118. τύπος· «ἵνα εἰδῆτε ὅτι» W. — ἀνεγίνωσκε δὲ ταῦτα ὁ γραμματεὺς καὶ οὐχὶ ὁ ῥήτωρ, ἵνα ἔχῃ αὐθεντίαν τὸ πρᾶγμα. B. κ. Ρ. — Καλλισθένους] πιθανῶς αὐτοῦ ἐκείνου, οὗ μνημονεύει ὁ ῥήτωρ ἐν τῷ πρὸς Λεπτ. §. 33., καὶ ἑνὸς τῶν ὑπ' Ἀλεξάνδρου ἐξαιτηθέντων [Ἴδ. §. 41. σημ.]. W. — συγκλήτου] Ἴδ. ἀρχαιολογ. ἐγχειρ. Ρουσοπ. σ. 178. — δεκάτῃ ἀπιόντος] τῇ κά. — παρευρέσει] προφάσει. — ἐν τῇ χώρᾳ—γίγνεσθαι] διανυκτερεύειν ἐν τοῖς ἀγροῖς ἔξω τῆς πόλεως. B. ὡς καὶ παρὰ Πολυβ. Ε', 17, 9. — μήτ' ἀφημ.—ἀποκοιτοῦντας] «μήτε τὴν ἡμέραν ἀποδημοῦντας τῶν φρουρίων, μήτε ἀφισταμένους κατὰ τὴν νύκτα.» Σχολ.

38. τι ἀδύνατον] τι ἀνώτερον τῶν δυνάμεών του, καὶ ἀδύνατον καθιστῶν τὴν ἐκτέλεσιν τῶν ἐν τῷ ψηφίσματι. — ὁ ἐπὶ τῶν ὅπλων] ὁ τῶν ὁπλιτῶν, ὁ τοῦ πεζικοῦ. οὕτω καὶ παρὰ Θουκυδίδῃ καὶ Ξενοφῶντι [Ἀνάβ. Β', 6', 4. 8.] ἀπαντᾶται τὰ ὅπλα ἀντὶ οἱ ὁπλῖται. B. — ὁ ἐπὶ τῆς διοικήσεως] ὁ στρατηγὸς ὁ ἔχων μάλιστα τὴν διοίκησιν τῶν διὰ τὸν πόλεμον χρημάτων. B. κ. Ρ. στρατηγοὶ ἦσαν 10, ἐκλεγόμενοι κατ' ἔτος οὐ μόνον ὡς ἡγεμόνες τοῦ στρατεῦ, ἀλλὰ καὶ τῆς διοικήσεως μεθεξοντες. Ἴδ. ἀρχαιολ. ἐγχειρ. Ρουσ. σ. 231—232. — ὁ γραμματεὺς τῆς βουλῆς] ὁ καὶ γραμματεὺς τῶν βουλευτῶν λεγόμενος ἔν τισιν ἐπιγραφαῖς. D. — τρεῖς διάφοροι γραμματεῖς ἀναφέρονται ἐν Ἀθήναις, ὁ τοῦ δήμου ἢ τῆς πόλεως, ὁ τῆς βουλῆς ἢ τῶν βουλευτῶν, καὶ ὁ κατὰ πρυτανείαν. B. κ. Ρ. — κατακομίζειν] ὡς καὶ ἐν τῷ π. παραπρ. Δημ. §. 123. καὶ Λυκ. κ. Λεωκρ. §. 16., καθότι τὸ

δὲ καὶ τὰ ἐκ τῶν ἀγρῶν πάντα τὴν ταχίστην, τὰ μὲν ἐντὸς σταδίων ἑκατὸν εἴκοσι εἰς ἄστυ καὶ Πειραιᾶ, τὰ δὲ ἐκτὸς σταδίων ἑκατὸν εἴκοσι εἰς Ἐλευσῖνα καὶ Φυλὴν καὶ Ἄφιδναν καὶ Ῥαμνοῦντα καὶ Σούνιον.]

Ἆρ' ἐπὶ ταύταις ταῖς ἐλπίσι τὴν εἰρήνην ἐποιεῖσθε, ἢ ταῦτ' ἐπηγγέλλεθ' ὑμῖν οὗτος ὁ μισθωτός;

Λέγε δὴ τὴν ἐπιστολήν, ἣν δεῦρ' ἔπεμψε Φίλιππος μετὰ 39
ταῦτα.

ΕΠΙΣΤΟΛΗ. [Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἴστε ἡμᾶς παρελθυθότας εἴσω Πυλῶν καὶ τὰ κατὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς πεποιημένους, καὶ ὅσα μὲν ἑκουσίως προσετίθετο τῶν πολισμάτων, φρουρὰς εἰσαγηοχότας, *τὰ δὲ μὴ ὑπακούοντα κατὰ κράτος λαβόντες καὶ ἐξανδραποδισάμενοι κατεσκάψαμεν. ἀκούων δὲ καὶ ὑμᾶς παρασκευάζεσθαι βοηθεῖν αὐτοῖς γέγραφα ὑμῖν, ἵνα μὴ πλεῖον ἐνοχλῆσθε περὶ τούτων· τοῖς μὲν γὰρ ὅλοις οὐδὲ μέτριόν μοι δοκεῖτε ποιεῖν, τὴν εἰρήνην συνθέμενοι, καὶ ὁμοίως ἀντιπαρεξάγοντες, καὶ ταῦτα οὐδὲ συμπεριειλημμένων τῶν Φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν συνθήκαις. ὥστε ἐὰν μὴ ἐμμένητε τοῖς ὡμολογημένοις, οὐδὲν προτερήσετε ἔξω τοῦ ἐρθακέναι ἀδικοῦντες.]

ἄστυ πλησιέστερον τῇ θαλάσσῃ κείμενον εἶναι καὶ χαμηλότερον. D. — τὰ ἐκ τῶν ἀγρῶν] κατὰ βραχυλογίαν = τὰ ἐν τοῖς ἀγροῖς ἐκ τῶν ἀγρῶν· οὕτω καὶ «τὰ ἐκ τῆς Ἀττικῆς βοσκ.» §. 213. καὶ «τῶν ἐκ τῶν πόλεων» §. 44. ἴδ. καὶ §. 145. — εἰς Ἐλευσῖνα—Σούνιον] φρούρια καὶ ὀχυρὰς θέσεις τῆς Ἀττικῆς. ἴδ. Ξενοφ. Ἑλλ. Β', δ', 2.—Διόδ. ΙΔ', 32.—Κορνήλ. Νέπ. Θρασυβ. 2.—Θουκυδ. Η', 4.—Σκύλακ. σ. 21. D.

39. κατεσκάψαμεν] μετάβασις ἀπὸ πλαγίου εἰς ὀρθὸν λόγον συνήθης τοῖς Ἕλλησιν. B. κ. Ρ. — τοῖς μὲν—ὅλοις] = τῷ ἐν ἄλλῃ τινὶ ἐπιστολῇ τοῦ Φιλίππου (§. 77.) καθ' ὅλου. CH. — οὐδὲ μέτριον] τίμιον, δίκαιον. B. πρβλ. καὶ τὴν ἐν §. 10. σημ. — ὁμοίως] ἐπίσης ὡς ἐὰν δὲν ἦτο εἰρήνη. B. πρβλ. καὶ §. 110. ἐν τέλει. — ἀντιπαρεξάγοντες] ἀντιτάττοντες ἐμοὶ δύναμιν. B. — καὶ ταῦτα] ποιοῦντες = καὶ μάλιστα. — οὐδὲν προτερήσετε] «οὐδὲν πρότερον —καὶ πλέον ποιήσετε.» Σχολ. — ἐρθακέναι ἀδικοῦντες] τὸ φθάνω μετὰ μετοχῆς σημαίνει «προλαμβάνω τινὰ ἔν τινι πράξει, πράττω τι πρὸ αὐτοῦ.» ἐκλαμβανομένου τοῦ ῥήματος ὡς προσδιοριστικοῦ τῆς μετοχῆς. ἴδ. §. 1. σημ. ἡ δ' ἔννοια. οὐδὲν πλέον πράξετε, εἰμὴ ν' ἀδικῆτε πρῶτοι ἐσεῖς καὶ διαλύσητε τὴν εἰρήνην. οὕτω καὶ παρὰ Διοδώρῳ (ιγ', 38.)

40 Ἀκούετε ὡς σαφῶς δηλοῖ καὶ διορίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ πρὸς τοὺς ἑαυτοῦ συμμάχους, ὅτι « ἐγὼ ταῦτα πεποίηκα ἀκόντων Ἀθηναίων καὶ λυπουμένων, ὥστ᾽ εἴπερ εὖ φρονεῖτε, ὦ Θηβαῖοι καὶ Θετταλοί, τούτους μὲν ἐχθροὺς ὑπολήψεσθε, ἐμοὶ δὲ πιστεύσετε, » οὐ τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βουλόμενος δεικνύναι. τοιγαροῦν ἐκ τούτων ὤχετ᾽ ἐκείνους λαβὼν εἰς τὸ μηδ᾽ ὁτιοῦν προορᾶν τῶν μετὰ ταῦτα μηδ᾽ αἰσθάνεσθαι, ἀλλ᾽ ἐᾶσαι πάντα τὰ πράγματα ἐκεῖνον ὑφ᾽ ἑαυτῷ ποιήσασθαι· ἐξ ὧν ταῖς παρούσαις συμφο-
41 ραῖς οἱ ταλαίπωροι κέχρηνται. ὁ δὲ ταύτης τῆς πίστεως αὐτῷ συνεργὸς καὶ συναγωνιστὴς καὶ ὁ δεῦρ᾽ ἀπαγγείλας τὰ ψευδῆ καὶ φενακίσας ὑμᾶς οὗτός ἐστιν ὁ τὰ Θηβαίων ὀδυρόμενος νῦν πάθη καὶ διεξιὼν ὡς οἰκτρά, καὶ τούτων καὶ τῶν ἐν Φωκεῦσι κακῶν καὶ ὅσ᾽ ἄλλα πεπόνθασιν οἱ Ἕλληνες ἁπάντων αὐτὸς ὢν αἴτιος. δῆλον γὰρ ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσιν, Αἰσχίνη, καὶ τοὺς Θηβαίους ἐλεεῖς, κτῆμ᾽ ἔχων ἐν τῇ Βοιωτίᾳ

«ἔφθασαν ἀλλήλους προσνέμοντες ἑαυτοὺς τῷ Φιλίππῳ.».

40. διορίζεται] λέγει ὁριστικῶς, ἀποφαίνεται. — πρὸς τοὺς συμμάχους] Θηβαίους καὶ Θεσσαλούς. συναπτέον δὲ μετὰ τοῦ « δηλοῖ καὶ διορίζεται.» W. — ἐγὼ ταῦτα — πιστεύσετε] ταῦτα ὡς ἐκ προσώπου τοῦ Φιλίππου λέγει ὁ Δημ., εἶτα ἐπιφέρει κατ᾽ ἐπανόρθωσιν « οὐ τούτοις τοῖς ῥήμ. γράψας.» B. κ. P.— ἐκ τούτων] τῶν πράξεων καὶ λόγων. — ὤχετ᾽ ἐκείνους λαβών] τὸ ὤχετο μετὰ μετοχῆς εὔχρηστον ἐπὶ ἐκφράσεως τάχους (οἷον καὶ ἐν §. 65. « ὤχετο ἀπιών.» ἔνθα ἐπιπροστίθεται καὶ τὸ εὐθέως πρὸς πλείονα ἔμφασιν). ἡ δ᾽ ἔννοια· ἀφῆρπασε τὴν ἐμπιστοσύνην ἐκείνων. οὕτω καὶ ἐν τῷ π. παραπρ. §. 19. « εἶπε δὲ τοιούτους λόγους, — ὥσθ᾽ ἅπαντας ὑμᾶς λαβὼν ὤχετο.» — προορᾶν] κατ᾽ ἐνεστῶτα, διότι ἐκλαμβάνεται γενικῶς, ἐνῷ τὸ ἐᾶσαι κατ᾽ ἀόριστον ὡς ἀφορῶν τὰ τότε γενόμενα ἰδίως. B. κ. P. — ταῖς παρούσαις συμφοραῖς] διότι κατεστράφησαν ὑπ᾽ Ἀλεξάνδρου. — οἱ ταλαίπωροι] Θηβαῖοι. ὅπερ καὶ παρενθέτουσι τὰ χειρόγρ. ἐκτὸς τοῦ Σ.

41. τῆς πίστεως] τῆς ἐμπιστοσύνης τῶν Θηβ. καὶ τῶν Θεσσαλῶν. — αὐτῷ] τῷ Φιλίππῳ. — συνεργὸς — συναγωνιστὴς] ταῦτα ἐκτὸς τοῦ διὰ γενικῆς προσδιορισμοῦ λαμβάνουσι καὶ διὰ δοτικῆς δυνάμει τῆς σύν. σύνταξις προσφιλὴς τῷ Δημ. καθὸ ἐπαύξουσα τὴν συμπύκνωσιν τῶν ἰδεῶν. CH. — φενακίσας] δολιευθείς. — ὁ τὰ Θηβαίων — ὡς οἰκτρά] ἐμπαίζει τῇ πρὸς Θηβαίους συμπαθείᾳ τοῦ Αἰσχίνου (κ. Κτησ. §. 156.—157.), ἧς τὸ πλαστὸν ἐξελέγχεται ἐκ τῶν ἀλλαχοῦ (κ. Κτησ. §. 133.) λόγων αὐτοῦ τούτου. — ὢν] ἐναντιωμ. μετοχή, ὡς καὶ ἡ ἑπομ. ἔχων. — δῆλον γὰρ] εἰσαγωγικὸν πικρότατης εἰρωνείας ζωηρότερον ἐμφαινομένης διὰ τῶν ἑξῆς ἀντιθέσεων· φυσικῶς ἔπρεπε νὰ χαίρῃ μὲν ἐπὶ τοῖς συμβεβηκόσιν ὁ κτῆμ᾽ ἔχων ἐκεῖ, ν᾽ ἀλγῇ δὲ ὁ ζητούμενος ὑπὸ τοῦ ἐχθροῦ. — κτῆμ᾽ — ἐν τῇ Βοιωτίᾳ] κτήματα εἶχεν Αἰσχίνης μετὰ τὴν ἱερὰν πό-

καὶ γεωργῶν τὰ ἐκείνων, ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξητούμην ὑπὸ τοῦ ταῦτα * πράξαντος.

Ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους, οὓς αὐτίκα μᾶλλον ἴσως 42
ἁρμόσει λέγειν, ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων ἀδικήματα τῶν νυνὶ παρόντων πραγμάτων γέγονεν αἴτια.

Ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ Φιλίππου διὰ τούτων τῶν ἐν ταῖς πρεσβείαις μισθωσάντων ἑαυτοὺς τῷ Φιλίππῳ καὶ οὐδὲν ἀληθὲς ὑμῖν ἀπαγγειλάντων, ἐξηπάτηντο δὲ οἱ ταλαίπωροι Φωκεῖς καὶ ἀνῄρηντο αἱ πόλεις αὐτῶν, τί ἐγένετο; οἱ μὲν κατάπτυστοι Θετταλοὶ καὶ ἀναίσθητοι Θηβαῖοι 43

λεμον καὶ ἐν Φωκίδι φέροντα πρόσοδον 30 μνᾶς (δραχμὰς 3000). Δημ. π. παραπρ. §. 145. — ἐξητοῦμην] μετὰ τὴν καταστροφὴν τῶν Θηβῶν ὁ Ἀλέξανδρος εἶχεν ἀπαιτήσει ἀπὸ τῶν Ἀθηναίων νὰ παραδώσωσιν αὐτῷ 8—10 ῥήτορας «τοὺς κατ' αὐτοῦ πεπολιτευμένους, ὧν ὑπῆρχον ἐπιφανέστατοι Δημοσθένης καὶ Λυκοῦργος» (Διόδ. ΙΖ', 15. — Πλούτ. Δημ. 23. Φωκ. 17. — Ἀρρ. Ἀνάβ. Α', 10). — ὑπὸ τοῦ πράξαντος] ἴδ. τὴν ἐν §. 323. σημ.

42. Ἀλλὰ γὰρ ἐμπέπτωκα] «μέθοδος ἀληθινοῦ καὶ οἷον ἐμψύχου λόγου ἐστὶν ἔτι τὸ δοκεῖν αὐτόθεν πως κινούμενον λέγειν, ἀλλὰ μὴ ἐσκεμμένον· οἷον ἀλλὰ γὰρ κτλ.» Ἑρμογ. π. ἰδ. σ. 344. — ἀλλὰ γάρ] τὰ μόρια ταῦτα συνδέονται οὕτω κατ' ἐπανόρθωσιν, ὡς ἐὰν ἔλεγεν. «ἀλλά, ἐμπέπτωκα γὰρ — ἐπάνειμι δή», καίτοι μὴ συνεχόμενον τοῦτο γραμματικῶς μετὰ τοῦ γάρ. ἡ αὐτὴ φράσις ἀπαντᾶται καὶ ἐν §. 211. — ἐμπέπτωκα] «τὸ ἀκουσίως ἐν τούτοις γενέσθαι δηλοῖ.» Σχολ. — οὓς αὐτίκα — ἁρμόσει λέγειν] τίνες οἱ λόγοι οὗτοι, καὶ ποῦ ὕστερον λέγει αὐτούς, οὐδὲν σημειοῦσι περὶ τούτου οἱ ἐκδόται. τὰ μέχρι τῆς §. 41. συνεχεῖς εἰσιν ἀποδείξεις ὅτι τὰ δικήματα τοῦ Αἰσχίνου καὶ τῶν περὶ αὐτὸν ὑπῆρξαν αἴτια τῶν νυνὶ παρόντων πραγμάτων, εἰς ἃς καὶ ἐπανέρχεται, λέγει, ἐν §. 42. ἑπομένως μόνον τὰ ἐν §. 41. δύνανται νὰ ἦναι οἱ εἰς οὓς ἐμπέπτωκε λόγοι· προσεγγίζοντα δὲ τούτοις καὶ μάλιστα τοῖς «καὶ τούτων καὶ τῶν ἐν Φωκεῦσι κακῶν καὶ ὅσ' ἄλλα πεπόνθασιν οἱ Ἕλληνες ἁπάντων αὐτὸς ὢν αἴτιος» οὐδαμοῦ ἀλλαχοῦ εὑρηται, ἢ ἐν §. 142. κ. ἑ., ἔνθα ὁ Δημ. ἀρχόμενος τῆς ἐκθέσεως τῶν εἰργασμένων τῷ Αἰσχ. κακῶν λέγει αὐτὸν «αἴτιον πάντων τῶν μεγίστων κακῶν» (πρβλ. καὶ §. 138. 139.). πιθανὸν λοιπὸν οἱ αὐτίκα ῥηθησόμενοι οὗτοι λόγοι νὰ ἦναι ἡ μακρὰ ἐκείνη ἔκθεσις, εἰμὴ ὑποθετέον ταῦτα οὕτως ἁπλῶς καὶ ἀσκόπως εἰρημένα, ὅπερ μοι φαίνεται δυσπαράδεκτον. — νυνὶ] εὔχρηστον κατὰ τοὺς ἀττικοὺς ἐπὶ τοῦ ἐνεστῶτος μόνου, ἐν ᾧ τὸ νῦν τίθεται καὶ ἐπὶ τῶν τριῶν χρόνων. Οὐολφ. σημ. εἰς Δημ. πρ. Λεπτ. §. 25. πρβλ. Αἰσχ. κ. Κτησ. §. 30. ἔνθα ὥσπερ νῦν λέγων ὁ Αἰσχίνης ἐννοεῖ τὴν ἀμέσως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἐποχήν, καὶ οὐχὶ τὴν ἐν ᾗ ἐξεφώνει τὸν λόγον τοῦτον. — ἐπειδὴ] χρονικόν. ἴδ. §. 87. σημ. — γὰρ] ἀφηγηματικός. — τῷ Φιλίππῳ] δὲν κεῖται περιττῶς μετὰ τὸ ἀνωτ. «ὑπὸ Φιλίππου». ὁ ῥήτωρ δὲν θεωρεῖ τὰ τοιαῦτα, καὶ δύναται νὰ τὰ ἐπαναλάβῃ ὁσάκις χρειάζεται. Β. κ. Ρ.

43. οἱ μὲν κατάπτυστοι] ἀπότομον ὁπωσοῦν ὡς πρὸς τὸ ἀείποτε

φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο· πάντ' ἐκεῖνος
ἦν αὐτοῖς· οὐδὲ φωνὴν ἤκουον, εἴ τις ἄλλο τι βούλοιτο λέγειν·
ὑμεῖς δὲ ὑφορώμενοι τὰ πεπραγμένα καὶ δυσχεραίνοντες ἤγετε
τὴν εἰρήνην ὅμως· οὐ γὰρ ἦν ὅ τι ἂν ἐποιεῖτε· καὶ οἱ ἄλλοι
δὲ Ἕλληνες, ὁμοίως ὑμῖν πεφενακισμένοι καὶ διημαρτηκότες
ὧν ἤλπισαν, ἦγον τὴν εἰρήνην, αὐτοὶ τρόπον τινὰ ἐκ πολ-
44 λοῦ πολεμούμενοι. ὅτε γὰρ περιὼν Φίλιππος Ἰλλυριοὺς καὶ
Τριβαλλούς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ
δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖθ' ὑφ' ἑαυτῷ, καί τινες

εὖνουν τοῖς Ἀθηναίοις τοῦ πλήθους τῶν Θεσσαλῶν (Θουκ. Δ', 78), καὶ δύναται νὰ δικαιολογηθῇ μόνον διὰ τῆς πρὸς αὐτοὺς ἀντιπαθείας τοῦ Δημ. ἂν οὐχὶ ἐκ τῆς πρὸς τοὺς Φωκεῖς δυσμενείας αὐτῶν «ἐγχειρούντων λέγειν ὡς δεῖ τοὺς ἡβῶντας [τῶν Φωκέων] ὠθεῖν κατὰ τοῦ κρημνοῦ.» Αἰσχ. π. παραπρ. §. 142. W. — εὐεργέτην] ἐντονώτερον τοῦ φίλον, ἔτι δ' ἐντονώτερον τὸ σωτῆρ λεγόμενον κυρίως ἐπὶ θεῶν. οἷον Ζεὺς σωτήρ· ἔπειτα ὅμως καὶ οἱ Ἀθηναῖοι ὠνόμαζον οὕτω τὸν Ἀντίγονον καὶ τὸν υἱὸν αὐτοῦ Δημήτριον τὸν πολιορκητήν. B. κ. Ρ. — πάντ' ἐκεῖνος] ὡς καὶ ἐν τῇ καθομιλουμένῃ· ἐκεῖνος εἶναι τὸ πᾶν δι' ἐμέ. — ὑφορώμενοι] ὑποβλέποντες. ὅρα μοι καὶ ἐνταῦθα τὸ σημαινόμενον τῆς ὑπό.—εἶναι δὲ ἐναντιωματικὴ μετοχή, ὡς καὶ αἱ ἑξῆς δυσχεραίνοντες, πολεμούμενοι ἐξηγητέαι διὰ παρατατικοῦ. — οὐ γὰρ—ἐποιεῖτε] οἱ Ἀθην. δυσχεραίνοντες τοῖς πεπραγμένοις δὲν ἀπέστειλαν ἀντιπροσώπους εἰς τὸ ἀμφικτυονικὸν συνέδριον· τότε ὁ Φίλιππος δι' ἰδιαιτέρας πρεσβείας ἀπῄτησεν ἀπ' αὐτῶν ἵνα ἀναγνωρίσωσιν αὐτὸν πάρεδρον τῶν Ἀμφικτυόνων· ἐπειδὴ δὲ οἱ λοιποὶ Ἀμφικτύονες πλὴν Λακεδαιμονίων ἦσαν ὑπὲρ Φιλίππου, ἐν τοιαύτῃ δυσχερεῖ περιστάσει οὐδὲν ἕτερον ὑπελείπετο Ἀθηναίοις ἢ προσποιεῖσθαι φιλίαν· ὁ Δημ. αὐτὸς διὰ τοῦ περὶ εἰρήνης λόγου αὐτοῦ προέτρεψεν αὐτοὺς εἰς διατήρησιν τῆς ὑπαρχούσης εἰρήνης καὶ ἀνοχὴν τῶν γεγονότων. W. — καὶ οἱ ἄλλοι δὲ] σύνηθες τὸ καὶ —δέ, ἐξ ὧν ὁ μὲν δὲ ἐκφράζει τὴν συνέχειαν τοῦ λόγου ἐν γένει, ὁ δὲ καὶ ἀφορᾷ κυρίως μίαν τινὰ λέξιν, ὡς ἐνταῦθα (προσθέτων τὸ οἱ ἄλλοι Ἕλληνες τῷ ἄνωτ. ὑμεῖς δέ). ἐνίοτε ὅμως ὁ καὶ ἀποτελεῖ τὴν συναρμογὴν τοῦ λόγου, ἀντιθετικῶς δὲ κεῖται ὁ δέ· B. κ. Ρ. — αὐτοὶ] αὐτοὶ οὗτοι, οἱ ἴδιοι. — ἐκ πολλοῦ πολεμούμενοι] οὕτω καὶ ἄλλοθι [κ. Φιλ. Γ', §. 17.] λέγει, «ὁ γάρ, οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. B.

§. 44. ὅτε γὰρ—οὐ πρὸς ἐμέ] «τοῦτο σύμπαν ἑνός ἐστι νοήματος ἑρμηνεία, τοῦ ὅτι πάλαι Φίλιππος τοῖς Ἕλλησιν ἐπεβούλευεν.» Ἑρμογ. π. εὑρέσ. σ. 160.—Ἰλλυριοὺς—κατεστρέφετο] Ἰλλυριοὺς μὲν Ολ. ρθ'. ά. 344. (Διόδ. ιϛ', 69.), Τριβαλλοὺς δέ, ἔθνος Θρᾳκικὸν ἐν τῇ κάτω Μοισίᾳ, Ολ. ρί, ά. 340. (Ἰουστ. 9, 3.). κατὰ ταῦτ' ἄρα φαίνεται ὅτι ἐνταῦθα ἐννοεῖ ὁ ῥήτωρ ὅλον τὸ ἀπὸ τῆς φιλοκρατείου εἰρήνης μέχρι τῆς διαλύσεως αὐτῆς διάστημα. ἐκ δὲ τῶν κατὰ τῶν Ἑλλήνων ἐπιχειρήσεων αὐτοῦ ἀνήκουσιν ἐνταῦθα ἡ ἐπ' Ἀμβρακίαν στρατεία, ἡ ὑποδούλωσις τῶν ἐν Ἠπείρῳ ἀποικιῶν τῶν Ηλείων [Δημ.] π. Ἀλονν. §. 32. ἡ κατάληψις τῆς Εὐβοίας, καὶ ἡ κατὰ τῶν ἐν Θράκῃ κτήσεων τῶν Ἀθην. ἐπίθεσις αὐτοῦ. W. —

τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν, τότε πάντες ἐφ' οὓς ταῦτα παρεσκευάζετ' ἐκεῖνος ἐπολεμοῦντο. εἰ δὲ μὴ ἠσθάνοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ. ἐγὼ μὲν γὰρ προὔλεγον καὶ διεμαρτυρόμην καὶ παρ' ὑμῖν ἀεὶ καὶ ὅποι ποτε ἐφθείην· αἱ δὲ πόλεις ἐνόσουν τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων καὶ διαφθειρομένων ἐπὶ χρήμασι, τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν τὰ μὲν οὐ προορωμένων, τὰ δὲ τῇ καθ' ἡμέραν ῥᾳστώνῃ καὶ σχολῇ δελεαζομένων, καὶ τοιουτονί τι πάθος πεπονθότων ἁπάντων, πλὴν οὐκ ἐφ' ἑαυτοὺς ἑκάστων οἰομένων τὸ δεινὸν ἥξειν καὶ διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς σχήσειν, 45

τῶν ἐκ τῶν πόλεων] τῶν ἀποδημούντων ἐκ τῶν πολ. — ἐπὶ τῇ — ἐξουσίᾳ] ἐπὶ τῇ ἐλευθερίᾳ καὶ ἀδείᾳ ἣν παρεῖχεν αὐτοῖς ἡ εἰρήνη, ἤτοι ἕνεκα τῆς εἰρήνης ἔχοντες παρὰ τοῦ δήμου τὴν ἄδειαν τοῦ ἀποδημεῖν, ὅπερ δὲν ἐπετρέπετο ἐν καιρῷ πολέμου εἰμὴ μόνοις τοῖς ὑποκριταῖς· ἴδ. καὶ τὴν ἐν §. 21. π. Ἀριστοδ. σημ. — ἐκεῖσε] εἰς Μακεδονίαν. — οὗτος] ὁ Αἰσχίνης, καί τοι διαφθαρεὶς πολὺ πρότερον. — οὐ πρὸς ἐμέ] ὡς καὶ ἐν §. 14. = οὐ προσήκων πρὸς ἐμέ.

45. διεμαρτυρόμην] ἐπεκαλούμην μάρτυρας θεοὺς καὶ ἀνθρώπους. B. κ. Ρ. — παρ' ὑμῖν] ἐν τοῖς κατὰ ταύτην τὴν ἐποχὴν ἐκφωνηθεῖσι λόγοις αὐτοῦ (κ. Φιλ. β'., π. τ. ἐ. Χερρόν., καὶ κ. Φιλ. Γ'.). — καὶ ὅποι ποτε ἐφθείην] πρέσβυς δηλ. οἷον εἰς Πελοπόννησον Ολ. ρή, δ'. 343. (κ. Φιλ. Β', §. 19.), καὶ Ολ. ρθ', δ'. 343. (κ. Φιλ. Γ', §. 72.), καὶ ἀλλαχοῦ. πρβλ. κατωτ. §. 244. — ἐφθείην κατ' εὐκτικὴν εἰς δήλωσιν τοῦ ἑκάστοτε. B. κ. Ρ. — ἐνόσουν] ἀγαπᾷ ὁ Δημ. τὰ ἐν τῷ πολιτικῷ βίῳ πλημμελήματα νὰ παραβάλλῃ ταῖς νόσοις τοῦ ζωϊκοῦ ὀργανισμοῦ· οἷον ἐν Ολυνθ. Β', §. 21. — κ. Φιλ. Γ', §§. 12. 39. 50. — πρ. τὴν ἐπιστ. Φιλ. §. 14. περὶ δὲ τῶν ἐνταῦθα ψεγομένων προδοτῶν, οὓς ἐπαριθμεῖ καὶ ἐπικρίνει κατωτ. §. 293—296. [ἔνθα ἴδ. καὶ τοῦ Πολυβίου τὴν κρίσιν], ἴδ. Δημ. π. παραπρ. §. 259—263. W. — τῶν μὲν — ὅταν βούλωνται] «ἐξηγητικὰ τοῦ αἱ δὲ πόλεις ἐνόσουν». Ερμογ. π. ἰδ. σ. 225. — τῶν — ἐν τῷ πολιτεύ. καὶ πράττειν] = τῶν ἐν τοῖς πράγμασιν ἀντιθέτως τοῦ ἰδιωτῶν καὶ πολλῶν. — «πολιτεύεσθαι καὶ πράττειν» συνώνυμα, ὡς καὶ τὰ «δωροδοκούντων καὶ διαφθειρομένων χρήμασι» καὶ «τῶν ἰδιωτῶν καὶ πολλῶν», καὶ ἄλλα τοιαῦτα οὐκ ὀλίγα ἐν τῷ λόγῳ τούτῳ πρὸς ἔμφασιν ῥητορικήν. — πολλῶν] τοῦτο εἰς δήλωσιν τοῦ λαοῦ σύνηθες ἐνάρθρως, ἀλλ' ἐνταῦθα τὸ ἄρθρον ἐννοεῖται ἐκ τοῦ προηγουμένου. CH. — τὰ μὲν — τὰ δὲ] = ὁτὲ μέν, ὁτὲ δέ· ὡς ἀντικείμ. δὲ τοῦ προορωμένων (=ὑποπτευόντων) ἐννοητέον τὸ «οὐδὲν δεινόν.» — τῇ καθ' ἡμέραν] = προσκαίρῳ, ζυγμιαίᾳ· ταὐτὸ τῷ ἐν τῷ κ. Φιλ. β', §. 27. «ἡ παραυτίχ' ἡδονὴ καὶ ῥαστώνη.» — δελεαζομένων] ὡραία ἡ μεταφορὰ παριστωμένου τοῦ καθ' ἡμέραν ἡσύχου καὶ ἀνέτου βίου ὡς δολώματος, δι' ὃ οἱ ἰδιῶται καὶ ὅτε ὑπώπτευον δεινόν τι οὐδὲν ἔπραττον· ἐν δὲ τῷ π. παραπρ. (§. 259.) λέγει ὅτι ἐθαύμαζον καὶ ἐζήλουν, «καὶ βούλοιντ' ἂν ἕκαστος τοιοῦτος εἶναι.» τλήμων Ἑλλάς! — πάθος] κατὰ τὴν αὐτὴν τῷ ἀνωτ. ἐνόσουν μεταφοράν. — πλὴν — ὅταν βούλωνται·] ἐπεξήγησις τοῦ «τοιουτονί τι —

46 ὅταν βούλωνται. εἶτ' οἶμαι συμβέβηκε τοῖς μὲν πλήθεσιν ἀντὶ τῆς πολλῆς καὶ ἀκαίρου ῥᾳθυμίας τὴν ἐλευθερίαν ἀπολωλεκέναι, τοῖς δὲ προεστηκόσι καὶ τἄλλα πλὴν ἑαυτοὺς οἰομένοις πωλεῖν πρώτους ἑαυτοὺς πεπρακόσιν αἰσθέσθαι· ἀντὶ γὰρ φίλων καὶ ξένων, ἃ τότε ὠνομάζοντο, ἡνίκα ἐδωροδόκουν, νῦν κόλακες καὶ θεοῖς ἐχθροὶ καὶ τἄλλ' ἃ προσήκει πάντ' ἀκού-
47 ουσιν. οὐδεὶς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῦ προδιδόντος συμφέρον ζητῶν χρήματ' ἀναλίσκει, οὐδ' ἐπειδὰν ὧν ἂν πρίηται κύριος γένηται, τῷ προδότῃ συμβούλῳ περὶ τῶν λοιπῶν ἔτι χρῆται· οὐδὲν γὰρ ἂν ἦν εὐδαιμονέστερον προδότου. ἀλλ' οὐκ ἔστι ταῦτα· πόθεν; πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἐπειδὰν τῶν πραγμάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν καταστῇ, καὶ τῶν ταῦτα ἀποδομένων δεσπότης ἐστί, τὴν δὲ πονηρίαν εἰδῶς, τότε
48 δή, τότε καὶ μισεῖ καὶ ἀπιστεῖ καὶ προπηλακίζει. σκοπεῖτε δ' καὶ γάρ, εἰ παρελήλυθεν ὁ τῶν πραγμάτων καιρός, ὁ τοῦ γε

πάθος πεπονθότων ἁπάντων» ἡ δ' ἔννοια· καὶ τοιοῦτόν τι πάθος εἶχον πάθει ὅλοι ὁμοῦ, ἤτοι ἐνόμιζον ἕκαστος ὅτι ἡ δυστυχία (ἡ δουλεία) θὰ ἐπέλθῃ μὲν πλὴν ὄχι ἐφ' ἑαυτούς, καὶ ὅτι διὰ τῶν κινδύνων τῶν ἄλλων Ἑλλήνων, ἤγουν περιορῶντες τοὺς ἄλλους Ἑλλ. κινδυνεύοντας (ὡς οἱ Ἀρκάδες κλπ. §. 64.), ἢ καὶ συντρέχοντες τοῖς προσβάλλουσιν αὐτοὺς (ὡς οἱ Θεσσαλοὶ κλπ. §. 63.) θέλουσιν ἔχει ἀσφαλῶς τὰ ἴδια ἑαυτῶν ἀγαθά, ὅταν θέλωσιν.

46. οἶμαι] ἄνευ τοῦ ὅτι καὶ ἀσχέτως πρὸς τὸ ἑπόμενον κῶλον (Δ-σωπ. συντ. περ. β'. σ. 734. §. 17. γ'.). — τοῖς πλήθεσιν] παρὰ τοῖς Ἀττικοῖς οἱ πολλοὶ καὶ τὰ πλήθη σημαίνουσι τοὺς δημοκρατουμένους λαούς. B. — πεπρακόσι] ὁμοιοπτώτως τῷ τοῖς προεστηκόσι κατὰ συνεφέλκυσιν συνήθη καὶ τοῖς Ῥωμαίοις. B. κ. P. — ἀντὶ — φίλων καὶ ξένων — ἐδωροδόκουν] τοῦτ' αὐτὸ ἐπιβεβαιοῖ τῷ Δημ. ἄκων καὶ ὁ Αἰσχίνης (κ. Κτησ. §. 66.) διὰ τοῦ «ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου.» πλὴν ὁ ῥήτωρ δὲν παραχωρεῖ αὐτῷ τὴν τιμὴν ταύτην. πρβλ. κατωτ. §. 51—52. — τἄλλα — πάντα] παραπλήσια τούτοις ὀνόματα. — ἀκούουσιν] ὡς καὶ παρ' ἡμῖν· «πῶς ἀκούεις (= ὀνομάζεσαι);»

47. πρίηται] ἀόριστος, οὗ ἄχρηστος ὁ ἐνεστώς. ἴδ. §. 247. σημ. — οὐδὲν ἂν ἦν] δυνητικὸς λόγος, ἤτοι ὑποθετικὸς κατὰ παράλειψιν τοῦ ἡγουμένου «εἰ μὴ οὕτως εἶχεν.» D. — ὅρα τὴν χρῆσιν τοῦ οὐδὲν ἀντὶ τοῦ οὐδείς ἐπὶ τὸ περιεκτικώτερον τῆς ἀρνήσεως. CH. — ἐγκρατὴς] = τῷ ἄνωτ. κύριος· διάφορον δὲ τοῦ δεσπότης λεγομένου ὡς πρὸς δούλους, ἐνταῦθα δὲ ὡς πρὸς τοὺς προδότας. B. κ. P. — καὶ τῶν — δεσπότης ἐστί] ἀπόδοσις τοῦ χρονικοῦ λόγου· ὁ δὲ καὶ προσθετικός. — εἰδώς] χρονικὴ μετοχή. — καὶ μισεῖ καὶ — προπηλακίζει] «καλῶς ἡ τάξις ἔχει τῶν λέξεων· μισεῖ γὰρ καταγνούς, ἀφ' ὧν κακοὶ περὶ τὴν ἐναγκοῦσαν ἐγένοντο· μισήσας δὲ καὶ ἀπιστεῖ· οὐδεὶς γὰρ μισεῖ, εἶτα πιστεύει τῷ μισουμένῳ. ἂν δὲ ἄπιστον καὶ ἐχθρὸν ἡγεῖταί τις, ὑβρίζων οὐ παύεται.» Ὑλλ.

εἰδέναι τὰ τοιαῦτα καιρὸς ἀεὶ πάρεστι τοῖς εὖ φρονοῦσιν. μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας· μέχρι τούτου Εὔδικος καὶ Σῖμος ὁ Λαρισσαῖος, ἕως Θετταλίαν ὑπὸ Φιλίππῳ ἐποίησαν. εἶτ' ἐλαυνομένων καὶ ὑβριζομένων καὶ τί κακὸν οὐχὶ πασχόντων * πᾶσα ἡ οἰκουμένη μεστὴ γέγονεν. τί δ' Ἀρίστρατος ἐν Σικυῶνι, καὶ τί Περίλαος ἐν Μεγάροις; οὐκ ἀπερρίμμενοι; ἐξ ὧν καὶ σαφέστατ' ἄν τις ἴδοι, ὅτι ὁ μάλιστα φυλάττων τὴν ἑαυτοῦ πατρίδα καὶ πλεῖστα ἀντιλέγων τούτοις, οὗτος ὑμῖν, Αἰσχίνῃ, τοῖς προδιδοῦσι καὶ μισθαρνοῦσι τὸ ἔχειν ἐφ' ὅτῳ δωροδοκήσετε περιποιεῖ, καὶ διὰ τοὺς πολλοὺς τουτωνὶ 49

48. μέχρι τούτου—μέχρι τούτου] «ἐπαναφορά, καθ' ἣν δύο καὶ πλειόνων κώλων κόμματα ἀπὸ τῆς αὐτῆς λέξεως ἄρχεται.» Τιβέρ. π. σχημ. σ. 338.—Λασθένης] ὁ μετὰ Εὐθυκράτους προδοὺς τὴν Ὄλυνθον Φιλίππῳ· ἀμφότεροι «πάντων κάκιστ' ἀπολώλασιν» (ἴδ. π. τ. ὲ. Χερρ. §. 40. καὶ τὴν ἐκεῖ σημ. — πρβλ. κ. Φιλ. Γ', §. 66. — π. παραπρ. §§. 263. 342.). —Τιμόλαος] (πρβλ. Δείν. κ. Δημ. §. 74.) ὁ ἐν §. 293. Τιμόλας λεγόμενος (ὡς καὶ παρ' ἡμῖν «Νικόλαος» καὶ «Νικόλας»), ἀκρατέστερος καὶ λιχνότερος πάντων κατὰ Θεόπομ. (παρ' Ἀθην. Ι', σ. 436.). ἴσως ὁ παρ' Ἀρριανῷ (Α', 7.) ἀναφερόμενος. — Εὔδικος] πιθανὸν ἐκ τοῦ ἐπιφανοῦς γένους τῶν ἐν Θεσσαλίᾳ δυναστευσάντων Ἀλευαδῶν, «εἷς—τῶν κατασταθέντων ὑπὸ Φιλίππου κυρίων Θετταλίας ἁπάσης.» Ἁρποκρ. — Σῖμος] πρβλ. Δημ. κ. Νεαίρ. §. 24. 108. καὶ οὗτος Ἀλευάδης καθ' Ἁρποκρ. (παρ' ᾧ γράφεται Σιμός). πρβλ. Ἀριστ. Πολ. Ε', 5, 6. — ὑπὸ τούτων πρωτοκλημένος ὁ Φίλιππος (Ολ. ρς', δ'. 353.) ἵνα προστατεύσῃ αὐτοὺς κατὰ τῶν τυράννων τῶν Φερῶν καθυπέταξε πᾶσαν τὴν Θεσσαλίαν. W. —εἶτα] ἀφοῦ δηλ. προὔδωκαν τὰς πατρίδας αὐτῶν.—τί κακὸν οὐχὶ πασχόντων] = πᾶν κακὸν πασχόντων, ὡς καὶ παρ' ἡμῖν, «τί δὲν ἔπαθα.» — συνήθως τίθεται εἰς τὰ τοιαῦτα τὸ οὐχὶ καθὸ ἐντονώτερον τοῦ οὔ. Β. κ. Ρ. — πᾶσα ἡ οἰκουμένη] ἡ ὑπὸ Ἑλλήνων οἰκουμένη κατὰ D. καὶ τοὺς Γερμανοὺς ἐκδότας παραπέμποντας καὶ εἰς τὸν π. Ἁλονν. §. 35. ἐνθα ὅμως λείπει τὸ πᾶσα. ὁ δὲ Β. κ. Ρ. σημειοῖ ὅτι ὁ Δημ. ἐννοεῖ ἐνταῦθα τωόντι ὅλην τὴν οἰκουμένην, καὶ τοῦτο, λέγει, μάλιστα ἀποδείκνυσιν ἐνταῦθα, ὅτε πλῆθος προδοτῶν εἶχεν ἀναφανῆ ἐπὶ τῆς ἀναβάσεως τοῦ Ἀλεξάνδρου. — ἀλλ' ἴσως ἐρρέθη καὶ καθ' ὑπερβολὴν ἐκφράσεως, οἷον καὶ παρ' ἡμῖν «ὁ κόσμος γέμισεν ἀπὸ . . τὸ ξεύρει ὅλος ὁ κόσμος.» — τί δ' Ἀρίστρ.] κατ' ἔλλειψιν ῥήματός τινος, ὅπερ ἡμεῖς καὶ προσθέτομεν καὶ ἀφήνομεν ὡς «τί γίνεται ὁ δεῖνα», καὶ «τί τάχα ὁ δεῖνα;»—Περίλαος] ἴδ. κατωτ. §. 295. καὶ π. παραπρ. §. 295. — ἔστι δὲ ὁ παρ' Ἁρποκρατίωνι Περίλλος τοῦ Α ὡς Λ ἐκλαμβανομένου κακῶς. Β. κ. Ρ. περὶ δὲ Ἀριστράτου ἴδ. Πλουτ. Ἀρατ. 13.

49 ἐξ ὧν] τῶν εἰρημένων παραδειγμάτων. — τούτοις] τοῖς προδόταις. — ὑμῖν—ἀπολώλειτε] ἀπροσδόκητος ἀποστροφὴ πρὸς τὸν Αἰσχίνην ὡς τὸν κορυφαῖον τῶν προδοτῶν. — ἐφ' ὅτῳ δωροδοκήσετε] τοῦθ' ὅπερ ἀνωτέρω (§. 31.) ἁπλούστερον ἐξέφρασε διὰ τοῦ δωροδόκημα σημαίνοντος οὐ μόνον δωροδοκίαν, ἀλλὰ καὶ πᾶν ἀντικείμενον δωροδοκίας. — τουτωνὶ] τῶν περιεργημένων καὶ

καὶ τοὺς ἀνθισταμένους τοῖς ὑμετέροις βουλήμασιν ὑμεῖς ἐστε σῶοι καὶ ἔμμισθοι, ἐπεὶ διά γε ὑμᾶς αὐτοὺς πάλαι ἂν ἀπολώλειτε.

50 Καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολλὰ λέγειν καὶ ταῦτα ἡγοῦμαι πλείω τῶν ἱκανῶν εἰρῆσθαι· αἴτιος δ' οὗτος, ὥσπερ ἐωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας, ἦν ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων ἀπολύσασθαι. παρηνώχλησθε δὲ ἴσως, οἱ καὶ πρὶν ἐμὲ εἰπεῖν ὁτιοῦν εἰδότες τὴν τούτου τότε
51 μισθαρνίαν. καίτοι φιλίαν γε καὶ ξενίαν αὐτὴν ὀνομάζει, καὶ

ἀκροωμένων. — τοὺς ἀνθιστ. — βουλήμασιν] ἐννοεῖ τοὺς ἀντιμακεδονίζοντας πολιτικοὺς ἄνδρας, ὡς ὁ Λυκοῦργος, Ὑπερείδης, Ἡγήσιππος κ. ἄ. καὶ αὐτὸς ὁ Δημ.. σκέπτεται δὲ ὁ ῥήτωρ ὧδέ πως· οἱ λοιποὶ προδόται ἐκτελέσαντες τὸ δι' ὃ ἐμισθώθησαν ἔργον, κακοὶ κακῶς ἀπώλοντο ὡς ἄχρηστα ὄργανα· ὑμεῖς ὅμως ζῆτε ἔτι καὶ μισθοδοτεῖσθε ὑπὸ τῶν ἐχθρῶν τῆς πατρίδος, διότι οἱ φιλοπάτριδες οὗτοι ἀντέστησαν εἰς τοὺς σκοποὺς ὑμῶν· ἄλλως πρὸ πολλοῦ ἔμελλεν ἡ μὲν πόλις ἡμῶν νὰ ὑποστῇ τὴν αὐτὴν τῇ Ὀλύνθῳ, Θήβαις, κλπ. τύχην, ὑμεῖς δὲ νὰ πάθητε ταὐτὰ τοῖς λοιποῖς προδόταις.

50. Καὶ περὶ μὲν — εἰρῆσθαι] τοιαῦται ἔντεχνοι ἐπιδιορθώσεις καὶ δικαιολογίαι τῶν παρεκβάσεων καὶ προδιαθέσεις κεῖνται συνεχῶς ἐν τῷ λόγῳ τούτῳ ἀναστέλλουσαι ἱκανῶς τὴν ἐκ τῶν περιττολογιῶν καὶ μάλιστα ἐκ τῆς συχνῆς περιαυτολογίας ἀναγκαίως προερχομένην ἀηδίαν. πρβλ. §§. 59. 110. 160. 173. 196. κ. ἀ. — ἔχων] καίτοι ἔχων. — αἴτιος δ' οὗτος] ἴδ. §. 34. σημ. — ἐωλοκρασίαν] ἐκ τοῦ ἔωλος (=χθεσινός, τουρκ. μπαγιάτικος) καὶ κρᾶσις, καὶ σημαίνει τὸν ἀπὸ τῆς χθὲς ἀπομείναντα κεκραμένον οἶνον (κρασί), ὃν ἐν τοῖς μέχρι τοῦ ὄρθρου διαρκοῦσι συμποσίοις (ἴδ. Πλάτ. Συμπ. καὶ ἀλλαχοῦ) οἱ μᾶλλον ἀντέχοντες τῷ πότῳ κατέχειον τὴν πρωΐαν τῆς ἐπιούσης κατὰ κεφαλῆς τῶν βεβαρημένων συμποτῶν αὐτῶν· τούτῳ παρομοιάζει ὁ ῥήτωρ τὰς περὶ φιλοκρ. εἰρήνης κατηγορίας τοῦ Αἰσχίνου καθὸ πρὸ 16—17 ἐτῶν γεγενημένης καὶ μηδαμῶς ἀνηκούσης αὐτῷ· ὅθεν καὶ ἐπιφέρει «τῆς πονηρίας τῆς ἑαυτοῦ — κατασκεδάσας», ὅπερ ἐν §. 17. ἁπλούστερον ἐξέφρασε διὰ τοῦ «τὰ πεπραγμένα ἑαυτῷ — ἀνατιθεὶς ἐμοί.» — πρὸς τοὺς νεωτέρους] ἢ πρὸς ἐνταῦθα σημαίνει ἀναφοράν = ἐνώπιον τῶν νεωτέρων. «νεώτεροι δὲ τῶν πεπραγμένων» εἶναι ἡ μεταξὺ τούτων ἀκμάζουσα καὶ ἤδη ἀνδρικὴν ἔχουσα ἡλικίαν γενεά, ἐξ ἀκοῆς μόνον γινώσκουσα τὰ τῆς φιλοκρ. εἰρήνης [οἱ 30—35 ἐτῶν] ἀντιθέτως τῶν πρεσβυτέρων, οἳ ἦσαν αὐτόπται τούτων, καὶ οὓς ἐννοεῖ ὁ ῥήτωρ διὰ τοῦ «οἱ καὶ πρὶν — εἰδότες.» W. — ἀπολύσασθαι] νὰ ῥίψω ἀπ' ἐπάνω μου, ν' ἀναιρέσω, ὡς καὶ ἐν §. 4. «ἀπολύσασθαι τὰ κατηγορημένα.» — ἡ περὶ τοῦ «ἀπολύσασθαι» εἰς «ἀπολύσασθαι» προβαλλομένη διόρθωσις καίτοι ἐμπρώτοις ἀξιοσύστατος φαινομένη δὲν εἶναι ὀρθή. καθότι ἐν τῷ πεζῷ λόγῳ αἱ μεταφοραὶ δὲν ἐξακολουθοῦσι μέχρι τέλους, ἄλλως καθίστανται ἀηδεῖς· ἐνταῦθα δὲ καὶ πάντῃ ἄτοπον ἤθελεν εἶσθαι τὸ «ἀπολύσασθαι» ἕνεκα τοῦ ἐπιφερομένου «πρὸς τοὺς νεωτ. τῶν πεπραγμ.» B. κ. P. — παρηνώχλησθε] ἡ παρὰ ἐνταῦθα σημαίνει τὸ «παρὰ τὸ δίκαιον.» — ἴσως] ἐπίσης τούτοις τοῖς νεωτέροις.

51. καίτοι — γε] μετὰ τὸν κα

νῦν εἰπέ που λέγων, « ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί. » ἐγὼ σοὶ ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι ἢ πῶς ἀξιωθέντι; οὔτε Φιλίππου ξένον οὔτ' Ἀλεξάνδρου φίλον εἴποιμ' ἂν ἐγὼ σέ, οὐχ οὕτω μαίνομαι, εἰ μὴ καὶ τοὺς θεριστὰς καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας φίλους καὶ ξένους δεῖ καλεῖν τῶν μισθωσαμένων. ἀλλ' οὐκ ἔστι ταῦτα· πόθεν; πολλοῦ γε καὶ δεῖ. 52
ἀλλὰ μισθωτὸν ἐγώ σε Φιλίππου πρότερον καὶ νῦν Ἀλεξάνδρου καλῶ, καὶ οὗτοι πάντες, εἰ δ' ἀπιστεῖς, ἐρώτησον αὐτούς· μᾶλλον δ' ἐγὼ τοῦθ' ὑπὲρ σοῦ ποιήσω. πότερον ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, * δοκεῖ μισθωτὸς Αἰσχίνης ἢ ξένος εἶναι Ἀλεξάνδρου; ἀκούεις ἃ λέγουσιν.

Βούλομαι τοίνυν ἤδη καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀπολογή- 53

τοι ἐπιφέρεται οὕτω πολλάκις ὁ γε μεσολαβούσης τινὸς λέξεως. B. κ. P. — εἰπέ που] ἐν §. 66. τοῦ κ. Κτησ. « ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου, » ἔνθα τὸ « προφέρων » = τῷ ἐνταῦθα « ὀνειδίζων. » — λέγων] μεταξὺ λέγων = ἐν τῷ λόγῳ αὐτοῦ. — ξενίαν] ἴδ. §. 284. σημ. — ἐγὼ σοὶ] ἐννοητέον τὴν ὑποτακτ. « ὀνειδίζω, » εὔχρηστον ἐν ἀπολύτῳ λόγῳ καὶ ἐπὶ θαυμασμοῦ. — λαβόντι — ἀξιωθέντι] ἐλξεωξνόμῳ ὁμοιοπτώτως τῇ δοτικῇ σοί. — μισθοῦ] γενικὴ ἀνταλλάγματος δηλωτική.

52. εἰ δ' ἀπιστεῖς — λέγουσιν] πολλαὶ περὶ τούτου φέρονται ἐξηγήσεις. οἱ μὲν γὰρ λέγουσιν ὅτι ἐκὼν ἐβαρβάρισεν» εἰπὼν « μίσθωτος, ἵνα ὥσπερ τῶν δικαστῶν βουλομένων διορθώσασθαι αὐτόν, αὐτὸς — τὴν διόρθωσιν ἀνθ' ὁμολογίας δέξηται, — ἄλλοι δὲ λέγουσιν ὅτι Μένανδρος ὁ κωμικὸς καί τινες αὐτοῦ φίλοι παρόντες — χαριζόμενοι τῷ Δημ. — ἐρωτήσαντος αὐτοῦ τοῦτο, ἀναστάντες εἶπον ὅτι μισθωτός ἐστιν ὁ Αἰσχίνης» [καὶ ὅμως ὁ Μένανδρος δὲν ἔζη τότε. B. κ. P.], « καὶ αὐτῶν τῶν ὀλίγων τὴν φωνὴν ὥσπερ ἀπόκρισιν ἐδέξατο παντὸς τοῦ δικαστηρίου. Γενέθλιος δέ φησιν ὡς ὅτι ἔθος ἐστὶ τοῖς ῥήτορσι, καὶ μάλιστα τῷ Δημ., τὰ ἀμφίβολα ὡς ὡμολογημένα λαμβάνειν. » Σχολ. αἱ δύο πρῶται γνῶμαι προσάπτουσι τῷ Δημ. τέχνασμα εὐτελὲς καὶ πάντῃ ἀνοίκειον τῷ τε χαρακτῆρι αὐτοῦ καὶ τῷ σπουδαίῳ τοῦ λόγου· πιθανωτέρα φαίνεται ἡ τοῦ Γενεθλίου ἐπικρουομένη καὶ ἐκ παραδειγμάτων, οἷόν ἐστι τὸ ἐν τῷ κ. Ἀριστοκράτους §. 18 — 19. « δίκαιόν ἐστιν — πάντων αἵρεσιν ὑμῖν δοῦναι τοῖς ἀκουσομένοις, τί πρῶτον ἢ τί δεύτερον ἢ τί τελευταῖον βουλομένοις ἀκούειν ὑμῖν ἐστιν· ὅτι δὴ βούλεσθε, ὁρᾶτε, ἵνα τοῦτο λέγω πρῶτον ὑμῖν. περὶ τοῦ παρανόμου βούλεσθε πρῶτον; τοῦτο τοίνυν ἐροῦμεν. » πρβλ. καὶ Αἰσχ. κ. Κτησ. §. 53. καὶ ἄλλως δὲ ἡ πιθανωτέρα τῶν δύο ἀπαντήσεων τῆς ἐρωτήσεως ταύτης ἦν ἡ μισθωτὸς διὰ τὸν κατωτ. ἐν §. 284. ἐπιφερόμενον λόγον· « ἐκ ποίας γὰρ ἴσης — προφάσεως Αἰσχίνῃ τῷ — τῆς τυμπανιστρίας ξένος ἢ φίλος — ἦν Φίλιππος; » κατὰ δὲ τοὺς νεωτέρους ἐκδότας ὁ Δημ. πεποιθὼς τῇ συμφωνίᾳ τῶν ἑαυτοῦ αἰσθημάτων μετὰ τῶν τοῦ λαοῦ καὶ τῇ εὐνοϊκῇ ἐντυπώσει τῶν λόγων αὐτοῦ διεκινδύνευσε τὴν ἐρώτησιν ταύτην, τὴν δὲ σιγὴν τῶν περιεστηκότων ἐξέλαβεν ὡς κοινὴν ὁμολογίαν. ὅπως καὶ ἂν ἔχῃ τὸ ἀληθές, τὸ σύνολον τῆς §. ταύτης εἶναι ὡραῖον δεῖγμα δηκτικοῦ καὶ ζωηροῦ ἐμπαιγμοῦ, δι' οὗ περαίνει ὁ ῥήτωρ τὸ ἀ. γενικὸν κεφάλαιον τοῦ λόγου αὐτοῦ. ἴδ. §. 11. σημ.

53. ἤδη] τώρα πλέον· ἀφοῦ ἀνή-

σασθαι καὶ διεξελθεῖν τὰ πεπραγμέν' ἐμαυτῷ, ἵνα καίπερ εἰδὼς Αἰσχίνης ὅμως ἀκούσῃ, δι' ἃ φημι καὶ τούτων τῶν προβεβουλευμένων καὶ πολλῷ μειζόνων ἔτι τούτων δωρεῶν δίκαιος εἶναι τυγχάνειν. καί μοι λέγε τὴν γραφὴν αὐτὴν λαβών.

54 ΓΡΑΦΗ. [Ἐπὶ Χαιρώνδου ἄρχοντος, ἐλαφηβολιῶνος ἕκτῃ ἱσταμένου, Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης ἀπήνεγκε πρὸς τὸν ἄρχοντα παρανόμων κατὰ Κτησιφῶντος τοῦ Λεωσθένους Ἀναφλυστίου, ὅτι ἔγραψε παράνομον ψήφισμα, ὡς ἄρα δεῖ στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις, τραγῳδοῖς καινοῖς, ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκα, καὶ εὐνοίας ἧς ἔχων διατελεῖ εἴς τε τοὺς Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον τὸν Ἀθηναίων, καὶ ἀνδραγαθίας, καὶ διότι διατελεῖ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ καὶ
55 πρόθυμός ἐστι ποιεῖν ὅ τι ἂν δύνηται ἀγαθόν, πάντα ταῦτα ψευδῆ γράψας καὶ παράνομα, τῶν νόμων οὐκ ἐώντων πρῶτον μὲν ψευδεῖς γραφὰς εἰς τὰ δημόσια γράμματα καταβάλλεσθαι, εἶτα τὸν ὑπεύθυνον στεφανοῦν (ἔστι δὲ Δημοσθένης τειχοποιὸς καὶ ἐπὶ τῶν θεωρικῶν τεταγμένος), ἔτι δὲ μὴ ἀναγορεύειν τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις

ρασε τὰς ἐκτὸς τῆς γραφῆς κατηγορίας τοῦ Αἰσχίνου. — τῶν προβεβουλευμένων] τῶν ἐν τῷ προβουλεύματι περιεχομένων· συναπτέον δὲ μετὰ τοῦ δωρεῶν.

54. πρὸς τὸν ἄρχοντα] τὸν ἐπώνυμον. — παρανόμων] ἢ ἔν τισιν ἐκδόσεσι μετὰ τὸ παρανόμων αἰτιατικὴ γραφὴν προσετέθη τῷ κειμένῳ μεταγενεστέρως χάριν σαφηνείας. — στεφανῶσαι] ὑποκείμ. ἐννοεῖται τὸν δῆμον. — ἀναγορεῦσαι] ὑποκείμ. τὸν κήρυκα. — Διονυσίοις] οὕτως ἀνάρθρως καὶ ἀπροθέτως ἐξέφραζον τὰς χρόνου (ὡς αὕτη) ἢ τόπου (ὡς «Μαραθῶνι») δηλωτικὰς δοτικάς. — περὶ δὲ τοῦ ἱστορικοῦ ἴδ. Λεξικὸν Ἀρχαιολογ. μεταφρ. Δ. Π. σ. 284. κ. ἑ. — τραγῳδοῖς] ὡς καὶ παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 30. 43. 176.) ἐννοουμένου τοῦ ἀγωνιζομένοις (ὡς ἐν τῷ κ. Κτησ. §. 34., ἢ τοῦ γιγνομένοις (αὐτ. §. 41. 154.) — ἧς ἔχων] καθ' ἕλξιν ἀντὶ τοῦ «ἣν ἔχων.»

55. ψευδεῖς γραφάς] ψευδῆ ἔγγραφα. Β. — ἐπὶ τῶν θεωρικῶν] ἴδ. τὴν ἐν §. 113. περὶ τούτου σημ. — μὴ ἀναγορεύειν] ἐξαρτᾶται ἐκ τοῦ οὐκ ἐώντων (ἀντὶ τοῦ παρ' Αἰσχίνῃ κ. Κτησ. §§. 11. 31. 35. κ. ἀ. «ἀπαγορευόντων»)· σύνηθες τοῖς Ἕλλησι μετὰ τὰ ἀπαγορεύσεως σημαντικὰ ῥήματα τὸν ἐξ αὐτῶν ἐξαρτώμενον λόγον ἐκφράζειν ἀποφατικῶς (οἷον καὶ τὸ τῶν Γάλλων, je ne nie pas, que cela ne soit), οὕτω καὶ ἐν τῷ κ. φιλ. Γ'. §. 54. «οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ

τραγῳδῶν τῇ καινῇ, ἀλλ' ἐὰν μὲν ἡ βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν, ἐὰν δὲ ἡ πόλις, ἐν πυκνὶ ἐν τῇ ἐκκλησίᾳ. τίμημα τάλαντα πεντήκοντα. κλήτορες Κηφισοφῶν Κηφισοφῶντος Ῥαμνούσιος, Κλέων Κλέωνος Κοθωκίδης].

Ἃ μὲν διώκει τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' 56
ἐστίν. ἐγὼ δ' ἀπ' αὐτῶν τούτων πρῶτον οἶμαι δῆλον ὑμῖν ποιήσειν, ὅτι πάντα δικαίως ἀπολογήσομαι· τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν περὶ πάντων ἐρῶ

εἰσὶ τοιοῦτοι.» πρβλ. Λουκ. Συμπόσ. 15. — Σοφοκλ. Αἴ. 96. «κοὐκ ἀπαρνοῦμαι τὸ μή.» ὡς τε περιττὴ ἡ διὰ τοῦ «κελευόντων» συμπλήρωσις τινων. — τῇ καινῇ] ἐννοητέον εἰσόδῳ κατὰ Οὐόλφιον. — ἐν πυκνὶ] ἡ ὀνομαστικὴ πνὺξ κατὰ μετάθεσιν τοῦ ν, αἱ δὲ πλάγιαι πτώσεις διφροῦνται «πυκνὶ» καὶ «πνυκί,» σύνηθες ὅμως τὸ «πυκνί.» τὸ δὲ ἐν τῇ ἐκκλησίᾳ δὲν κεῖται περιττῶς μετὰ τὸ «ἐν πυκνί.» διότι πνὺξ ἦτο κοινὸς τόπος τῆς συνάξεως τοῦ λαοῦ ἐν οἱᾳδήποτε περιπτώσει. Β. κ. Ρ. — τίμημα] πρόστιμον. οἱ ἀγῶνες δικαστηρίων διηροῦντο εἰς τιμητοὺς καὶ ἀτιμήτους. καὶ ἀτίμητοι μὲν ἐλέγοντο οἱ ἔχοντες ὡρισμένην ἤδη ὑπὸ τοῦ νόμου ποινὴν σταθερὰν καὶ ἀμετάβλητον, τιμητοὶ δὲ οἱ ἐν οἷς ὁ προσδιορισμὸς τῆς ποινῆς ἀνετίθετο τοῖς δικασταῖς, καὶ εἶχεν ὁ κατήγορος δικαίωμα προτείνας κατὰ τοῦ ἀντιπάλου αὐτοῦ οἱανδήποτε ποινήν («τιμᾶσθαι αὐτῷ τινος»), ἣ ἀντέταττεν ὁ κατηγορούμενος, ἐὰν ἐφαίνετο ἔνοχος, ἑτέραν ἐλαφροτέραν («ἀντιτιμᾶσθαι») (παράδειγμα τούτου διάσημον ἐν τῇ Σωκράτους Ἀπολογίᾳ τοῦ Πλάτωνος), ἐναπέκειτο δὲ τοῖς δικασταῖς τὸ δικαίωμα τοῦ ἐκλέγειν διὰ ψήφου τὴν πρώτην ἢ τὴν δευτέραν ποινήν («τιμᾶν»)· τοιοῦτος ἀγὼν ἦν καὶ ἡ παρανόμων γραφή, ὁ δ' Αἰσχίνης ἐκ προθέσεως ποιοῦντα ἐν βαρύτατον τίμημα (30 μυριάδας δραχμῶν), ἵνα ὁ Κτησιφῶν μὴ δυνάμενος ἀποτίσαι αὐτὸ σφηθῇ τῶν πολιτικῶν δικαιωμάτων αὐτοῦ ὡς δημόσιος ὀφειλέτης. πρβλ. §. 15. σημ. — Ἀνδοκ. π. τ. Μυστ. § 73. — κακῶς ἐξέλαβόν τινες ἀτίμητον τὸν ἀγῶνα τοῦτον ἐρωτηματικῶς ἀναγνόντες τὸ τοῦ Αἰσχίνου (κ. Κτησ. §. 210.) «ὁ δ' ἀγὼν οὐκ ἀτίμητος, σὺ δ' οὔτε — περὶ τῆς ἐπιτιμίας ἀγωνίζῃ», ἔνθα κατ' ἐρώτησιν κεῖται μόνη ἡ προηγουμ. πρότασις «οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν.» Β. κ. Ρ. — κλήτορες] ἐκτελοῦντες ταὐτὰ σχεδὸν τοῖς νῦν κλητῆρσιν. ἴδ. §. 150. σημ.

56. Ἃ μὲν διώκει] ταῦτα μέν ἐστι τὰ μέρη τοῦ ψηφ. ἃ διώκει. — ἀπ' αὐτῶν τούτων] ἢ ἀπὸ ἐνταῦθα, ὡς καὶ ἐν τῇ ἑπομένῃ §., δηλοῖ τὸ ὀργανικὸν αἴτιον. — πρῶτον] πρῶτον πάντων. — τὴν — αὐτὴν — τῶν γεγραμμ. τάξιν] ὅρα μὴ συγχέῃς τὰ γεγραμμένα ἤτοι τὰ ἐν τῇ γραφῇ (= ἐγγράφῳ καταμηνύσει) περιεχόμενα τῷ κατὰ Κτησ. λόγῳ τοῦ Αἰσχ. καὶ εὑρὴς τοῦτο ἀντιφάσκον τοῖς ἐν §. 2.. ὁ Αἰσχίνης ἐν τῷ λόγῳ αὐτοῦ ἠκολούθησε τάξιν ἑτέραν παρὰ τὴν τῆς γραφῆς (πρβλ. τὰ ἐν §. 203—204. τοῦ κ. Κτησ. τοῖς ἐν τῇ γραφῇ), ἀπαιτήσας (αὐτ. §. 205.) οὕτω ἀπολογηθῇ καὶ ὁ Δημ.· τοῦτο ἀπέφυγεν ὁ ῥήτωρ ὡς ἀσύμφορον, διατηρεῖ δέ, καί τοι ἐν μέρει, τὴν τάξιν τῆς γραφῆς καθὸ ἀρχομένης ἀπὸ τῶν πεπολιτευμένων αὐτῷ. ἐν παρόδῳ δ' εἰρήσθω ὅτι τοῦτ' αὐτὸ λέγει καὶ ὁ Αἰσχ. (κ. Κτησ. §. 57.), καὶ φαίνεται ὅτι τὸ τῇ αὐτῇ τοῦ λόγου τάξει χρήσασθαι ἐθεωρεῖτο, ἴσως, ἐκ τῶν ὁπωσοῦν ἰσχυρῶν ἀποδείξεων περὶ τοῦ δικαίου καὶ τῆς ἀληθείας τῶν λεγομένων. — περὶ πάντων — παραλείψω] ταῦτα δὲν πρέπει νὰ ἐκλάβωμεν κατὰ γράμμα, ἥκιστα δὲ τὸ «οὐδὲν ἐκὼν παραλείψω»

57 καθ' ἕκαστον ἐρεξῆς καὶ οὐδὲν ἑκὼν παραλείψω. τοῦ μὲν οὖν γράψαι πράττοντα καὶ λέγοντα τὰ βέλτιστά με τῷ δήμῳ διατελεῖν καὶ πρόθυμον εἶναι ποιεῖν ὅ τι δύναμαι ἀγαθόν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς πεπολιτευμένοις τὴν κρίσιν εἶναι νομίζω· ἀπὸ γὰρ τούτων ἐξεταζομένων εὑρεθήσεται, εἴτε ἀληθῆ περὶ ἐμοῦ γέγραφε Κτησιφῶν ταῦτα καὶ προσήκοντα, εἴτε
58 καὶ ψευδῆ· τὸ δὲ μὴ προσγράψαντα « ἐπειδὰν τὰς εὐθύνας δῷ » στεφανοῦν καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ τὸν στέφανον κελεῦσαι, κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολιτευμένοις εἴτε ἄξιός εἰμι τοῦ στεφάνου καὶ τῆς ἀναῤῥήσεως τῆς ἐν τούτοις εἴτε καὶ μή, ἔτι μέντοι καὶ τοὺς νόμους δεικτέον εἶναί μοι δοκεῖ, καθ' οὓς ταῦτα γράφειν ἐξῆν τούτῳ. οὕτωσὶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως καὶ ἁπλῶς τὴν ἀπολογίαν ἔγνωκα ποιεῖσθαι, βαδιοῦμαι δ' ἐπ' αὐτὰ ἃ πέπρακταί μοι.

διότι πλεῖστα παραλείψει ἑκὼν καὶ ἐν συνειδήσει κατὰ τὸ συμφέρον αὑτῷ.

57. τοῦ μὲν — νομίζω] ἡ ἔννοια· «ἡ μὲν ἐξέτασις (ὡς ἐν §. 310.) τοῦ νὰ γράψῃ ὁ Κτησ. ὅτι ἐγὼ διατελῶ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ, καὶ εἶμαι πρόθυμος νὰ κάμω ὅ τι δύναμαι ἀγαθόν, καὶ τοῦ νὰ προτείνῃ ὅτι πρέπει νὰ μὲ ἐπαινῇ ὁ δῆμος διὰ ταῦτα, ἡ ἐξέτασις λέγω τούτου νομίζω ὅτι ὑπάρχει ἐν ταῖς πολιτικαῖς πράξεσί μου.»

58. τὸ δὲ μὴ — ἐξῆν τούτῳ] τὸ δὲ κελεῦσαι (οὗ ὑποκείμ. « τὸν Κτησ. μὴ προσγράψαντα — δῷ ») στεφανοῦν με τὸν δῆμον, καὶ ἀνειπεῖν τὸν κήρυκα ἐν τῷ θεάτρῳ τὸν στέφανον, καὶ τοῦτο (κατ' ἐπανάληψιν τοῦ κελεῦσαι) ἡγοῦμαι μὲν κοινωνεῖν τοῖς πεπολιτευμ. κτλ., δοκεῖ μοι μέντοι δεικτέον εἶναι καὶ τοὺς κτλ. — μὴ προσγράψαντα] τοῦθ' ὅπερ ἔψεξεν ὁ Αἰσχ. κ. Κτησ· §. 31. καὶ 203. — στεφανοῦν] κατ' ἐνεργῶτα, ἀντὶ ἀορίστου (ὅπως κεῖται τὸ ἀνειπεῖν). σύνηθες τοῦτο τοῖς Ἕλλησιν· ἐνταῦθα δὲ φαίνεται ὅτι ἐλήφθη ὁ ἐνεστὼς ἐκ τοῦ τύπου τῆς ἀναῤῥήσεως «στεφανοῖ ὁ δῆμος τὸν δεῖνα κτλ.». Β. κ. Ρ. — εἴτε ἄξιός εἰμι] ἡ φράσις πληρεστέρα ἐν τῇ προηγουμ. §. « ἀπὸ — τούτων ἐξεταζομένων εὑρεθήσεται εἴτε κτλ. — ἐν τούτοις] τοῖς Ἀθηναίοις συνηγμένοις ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις. — καὶ τοὺς νόμους δεικτέον] ὁ ῥήτωρ συναισθανόμενος τὴν ἀνάγκην τοῦ ἀποδεῖξαι τοὺς νόμους, καθ' οὓς ἐξῆν τῷ Κτησ. γράψαι τὰ ὅσα ἔγραψεν, ὑπόσχεται νὰ τοὺς ἀναφέρῃ, ἀλλ', ὡς θέλομεν ἰδεῖ ἀκολούθως, ἐν μὲν τῷ περὶ εὐθυνῶν οὐδὲ ἕνα νόμον εἶχεν ὑπὲρ αὐτοῦ, ἐν δὲ τῷ περὶ τῆς ἐν τῷ θεάτρῳ ἀναῤῥήσεως τοῦ στεφ. ἕνα μόνον ἔδειξε νόμον καὶ τοῦτον ἴσως διαφερούμενον (Αἰσχ. κ. Κτησ. §. 35 – 49. πρβλ. ὅμως καὶ τὰ ἐν τῷ παραρτήματι περὶ τοῦ ἐν §. 120. νόμου)· ὅλην δὲ τὴν περὶ ἀμφοτέρων τούτων ἀπολογίαν συμπεριλαβὼν ἐν 12 μόναις §. (110 – 121.), πάντα τὸν λοιπὸν λόγον ἀνήλωκε τοῖς πεπολιτευμένοις αὐτῷ, καταπνίξας, οὕτως εἰπεῖν, ἐν τῷ μέσῳ τάλλα δύο γενικὰ κεφάλαια· τοῦθ' ὅπερ καὶ Αἰσχίνης προεῖδεν (κ. Κτησ. §. 205.) «οὐδὲν ἔχων δίκαιον εἰπεῖν ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν.» — γράφειν] ἐγγράφως προτείναι. — ἁπλῶς] ἀφελῶς, ἀπονηρεύτως (εἴγε ἁπλῶς). — βαδιοῦμαι] ἴδ. §. 4. σημ.

καί με μηδεὶς ὑπολάβῃ ἀπαρτᾶν τὸν λόγον τῆς γραφῆς, ἐὰν 59
εἰς Ἑλληνικὰς πράξεις καὶ λόγους ἐμπέσω· ὁ γὰρ διώκων τοῦ ῥήτορος τὸ λέγειν καὶ πράττειν * τὰ ἄριστά με καὶ γεγραμμένος ταῦτα ὡς οὐκ ἀληθῆ, οὗτός ἐστιν ὁ τοὺς περὶ ἁπάντων τῶν ἐμοὶ πεπολιτευμένων λόγους οἰκείους καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς. εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας τὴν περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ, ὥστε καὶ τὰς ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι.

Ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ πρού- 60
λαβε καὶ κατέσχε Φίλιππος ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων εἶναι πρὸς ἐμέ· ἃ δ' ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγὼ καὶ διεκωλύθη, ταῦτα ἀναμνήσω καὶ τούτων ὑρέξω λόγον.

59. καί με μηδεὶς—ἐμπέσω] «προδιόρθωσις· ὅταν μέλλωμέν τι τοιοῦτον λέγειν, ὃ δεῖταί τινος θεραπείας, ὡς τε μὴ χαλεπῶς αὐτὸ προσδέξασθαι τὸν ἀκροατήν. — ὅταν δ' ἀποθεραπεύωμεν ἐπὶ τοῖς εἰρημένοις τὸν ἀκροατὴν [ὡς ἐν §. 34.] καλεῖται ἐπιδιόρθωσις.» Ἀλέξανδρος· π. σχημ. σ. 434. — ἀπαρτᾶν—τῆς γραφῆς] ἀπομαχεῖσθαι τὴν ἀπολογίαν ἀπὸ τῆς γραφῆς. — εἰς Ἑλλην. — λόγους] «ἓν διὰ δυοῖν,» καθ' ὃ δύο ὁμοιοπτώτων οὐσιαστικῶν τὸ ἕτερον χρησιμεύει εἰς προσδιορισμὸν τοῦ ἑτέρου, = εἰς λόγους ἤτοι ἐκθέσεις Ἑλληνικῶν πράξεων. — Ἑλληνικὰς δὲ πράξεις λέγει τὰς ἀφορώσας τοὺς λοιποὺς Ἕλληνας ἀντιθέτως τοῦ Ἀττικάς. — τὸ λέγειν] ἀναγνωστέον κατ' ἔμφασιν τὸ ἄρθρον, = τὸ μέρος ἔνθα γέγραπται λέγειν. — καὶ γεγραμμένος] παρακείμενος τοῦ μέσου γράφομαι = κατηγορῶ. — οἰκείους] ἀντίθετον τοῦ ἔξωθεν λόγοις. §. 9. — τῇ γραφῇ] κατηλλημένον ἂν ἦν τὸ τῇ ἀπολογίᾳ, ἀλλὰ καὶ αὕτη βασίζεται ἐπὶ τῆς γραφῆς. — πολλῶν προαιρ. — οὐσῶν] ἡ ἔννοια· ἂν καὶ ὑπάρχωσι πολλὰ ἔργα τῆς πολιτείας, ὧν ἄλλος ἄλλο προαιρεῖται· ὡς τε προαίρεσις ἐνταῦθα = ὅπερ προαιρεῖταί τις πράττειν πολιτευόμενος, οὕτως ὁ μὲν προαιρεῖται τὰ οἰκονομικά, ὁ δὲ τὰ στρατιωτικά, ὁ δὲ τὰ ναυτικά, κλπ. ὁ δὲ Δημ. εἶχε προτιμήσει τὰ ἐξωτερικά, ἤτοι τὰ ἀφορῶντα τὴν πρὸς τοὺς ἄλλους Ἕλληνας σχέσιν τῆς πόλεως. — τὰς ἀποδείξεις] τῶν ἐμοὶ πεπολιτευμένων.

60. Ἃ μὲν—ὑρέξω λόγον] ὁ ῥήτωρ ἄρχεται τῆς ἀπολογίας (μετὰ βραχεῖάν τινα περιγραφὴν τῆς τότε καταστάσεως τῶν Ἑλλήνων) ἀπὸ τοῦ ὃν ἐπολέμουν τῷ Φιλίππῳ χρόνου ἤτοι τοῦ κατ' Αἰσχίνην (κ. Κτησ. §. 54—55) γ'. καιροῦ ὑπερβὰς τοὺς δύο προτέρους τούτου, ἱκανὰς θεωρῶν ἀποδείξεις τοῦ κατὰ τὰ τότε γεγονότα ἀνευθύνου αὐτοῦ τὰς ἃς ἐν §§. 18—25. προέταξε παρατηρήσεις, τοῦ δὲ δ'. καιροῦ οὐδὲ λόγον ποιεῖται. — ἃ] προσδιορισμὸς τοῦ κατά τι ἀποδοτέος τῷ διεκωλύθη· ὅθεν καὶ περιττὸν νὰ ἐννοηθῶσιν ἐκ τῶν προηγουμένων τὰ λαβεῖν καὶ κατασχεῖν. — ἀφ' ἧς ἡμέρας] ἀπὸ Ολ. ρς', γ'. 354. ἴδ. §. 18. σημ. «οὐ γὰρ τότε.» — καὶ Διον. Ἁλικ. ἐπιστ. πρὸς Ἀμμαῖον σ. 724. — ἐπὶ ταῦτα] ἐπὶ τὸ πολιτεύεσθαι καὶ δημηγορεῖν. Β. κ. Ρ. — καὶ διεκωλύθη] διὰ τοῦ καὶ ἐξαίρει, οὕτως εἰπεῖν, τὸ κωλυμα ἐφ' ᾧτινι ὡς ἄμεσον καὶ οἱονεὶ ἀπαραίτητον συνέπειαν τῆς ἐν τῷ πολιτικῷ σταδίῳ ἐμφανείας αὐτοῦ (= καὶ εὐθὺς διεκωλύθη). W. — ταῦτα ἀναμνήσω] προσωπικὸν ἀντιπίμ. ἐννοεῖται τὸ ὑμᾶς,

τοσοῦτον ὑπειπών. πλεονέκτημα ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑ-
61 πῆρξε Φιλίππῳ. παρὰ γὰρ τοῖς Ἕλλησιν, οὐ τισίν, ἀλλ' ἅπασιν
ὁμοίως, φορὰν προδοτῶν καὶ δωροδόκων καὶ θεοῖς ἐχθρῶν ἀν-
θρώπων συνέβη γενέσθαι τοσαύτην, ὅσην οὐδείς πω πρότερον
μέμνηται γεγονυῖαν· οὓς συναγωνιστὰς καὶ συνεργοὺς λαβὼν
καὶ πρότερον κακῶς τοὺς Ἕλληνας ἔχοντας πρὸς ἑαυτοὺς καὶ
στασιαστικῶς ἔτι χεῖρον διέθηκε, τοὺς μὲν ἐξαπατῶν, τοῖς δὲ
διδούς, τοὺς δὲ πάντα τρόπον διαφθείρων, καὶ διέστησεν εἰς
μέρη πολλά, ἑνὸς τοῦ συμφέροντος ἅπασιν ὄντος, κωλύειν
62 ἐκεῖνον μέγαν γίγνεσθαι. ἐν τοιαύτῃ δὲ καταστάσει καὶ ἔτι
ἀγνοίᾳ τοῦ συνισταμένου καὶ φυομένου κακοῦ τῶν ἁπάντων
Ἑλλήνων ὄντων δεῖ σκοπεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τί προσ-
ῆκον ἦν ἐλέσθαι πράττειν καὶ ποιεῖν τὴν πόλιν, καὶ τούτων
λόγον παρ' ἐμοῦ λαβεῖν· ὁ γὰρ ἐνταῦθα ἑαυτὸν τάξας τῆς πολι-
63 τείας εἰμὶ ἐγώ. πότερον αὐτὴν ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα

τὸ δὲ πραγματικὸν συνήθως τίθηται κατὰ γενικήν. — τοσοῦτον] ἀντὶ τοσόνδε (ὡς καὶ ἐν §. 124. καὶ Ξεν. Ἀνάβ. Α', γ'. 14.). — ὑπειπών] συνεχῶς ἀπαντᾶται παρὰ τοῖς Ἀττικοῖς, οἷον κ. Ἀριστοκρ. §. 33. — Ἀριστοφ. Σφηκ. 55. [— Βασιλ. Μεγ. παραίν. §. δ'.]. W. ἐν οἷς ἡ ὑπὸ σημαίνει ἴσως τὸ «πρὸς ὑποστήριξιν τῶν ῥηθησομένων.»

61. ὁμοίως] ἴδ. §. 6. σημ. — φορὰν προδοτῶν] πρβλ. τὰ ἀνωτ. §. 45—50. φορὰ = ἀφθονία· «τροπικῶς· φορὰ γὰρ εἴωθε λέγεσθαι ἐπὶ σίτου ἢ ἄλλων καρπῶν τῶν φερομένων ἐν ἑκάστῳ ἐνιαυτῷ, — ἐνέμεινε δὲ τῇ τροπῇ εἰπὼν καὶ φυομένου κακοῦ.» Σχολ. ταὐτὰ τῷ ῥήτορι λέγει καὶ Διόδωρος ις', 54. «τοιαύτη φορά τις προδοτῶν ὑπῆρξε τότε κατὰ τὴν Ἑλλάδα.» πρβλ. Αἰσχ. κ. Κτησ. §. 234. κ. ἀ. D. — οὓς] = καὶ τούτους. — συνεργοὺς] ἑαυτῷ, ὡς ἐν §. 41. — πρὸς ἑαυτοὺς] ἴδ. §. 19. σημ. — χεῖρον] ἐπιῤῥηματικὴν ἰδέαν ἐκφράζει. — τοὺς δὲ — πάντα τρόπον διαφθείρων] οἷον διὰ κολακείας, ἐπαίνου, ὑποσχέσεων κτλ., ὥστε τοῦτο γενικώτερον καὶ ἐντονώτερον τῶν προηγουμένων. — κωλύειν] γενικὴ ἐπιξηγηματικὴ τοῦ συμφέροντος.

62. συνισταμένου καὶ φυομένου κακοῦ] χαρακτηριστικώτατον τῆς μακεδονικῆς δυναστείας, ἥτις ἐλάμβανε σύστασιν καὶ ηὔξανε βαθμηδὸν διὰ τῶν ἀλλεπαλλήλων προσκτήσεων τοῦ Φιλίππου. — πράττειν καὶ ποιεῖν] ῥητορικὸς πλεονασμός. ἴδ. §. 21. σημ. — καὶ τούτων] ἐπαναληπτικὸν τοῦ προηγουμένου τί («τί προσῆκον») ἐνικοῦ μέν, ἀλλὰ περιληπτικωτέραν ἐκφράζοντος ἔννοιαν. οὕτω καὶ ἐν §. 99. «κἂν ὁτιοῦν — τούτων τὴν ὀργήν,» καὶ ἀλλαχοῦ. — ὁ γὰρ — εἰμὶ ἐγώ] ὡς σύμβουλος τῆς πόλεως, καθὰ ῥητῶς ἐκφράζεται ἐν §. 66. ἆρα τὸ ἐνταῦθα τῆς πολιτείας = ἐν τῇ συμβουλῇ τούτων ἃ προσῆκε τῇ πόλει ἑλέσθαι πράττειν καὶ ποιεῖν.

63. φρόνημα] τὸ εὐγενὲς αἴσθημα τῆς ἀξίας αὐτῆς· ἀξία δὲ = ἀξίωμα ὁ ἐν ταῖς Ἑλληνικαῖς πολιτείαις ἔγγιος βαθμὸς τιμῆς ἀποδοθεὶς αὐτῇ μετὰ τὰ μηδικά. —

ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν αὐτῆς ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει συγκατακτᾶσθαι Φιλίππῳ τὴν τῶν Ἑλλήνων ἀρχὴν καὶ τὰ τῶν προγόνων καλὰ καὶ δίκαια ἀναιρεῖν; ἢ τοῦτο μὲν μὴ ποιεῖν, δεινὸν γὰρ ὡς ἀληθῶς, ἃ δ' ἑώρα συμβησόμενα, εἰ μηδεὶς κωλύσει, καὶ προῃσθάνεθ', ὡς ἔοικεν, ἐκ πολλοῦ, ταῦτα περιιδεῖν γιγνόμενα; ἀλλὰ νῦν ἔγωγε τὸν μά- 64
λιστα ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν, πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς Ἕλλησι κακῶν καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς καὶ τοὺς μετὰ τούτων εἴποι τις, ἢ τῆς περιεωρακυίας ταῦτα γιγνόμενα ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι, ἧς ἂν Ἀρκάδας καὶ Μεσσηνίους καὶ Ἀργείους θείημεν. ἀλλὰ καὶ τούτων πολλοί, μᾶλλον δὲ πάντες, χεῖρον ἡ- 65
μῶν ἀπηλλάχασιν. καὶ γὰρ εἰ μὲν ὡς ἐκράτησε Φίλιππος,

ἐν τῇ — Δολόπων τάξει] ἐκ προθέσεως ἡ ἐκλογὴ τῶν ἀπολιτίστων καὶ δουλοφρόνων τούτων λαῶν· οἱ Δόλοπες οὐδέποτε ἔπραξαν οὐδὲν καθ' ἑαυτούς, ἀλλ' ἀεὶ ἦγοντο καὶ ἐφέροντο ὑπὸ τῶν Θεσσαλῶν· οὗτοι δὲ καίτοι ἀξίας λόγου ἔχοντες πολεμικὰς δυνάμεις ὡς ἐπιτοπολὺ συνήργουν ἄλλοις, ὡς Φιλίππῳ κλπ., ὥς τε οὐδετέρους ἠδύναντο νὰ λάβωσι παράδειγμα τῶν πράξεων αὐτῶν οἱ ἀπόγονοι τῶν μαραθωνομάχων. — συγκατακτᾶσθαι] = συνεργεῖν Φιλίππῳ κατακτᾶσθαι.

64. τὸν ἐπιτιμῶντα] ἐκληπτέον ἴσως γενικώτερον ἐπὶ παντὸς ἐπιτιμῶντος τοῖς πεπραγμένοις καὶ οὐχὶ ἐπὶ τοῦ Αἰσχίνου μόνον· καθόσον μάλιστα παύει ἐν τούτοις ἡ πρὸς τὸν Αἰσχίνην ἀποστροφή, εἰς ἣν ἐπανέρχεται ἐν §. 66. ἐκ τούτου ἐξηγεῖται πιθανῶς καὶ ἡ περιττή τις φαινομένη ἐπανάληψις τῶν ἀμέσως (ἐν §. 63.) προειρημένων. — ἡδέως] ἀσμένως. — τῆς συναιτίας — αἰσχρῶν] τῆς συνεργούσης Φιλίππῳ τῷ πρωταιτίῳ τῶν συμβεβηκότων τοῖς Ἕλλησι δεινῶν. — ἧς] μερίδος, κατηγορούμενον τοῦ Θετταλοὺς καὶ τ. μ. τούτων· ἡ δὲ φράσις «λέγω σε τῆς δεινῆς μερίδος, τίθημί σε τῆς δ. μερίδος» (ὡς εὐθὺς ἐφεξῆς «ἧς ἂν — θείημεν») συνήθης τοῖς Ἕλλησιν. — Ἀρκάδας — Ἀργείους] οὗτοι προσδιαλλόμενοι συνεχῶς παρὰ τῶν Λακεδαιμονίων πάντα πραττόντων πρὸς ἀνάκτησιν τῆς κατὰ τὴν ἐν Λεύκτροις μάχην ἀφαιρεθείσης ἀπ' αὐτῶν ἐπὶ τῆς λοιπῆς Πελοποννήσου ἡγεμονίας, διετήρουν φιλίαν Φιλίππῳ ἐλπίζοντες προστασίαν ἀπ' αὐτοῦ· ὅθεν οὐδὲ τῆς ἐν Χαιρωνείᾳ μάχης μετέσχον.

65. χεῖρον — ἀπηλλάχασιν] ἔλαβον ἀπαλλαγὴν χειροτέραν τῆς ἡμετέρας· «τὴν κακήν σου τὴν ἀπαλλαγήν» καταρῶνται καὶ σήμερον ἔτι οἱ Ἕλληνες οἱ ἁπλοῖ. Σ. Α. Κ. — καὶ γὰρ] ὅταν τὰ δύο ταῦτα μόρια συνδέωνται ὁμοῦ, γενικῶς ὑπάρχει τι ὑπεννοούμενον, ὅπερ θεωρεῖται ὡς εἰσαγόμενον μὲν διὰ τοῦ καί, ἐπικυρούμενον δὲ διὰ τοῦ γάρ· οἷον «καὶ διὰ τοῦτον τὸν λόγον, διότι,» ἢ ἄλλο τοιοῦτόν τι. CH. — εἰ μὲν — ἐμοὶ πεισθέντες] «βουλόμενος συστῆσαι ῥήτωρ, ὅτι εἰ τῆς Φιλίππου μερίδος ἡ πόλις ἐγένετο, οὐκ ἂν συνήνεγκεν, ἐπιζώσατο — αὐτὸ — ἐκ Θετταλῶν τεταδαρχουμένων [τῶν αὐτοῦ συμμάχων] καὶ ἐκ τῶν ἄλλων.» Ἑρμογ. π. Ἰδ. α. 253. — ὡς ἐκράτησε] τὸ

ὤχετ' εὐθέως ἀπιὼν καὶ μετὰ ταῦτ' ἦγεν ἡσυχίαν, μήτε τῶν αὐτοῦ συμμάχων μήτε τῶν ἄλλων Ἑλλήνων μηδένα μηδὲν λυπήσας, ἢν ἄν τις κατὰ τῶν ἐναντιωθέντων οἷς ἔπραττεν ἐκεῖνος μέμψις καὶ κατηγορία· εἰ δὲ ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, τὴν ἐλευθερίαν περιείλετο, μᾶλλον δὲ καὶ τὰς πολιτείας, ὅσων ἠδύνατο, πῶς οὐχ ἁπάντων ἐνδοξότατα ὑμεῖς ἐβουλεύσασθε ἐμοὶ πεισθέντες ;

66 Ἀλλ' ἐκεῖσε ἐπανέρχομαι. τί τὴν πόλιν, Αἰσχίνη, προσῆκε ποιεῖν ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; ἢ τί τὸν* σύμβουλον ἔδει λέγειν ἢ γράφειν τὸν Ἀθήνησιν (καὶ γὰρ τοῦτο πλεῖστον διαφέρει), ὃς συνήδειν μὲν ἐκ παντὸς τοῦ χρόνου μέχρι τῆς ἡμέρας, ἀφ' ἧς αὐτὸς ἐπὶ τὸ βῆμα ἀνέβην, ἀεὶ περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης ἀγωνιζομένην τὴν πατρίδα, καὶ πλείω καὶ χρήματα καὶ σώματα ἀνηλωκυῖαν ὑπὲρ φιλοτιμίας καὶ τῶν πᾶσι συμφερόντων, ἢ τῶν ἄλλων Ἑλλήνων ὑπὲρ αὐτῶν ἀνηλώκασιν ἕκα-

67 στοι, ἑώρων δ' αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγών,

ὡς χρονικόν, σωζόμενον καὶ ἐν τῇ συνηθείᾳ, καίτοι ἀμελούμενον τώρα· ἐννοεῖ δὲ τὸν καθ' ὃν ὁ β'. ἱερὸς πόλεμος ἀπεπερατώθη καιρόν, ὅτε πολλοὶ τῶν Ἑλλήνων ἦσαν ὑπὲρ Φιλίππου καθὸ τιμωρήσαντος τοὺς ἱεροσύλους Φωκεῖς. πρβλ. τὴν ἐν §. 36. σημ. — ὤχετ' — ἀπιὼν] ἴδ. §. 40. σημ. — ἦγεν ἡσυχίαν] κατὰ τοῦτο καὶ τὸ ἐν §. 43. καὶ 308. γράφουσί τινες καὶ ἐν §. 35. «ἂν ἄγηθ' ἡσυχίαν» ἀντὶ «ἂν ἔχηθ' ἡσυχ.» ἡ δ' ἔννοια ἡ αὐτή. — μήτε — μηδένα μηδὲν] ἀλλεπάλληλα μὴ εἰς ἐπίτασιν τῆς ἀρνήσεως. ἴδ. §. 24. οὐκοῦν οὔτε — οὐδέν· καὶ τὴν αὐτ. σημ. — τὸ ἀξίωμα — τὰς πολιτείας] οὕτω καὶ ἐν τῷ π. παραπρ. §. 260. «τοῦτο τὸ πρᾶγμα (ἡ προδοσία) Θετταλῶν μὲν — τὴν ἡγεμονίαν καὶ τὸ κοινὸν ἀξίωμα ἀπολωλέκει, νῦν δ' ἤδη καὶ τὴν ἐλευθερίαν παραιρεῖται (τὰς γὰρ ἀκροπόλεις αὐτῶν ἐνίων Μακεδόνες φρουροῦσιν).» — τὰς πολιτείας — ἠδύνατο] οἷον τὰς ἐν Εὐβοίᾳ, καταστήσας ἐν αὐτῇ τυράννους. ἴδ. §. 71. — πολιτεία = πολίτευμα, ἐσωτερικὴ διοίκησις τῆς πόλεως.

66. τί — Φίλιππον] τί προσῆκε τὴν πόλιν ποιεῖν ὁρῶσαν Φίλιππον κατασκευαζόμενον ἑαυτῷ ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ; — τὸν Ἀθήνησιν] κατ' ἔμφασιν ἀναγνωστέον, τὸ Ἀθήνησιν. ἴδ. §. 68. σημ. — τοῦτο] τὸ Ἀθήνησι σύμβουλον εἶναι. W. — διαφέρει] τοῦ ἀλλαχοῦ τῆς Ἑλλάδος σύμβουλον εἶναι· διότι κατὰ τὸ φρόνημα τῆς πόλεως φρονηματίζεται καὶ ὁ σύμβουλος. — τὸ βῆμα] τὸ ῥητορικόν. — περὶ πρωτείων — ἀγωνιζομένην] ταὐτὰ διαβεβαιοῖ ὁ ῥήτωρ διὰ πλειόνων καὶ ἐν §. 203. — καὶ πλείω καὶ χρήματα — ἕκαστοι] τὴν ἱστορικὴν ταύτην ἀλήθειαν βεβαιοῦσι πρὸς τοῖς ἄλλοις καὶ τὰ παρ' Ἡροδότῳ (Η', 61—63. 140—144.). πρβλ. καὶ Ὀλυνθ. Β', §. 24. — κ. Φιλ. Δ', §. 3. κ. ἀ.

ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον, πᾶν ὅ τι βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο προϊέμενον, ὥστε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν; καὶ μὴν 68
οὐδὲ τοῦτόγε οὐδεὶς ἂν εἰπεῖν τολμήσαι, ὡς τῷ μὲν ἐν Πέλλῃ τραφέντι, χωρίῳ ἀδόξῳ τότε γε ὄντι καὶ μικρῷ, τοσαύτην μεγαλοψυχίαν προσῆκεν ἐγγενέσθαι, ὥστε τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι καὶ τοῦτ' εἰς τὸν νοῦν ἐμβαλέσθαι, ὑμῖν δ', οὗσιν Ἀθηναίοις καὶ κατὰ τὴν ἡμέραν ἑκάστην ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι τῆς τῶν προγόνων ἀρετῆς ὑπομνήμαθ' ὁρῶσι, τοσαύτην κακίαν ὑπάρξαι, ὥστε τῆς ἐλευθερίας αὐτεπαγγέλτους ἐθελοντὰς παραχωρῆσαι Φιλίππῳ. οὐδ' ἂν εἷς ταῦτα φήσειεν. λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον ἅμα, πᾶσιν οἷς ἐκεῖνος 69

67. τὸν ὀφθαλμὸν] κατ' αἰτιατικήν, ὡς καὶ τὰ ἀκόλουθα, καθὸ προσδιοριστικὰ τοῦ κατά τι. — ἐκκεκομμένον] κατὰ Δόδωρον μὲν (ΙΣΤ', 34.), Ἰουστῖνον (7, 6.), καὶ Στράβωνα (Ζ', 330.) ἐν τῇ πολιορκίᾳ τῆς Μεθώνης, κατὰ δὲ Λουκιανὸν (πῶς δεῖ ἱστορ. συγγρ. 38.) ἐν Ὀλύνθῳ· πρβλ. καὶ Στοβ. Ἀνθολ. Ζ', 65. — τὴν — κατεαγότα] ἐν Ἰλλυριοῖς. Σχολ. πρβλ. Πλουτ. Ἀποφθ. Βασ. σ. 177. — τὴν χεῖρα] ἐν Σκύθαις. Σχολ. — τὸ σκέλος] εἴτε τὸν μηρὸν (Πλουτ. π. Ἀλεξ. τύχ. Α', 9. — Ἰουστ. 9, 3.) ἐν Τριβαλλοῖς.

68. ἐν Πέλλῃ] περιφρονητικῶς ἀντιθέτως τοῦ κατωτ. κατ' ἔμφασιν οὗσιν Ἀθηναίοις (Ἰδ. Δοκίμ. Ἐπιστολ. Κανόν. Ἀβρ. Ὁμηρόλου σ. 59.) — οὕτω καὶ ἐν τῷ περὶ Ἀλοννήσου (§. 7.) «ἀξιῶν Ἀθηναίους ὄντας πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον διαδικάζεσθαι.» — χωρίῳ τότε γε — καὶ μικρῷ] τὴν Πέλλαν καλεῖ μὲν ὁ Ξενοφῶν (Ἑλλην. Ε', 6', 13.) «μεγίστην τῶν ἐν Μακεδονίᾳ πόλεων», παραβαλλομένη ὅμως ἄλλαις ὀνομασταῖς πόλεσι τῆς Ἑλλάδος ἦν μικρά τις, αὐξηθεῖσα πρῶτον ὑπὸ Φιλίππου (Στράβ. Ζ', 330.). — καὶ τοῦτο] τὸ Ἑλλήνων ἄρχειν. — καὶ λόγοις καὶ θεωρήμασιν] καὶ λεγομένοις καὶ ὁρωμένοις (θεάμασιν). οἱ τότε Ἀθηναῖοι ἦσαν ὅλως ἔνθους ἐπὶ τῇ τῶν προγόνων ἀρετῇ· ὅθεν ἔν τε τῷ θεάτρῳ καὶ ἐν ταῖς συνελεύσεσι τοῦ λαοῦ πολὺν αὐτῆς λόγον ἐποιοῦντο· οὕτω τὰ δράματα τῶν ποιητῶν καὶ οἱ λόγοι τῶν ῥητόρων εἰσὶ πλήρεις ἐνθουσιωδῶν ἐκφράσεων ὑπὲρ αὐτῆς, ἀλλὰ καὶ διάφορα ἔργα τῆς πλαστικῆς (οἷον Ἀθηνᾶ Προμαχος «ἀπὸ Μήδων τῶν ἐς Μαραθῶνα ἀποβάντων» Παυσ. Ἀττικ. 28, 2. κλπ.) ἦσαν ζῶσαι εἰκόνες αὐτῆς, ὥστε πάνθ' ὅσα ἤκουον καὶ ἔβλεπον ἦσαν ὑπομνήματα τῆς τῶν προγόνων ἀρετῆς. — κακίαν] ἀντίθετον τοῦ ἄνωτ. μεγαλοψυχίαν = μικροψυχίαν, δειλίαν· οἱ πρόγονοι ἡμῶν πρῶτον καὶ κυριώτατον αἴσθημα ἔχοντες τὸν πατριωτισμὸν ἀρετὴν μὲν ἔλεγον τὴν ἀνδρείαν, κακίαν δὲ τὴν δειλίαν· πρβλ. ὅμως καὶ τὴν ἐν §. 93. σημ. — αὐτεπαγγ. ἐθελοντὰς] ῥητορ. πλεονασμός. Ἰδ. §. 21. σημ. — παραχωρῆσαι] «τὸ οἰκεῖον κτῆμα ἡ λέξις σημαίνει· ἀποδίδωσι μὲν γάρ τις τἀλλότριον, παραχωρεῖ δὲ τῶν ἰδίων·» Οὐλπ.

69. λοιπὸν — καὶ ἀναγκαῖον] «ἱκανῶς ἐκ τῶν προλεχθέντων συνήγαγεν ὡς ἀναγκαῖον τὸν ὄντα Ἀθηναῖον ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλή-

ἔπραττεν ἀδικῶν ὑμᾶς ἐναντιοῦσθαι δικαίως. τοῦτ' ἐποιεῖτε μὲν ὑμεῖς ἐξ ἀρχῆς, εἰκότως καὶ προσηκόντως, ἔγραφον δὲ καὶ συνεβούλευον καὶ ἐγώ, *καθ' οὓς ἐπολιτευόμην χρόνους. ὁμολογῶ. ἀλλὰ τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σ' ἐρωτῶ, πάντα τἄλλ' ἀφείς, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἀλόννησον· οὐδενὸς τού-

νων ἀμύνασθαι.» Οὐλπ. — τοῦτ' ἐποιεῖτε — χρόνους] «ἐνήλλαξε — τὴν τάξιν· ἦν γὰρ πρῶτον μὲν τὸ γράφειν, δεύτερον δὲ τὸ πεισθέντας ποιεῖν, ἵνα δόξῃ ἕπεσθαι αὐτοῖς καὶ τῷ φρονήματι τῷ κοινῷ.» Οὐλπ. τὴν γνώμην ταύτην τοῦ Οὐλπιανοῦ ἐπιβεβαιοῦσι καὶ τὰ ἐν §§. 101. 206. 293. — ἐξ ἀρχῆς] ἀνέκαθεν. — ἤδη] = τώρα τέλος πάντων· διότι ἀνωτέρω (§. 66.) τὸν ἀπήγαγε τῆς ἐρωτήσεως ὁ γενικώτερος περὶ ἐθνικῆς ἀξιοπρεπείας λόγος. λεπτολογοῦμεν δ' οὕτω πρὸς ἔνδειξιν τῆς ἀκριβοῦς σημασίας τοῦ ἤδη οὐδέποτε ἀντιστοιχοῦντος τῷ νῦν ἁπλῶς, ὅπως τώρα καταχρώμεθα αὐτῷ πολλοί. — πάντα — ἀφείς — οὐδ. τούτων μέμνημαι] «παράλειψις· ὅταν δοκοῦντές τι παραλιπεῖν μηδὲν ἧττον λέγωμεν αὐτό.» Ἀλεξ. π. Σχημ. σ. 452. — Ἀμφίπολιν — Ἀλόννησον] «Ἀσύνδετον· ᾧ πολλαχοῦ χρῆται ὁ Δημ. κατ' ὄνομα καὶ κατὰ κῶλον·» Τιβέρ. π. σχημ. σ. 568. — Ἀμφίπολιν — Σέρριον — ἀλλ' ὁ τὴν Εὔβοιαν] ἀπὸ τῶν τριῶν τούτων καταλόγων (ἐν §. 69—71.) τῶν ὑπὸ Φιλίππου προσβεβλημένων τόπων ἀναφέρεται ὁ μὲν ἀ. εἰς τοὺς πρὸ τῆς φιλοκρ. εἰρήνης χρόνους, ὁ δὲ β'. εἰς τοὺς μεταξὺ τῶν διαπραγματεύσεων, καὶ ὁ γ'. εἰς τοὺς μετὰ τὴν ἐπικύρωσιν αὐτῆς· ὅθεν ὁ ῥήτωρ παραλείπων τοὺς δύο πρώτους κατὰ τὰ ἐν §. 60. ὁμιλεῖ περὶ τοῦ γ'. μόνου «ἀλλ' ὁ τὴν Εὔβοιαν κτλ.» CH. — Ἀμφίπολις] ἡ ἐπὶ Στρυμόνι ποταμῷ, ἀποικία Ἀθηναίων (ἀπὸ Ὀλ. οθ', ἀ. 464. καὶ δευτέραν φορὰν ἀπὸ Ὀλ. πέ, δ'. 437. ἴδ. Θουκυδ. Δ', 102. ἔνθα καὶ περὶ τοῦ ὀνόματος αὐτῆς· καὶ Α', 100. — Διόδ. ΙΑ', 70. — ΙΒ', 32. πρβλ. Στράβ. Ζ', 331.)· ἐπὶ τοῦ πελοπονν. πολέμου ἡλώθη ὑπὸ Λακεδαιμονίων (Θουκ. αὐτόθι 103—109.)· ἐν δὲ Ολ. ρέ, γ'. 358. ὑπεδουλώθη Φιλίππῳ. ἐπὶ Ῥωμαίων δὲ ἦν πρωτεύουσα τῆς «Macedonia prima.» τὴν σήμερον ἐρείπια μόνον σώζονται παρά τινι χωρίῳ τουρκ. Γιενὶ κιὸϐ (Νεοχωρίῳ) καλουμένῳ· πρβλ. Leake III. σ. 181. κ. ἑ. — ἡ δὲ Πύδνα πόλις Μακεδονίας πλησίον τῆς μεσημβρινοανατολικῆς παραλίας τοῦ Θερμαϊκοῦ κόλπου, οὖσα ὑπὸ τοὺς Ἀθηναίους ἀπὸ τῆς περὶ τὴν Κνίδον ναυμαχίας, ἐκυριεύθη ὑπὸ Φιλίππου Ὀλ. ρέ, δ'. 357. (Διόδ. ΙΣΤ', 8.). περὶ τῆς νῦν θέσεως ἴδ. Leake III. σ. 433. — ἡ δὲ Ποτίδαια Κορινθίων ἀποικία ἐπὶ τοῦ ἰσθμοῦ τῆς Παλλήνης (ἐπὶ τῆς ἀνατ. παραλίας τοῦ Θερμαικοῦ κόλπου) 60 σταδίους ἀπέχουσα τῆς Ολύνθου (Θουκ. Α', 63.) μετὰ πολλὰς περιπετείας τῆς τύχης (ἴδ. Διόδ. ΙΒ', 34. 37. 46. — Θουκ. Α', 66. 67. Β', 58. 70. Δ', 135.) ὑπήκουε τέλος (ἀπὸ Ὀλ. ρδ', ἀ. 364.) τοῖς Ἀθηναίοις, ὅτε ὁ Φίλιππος κυριεύσας αὐτὴν παρεχώρησεν Ὀλυνθίοις. Ὀλ. ρξ', ἀ. 356. (Διόδ. ΙΕ', 81. ΙΣΤ', 8.)· μετέπειτα ὅμως κατεστράφη ὑπὸ Φιλίππου· συνοικισθεῖσα δὲ αὖθις ὑπὸ Κασσάνδρου Ὀλ. ριξ', ἀ. 316. ἐκλήθη ἀπ' αὐτοῦ Κασσάνδρεια (Παυσ. Ἠλ. Α'. κγ', 2. — Διόδ. ΙΘ', 52.), σωζομένη καὶ τώρα ὑπὸ τὸ ὄνομα Κασσάνδρα. Μελετ. Γεωγρ. σ. 392. πρβλ. ὅμως καὶ Leake III. σ. 152. — Ἀλόννησον] τὸ νησίδιον τοῦτο ἀρχαῖον μὲν κτῆμα Ἀθηναίων, κατεχόμενον δὲ ὑπὸ πειρατῶν ἐκυρίευσεν ὁ Φίλιππος (μεταξὺ Ὀλ. ρξ' καὶ ρζ', δ'. κατὰ Voemel), ἐκβαλὼν ἐξ αὐτοῦ τοὺς πειρατάς· μὴ θέλων δὲ ἀποδοῦναι αὐτὸ Ἀθηναίοις ἦλθεν εἰς διενέξεις μετ' αὐτῶν, καὶ τότε ἐξεφωνήθη ὁ Δημοσθένους ἐπιγραφόμενος περὶ Ἀλοννήσου λόγος, ὃν δὲ τοῦ Ἡγησίππου κατὰ τοὺς κριτικούς· ἴδ. §. 73. σημ. διαφωνία δὲ

των μέμνηται· Σέρριον δὲ καὶ Δορίσκον, καὶ τὴν Πεπαρήθου 70
πόρθησιν καὶ ὅσ' ἄλλα ἡ πόλις ἠδικεῖτο, οὐδ' εἰ γέγονεν οἶδα.
καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντα εἰς ἔχθραν ἐμβαλεῖν
τουτουσί, Εὐβούλου καὶ Ἀριστοφῶντος καὶ Διοπείθους τῶν περὶ
τούτων ψηφισμάτων ὄντων, οὐκ ἐμῶν, ὦ λέγων εὐχερῶς ὅ τι ἂν
βουληθῇς. οὐδὲ νῦν περὶ τούτων ἐρῶ. ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος 71

ὑπάρχει περὶ τῆς θέσεως τοῦ νησίου, τῶν μὲν θελόντων αὐτὸ εἶναι τὸ νῦν Χιλιδρόμι ἢ Ἡλιοδρόμια λεγόμενον νησίον ἔξω τοῦ Παγασητικοῦ κόλπου πρὸς ἀνατολὰς τῆς Ἰκοῦ (νήσου ἀνατ. τῆς Σκοπέλου) κατὰ Στράβωνα (Θ', 436. καὶ ΙΔ', 644.), Στέφανον Βυζ. (σ. 66.) καὶ Μέλαν (2, 7, 8.), ἴδ. καὶ Leake III. σ. 112. — Γεωγρ. Ν. Λωρέντη τόμ. β'. σ. 594. καὶ ἀρχ. Ἄτλαντα A. Balbi, τῶν δὲ (ἐν οἷς καὶ ὁ West.) διισχυριζομένων μὲν ἐκ τοῦ Πλινίου (Φυσ. Ἱστ. 4, 12, 23.) ὅτι ἔκειτο παρὰ τῇ Θρᾳκικῇ παραλίᾳ μεταξὺ Χερσονήσου καὶ Σαμοθράκης, οὐδὲν δ' ἕτερον προστιθεμένων οὔτε περὶ τοῦ νῦν ὀνόματος, οὔτε περὶ τῆς τύχης αὐτοῦ.

70. Σέρριον] τὸ καὶ Σέριον τεῖχος καλούμενον καθὸ ὀχυρὸν φρούριον τῆς Θρᾴκης. ἴδ. καὶ §. 27. σημ. — Πεπαρήθου] νήσου παρὰ τῇ θεσσαλικῇ παραλίᾳ, τῆς νῦν Σκοπέλου.— πόρθησιν] Ολ. ρθ'. γ'—δ'. 341. ὡς παραδέχονται κοινῶς· ἄλλως δὲ οὐδὲν γνωρίζομεν περὶ αὐτῆς πλὴν τῶν ἐν §. 12 — 16 τῆς πρὸς Ἀθηναίους ἐπιστολῆς Φιλίππου καὶ ταύτης ψευδεπιγράφου, ὡς καὶ ἡ Δημοσθένους ἐπιγραφομένη ἀπάντησις αὐτῆς.— οὐδ' εἰ — οἶδα] καθ' ὑπερβολὴν ἐκφράσεως.—ἔφησθά με] ἐν §. 82 — 83. τοῦ κ. Κτησ. — εἰς ἔχθραν] πρὸς Φίλιππον.— τουτουσί] τοὺς Ἀθηναίους.— Εὐβούλου] τοῦ Κοπρίου, δημαγωγοῦ ἀντιπολιτευομένου Φιλίππῳ, τοῦ καὶ ἐν §. 75. μνημονευομένου, καὶ οὐχὶ τοῦ Ἀναφλυστίου τοῦ ἐν §. 21. καὶ 162. Boehnecke. — Ἀριστοφῶντος] οὗτος εἶναι ὁ Κολλυτεὺς ἕτερος τοῦ κατωτ. ἐν §. 162. μνημονευομένου (τοῦ Ἀζηνιέως), ἀκμάσας τὰ μάλιστα μετὰ τὴν φιλοκράτ. εἰρήνην, καὶ εἷς τῶν ψηφίσμασί τε καὶ λόγοις ἐγκαλούντων Φιλίππῳ τοὺς οὓς ἀπ' Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων μεταξὺ τῶν διαπραγματεύσεων ἀφῄρεσε τόπους, Σέρριον κτλ., καὶ παντὶ τρόπῳ διεγειρόντων τὸν λαὸν ἀπαιτῆσαι αὐτοὺς παρὰ Φιλίππου, εἴτε ἐπαναλαβεῖν τὸν πόλεμον. Boehn. πρβλ. καὶ π. τ. ἐ. Χερρον. §. 6. καὶ 30.— Διοπείθους] Κηφισιέως, κατὰ Κορσίνην, στρατηγοῦ τῶν Ἀθηναίων ἐν Χερσονήσῳ. ἴδ. ὑπόθ. τοῦ π. τ. ἐν Χερρον.— περὶ τούτων] Σερρίου κτλ. ὅσα ἡ πόλις ἠδικεῖτο. — οὐκ ἐμῶν] ὅτι τὰ περὶ τῶν ἀδικιῶν τοῦ Φιλίππου ψηφίσματα ἦσαν ἄλλων δημαγωγῶν εἶναι ἀληθές, πλὴν καὶ ὁ Δημ. δὲν ἦτο πάντη ἀμέτοχος τοῦ περὶ τούτων λόγου, ἀλλ' ἐνταῦθα ἐπιμένων τοῖς ἄνωτ. (ἐν §. 60.) θεωρεῖ ἑαυτὸν ὑπεύθυνον μόνον τῶν κατὰ τὰ ἑαυτοῦ ψηφίσματα πεπραγμένων, καὶ τότε πρῶτον, λέγει, ἐνήργησα δραστηρίως κατὰ Φιλίππου, ὅτε πλέον παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην αὐτὸς οὗτος σφετεριζόμενος τὴν Εὔβοιαν, καὶ Μεγάροις ἐπιχειρῶν κτλ.— ὦ λέγων — βουληθῇς] οὕτω καὶ ἐν §. 82. «ὦ βλασφημῶν καὶ λέγων.» — οὐδὲ νῦν] ἐπιδοτικῶς κεῖται ὁ οὐδέ· οὐ μόνον πρότερον, ἀλλ' οὐδὲ τώρα ὅτε δηλ. «σὺ ἔφησθά με — εἰς ἔχθραν ἐμβαλεῖν τουτουσί» = οὐδ' ἐν ταύτῃ τῇ περιπτώσει.

71. ἀλλ' ὁ τὴν Εὔβ. — πότερον ταῦτα πάντα ποιῶν — ἢ οὔ] «συναθροισμός· ἔστι δὲ συναγωγὴ τῶν πεπραγμένων ἢ πραχθῆναι δυναμένων εἰς ἓν κεφάλαιον.» Ἀλέξ. π. σχημ. σ. 439. — ἐκεῖνος] ἡ ἐνταῦθα θέσις τῆς ἀντωνυμίας ταύτης εἶναι μοναδική, καὶ ἔχει ἔμφασιν πολ-

σφετεριζόμενος καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεόν, καὶ κατασκάπτων Πορθμόν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δ' Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' ἑαυτῷ ποιούμενος, καὶ Βυζάντιον πολιορκῶν, καὶ πόλεις Ἑλληνίδας ἃς μὲν ἀναιρῶν, εἰς ἃς δὲ τοὺς φυγάδας κατάγων, πότερον ταῦτα πάντα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην ἢ οὔ; καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆν ἢ μή;

λήν· διότι συνήθως ἡ προτάσσεται τοῦ ὀνόματος καὶ τοῦ ἄρθρου, ἢ ἐπιτάσσεται· ἐνίοτε δὲ παρεντίθεται μεταξὺ τοῦ ἄρθρου καὶ τοῦ ὀνόματος μετὰ ἐμφατικήν τινα λέξιν, ὡς ἐν τῷ περὶ παραπρ. Δημ. §. 211. «τῆς προτέρας ἐκείνης πρεσβείας.» CH. — σφετεριζόμενος] Ὅλ. ρθ', ά. 344. ὡς καὶ αἱ ἐξῆς ἐν Εὐβοίᾳ πράξεις αὐτοῦ — καὶ πρότερον ἔτι (Ὅλ. ρς', γ'. 334. κατὰ δὲ Boehnecke ρζ', γ'.) εἶχεν ἐπιχειρήσῃ ὁ Φίλ. καταλαβεῖν τὴν Εὔβοιαν, ἀποστείλας δύναμιν πρὸς βοήθειαν τοῦ Καλλίου πολεμοῦντος Πλουτάρχῳ τῷ Ἐρετρίας τυράννῳ, μεθ' οὗ συνεμάχουν οἱ Ἀθηναῖοι ὑπὸ στρατηγὸν τὸν Φωκίωνα (ἴδ. Δημ. π. Εἰρ. §. 5. σημ.), ἀλλ' ἀπέτυχε νικησάντων Ἀθηναίων «ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ» (Αἰσχ. κ. Κτησ. §. 85 – 88.). — κατασκευάζων] αὐτήν· — ἐπιτείχισμα] ἡ αὐτὴ φράσις καὶ ἐν τῷ π. τ. ἐ. Χερρον. §. 66. πρβλ. κ. Φιλ. Δ', §. 8. τοῦθ' ὅπερ ἐν τῷ π. παραπρεσβείας §. 219. 326. ὁρμητήριον εἶπεν. ἴδ. καὶ κατωτ. §. 87. — καὶ Μεγ. — ἐπιχειρῶν] ἐπίσης Ὅλ. ρθ', ά., ὅτε μακεδονική τις μερίς, ἧς ἀρχηγὸς ἦν ὁ Περίλαος (ἴδ. §. 48. 293.), ἐζήτει ὑποτάξαι τὰ Μέγαρα Φιλίππῳ «σκευωρουμένῳ τὰ ἐν Πελοποννήσῳ» (κ. Φιλ. Γ', §. 17.–18. – κ. Φιλ. Δ', §. 9. – π. παραπρ. §§. 87. 204. 293. 323. — Ὠρεόν] τὴν πρότερον Ἱστιαίαν. — Πορθμόν] θέσιν ὀχυρὰν ἐν Εὐβοίᾳ. ἴδ. κ. Φιλ. Γ', §. 37–38. — καὶ καθιστὰς – Κλείταρχον] πρβλ. §. 79. — π. τ. ἐ. Χερρον. §. 36. — καὶ τὸν Ἑλλήσποντον – καὶ Βυζάντιον] ἐπὶ ταῦτα ἐπανέρχεται ὁ ῥήτωρ ἐν §. 80. ἐκτενέστερον δὲ ἐν §. 87. κ. ἑ. ὡς τε ἠδύνατό τις περὶ τούτων, ὡς καὶ περὶ ἄλλων πολλῶν, εἰπεῖν τὸ τοῦ Θέωνος (Προγυμν. σ. 156.). «ἀλλὰ μὴν καὶ αὐτὸς ὁ Δημ. πολλάκις ἑαυτὸν παραφράζει, οὐ μόνον τὰ ἐν ἄλλοις λόγοις αὐτῷ εἰρημένα ἀλλαχόσε μεταφέρων, ἀλλὰ καὶ ἐν ἑνὶ λόγῳ πολλάκις φαίνεται ταὐτὰ – εἰρηκώς, τῇ δὲ τῆς ἑρμηνείας ποικιλίᾳ λανθάνει τοὺς ἀκούοντας.» — Ἑλληνίδας – ἃς μὲν] σχῆμα τὸ καθ' ὅλον καὶ μέρος εἴτε ὁμοιόπτωτον καλούμενον. πρβλ. καὶ §. 182. — ἃς μὲν – εἰς ἃς δὲ – κατάγων] ταῦτα ἐκληπτέον γενικῶς καὶ οὐχὶ ἐπὶ ὡρισμένων τινῶν πόλεων, ὡς καὶ τὰ ἐν §. 60. «ἃ μὲν – προὔλαβε καὶ κατέσχε.» — τοὺς φυγάδας κατάγων] φέρων ὀπίσω εἰς τὰς ἑαυτῶν πατρίδας τοὺς ἐξορίστους τυραννόφρονας. Β. — τοῦτο ἦν σύνηθες τοῖς νικηταῖς (ἴδ. Διόδ. ΙΗ', 56.)· ὁ δὲ Φίλιππος πολλαχῶς ἐνήργει συστῆσαι νέα (τυραννικὰ) πολιτεύματα, οἷον ἐν Θεσσαλίᾳ, Εὐβοίᾳ, πιθανῶς δὲ καὶ ἐν Μεσσήνῃ. Πολύβ. Ζ', 10, 1. Γ. Μ. — ἔλυε τὴν εἰρ. ἢ οὔ;—ἔχοῃ ἢ μή] ὅρα τὴν διαφορὰν τοῦ οὐ καὶ μή· οὕτω καὶ παρ' ἡμῖν. «ἔλυε τὴν εἰρ. ἢ δὲν . . .; καὶ ἔπρεπε νὰ φανῇ ἢ νὰ μὴ . . .» — τὸν κωλύσοντα – αὐτὸν] ὅστις ἔμελλε κωλῦσαι αὐτὸν τοῦ ποιεῖν ταῦτα.

εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν λείαν καλουμένην τὴν 72
Ἑλλάδα οὖσαν ὀρθῆναι ζώντων καὶ ὄντων Ἀθηναίων, περιείργασμαι μὲν ἐγὼ περὶ τούτων εἰπών, περιείργασαι δ' ἡ πόλις ἡ πεισθεῖσα ἐμοί, ἔστω δὲ ἀδικήματα πάντα ἃ πέπρακται καὶ ἁμαρτήματα ἐμά. εἰ δὲ ἔδει τινὰ τούτων κωλυτὴν φανῆναι, τίνα ἄλλον ἢ τὸν Ἀθηναίων δῆμον *προσῆκε γενέσθαι; ταῦτα τοίνυν ἐπολιτευόμην ἐγώ, καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώπους ἐκεῖνον ἠναντιούμην, καὶ προλέγων καὶ διδάσκων μὴ προΐεσθαι διετέλουν.

Καὶ μὴν τὴν εἰρήνην γ' ἐκεῖνος ἔλυσε τὰ πλοῖα λαβών, οὐχ 73
ἡ πόλις, Αἰσχίνη. φέρε δὲ αὐτὰ τὰ ψηφίσματα καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, καὶ λέγε ἐφεξῆς· ἀπὸ γὰρ τούτων τίς τίνος αἴτιός ἐστι γενήσεται φανερόν.

72. ἀλλὰ — ὀρθῆναι] ἀλλ' ἐχρῆν τὴν Ἑλλάδα ὀρθῆναι οὖσαν τὴν καλουμένην λείαν Μυσῶν.— Μυσῶν λείαν] « παροιμία· τάττεται δὲ ἐπὶ τῶν μάτην καὶ ἀναιτίως ἀπολλυμένων, λαβοῦσα τὴν ἀρχὴν ἀπὸ τῶν ἀστυγειτόνων τε καὶ ληστῶν τῆς Μυσίας κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. » Σχολ. ὁ δὲ Β. κ. Ρ. σημειοῖ ὅτι ἡ γενικὴ Μυσῶν δὲν δύναται νὰ ἦναι παθητική, ἀλλ' οἱ Μυσοὶ πρέπει νὰ ἦναι οἱ λεηλατοῦντες· γνωρίζομεν δὲ ὅτι οἱ Μυσοὶ περιεφρονοῦντο ὡς πάντῃ ἄνανδρος καὶ ἀσθενὴς λαός, ὅθεν καὶ παροιμία « Μυσῶν ἔσχατος » ἐπὶ τῶν εὐτελεστάτων (Πλάτ. Θεαίτ. 43.)· ἄρα Μυσῶν λεία = λάφυρον τοῦ τυχόντος καὶ ἀθλιωτάτου συρφετοῦ. οὕτω τὸ ἐξηγεῖ καὶ ὁ CH. — ζώντων καὶ ὄντων] συνωνύμως πρὸς ἔμφασιν ῥητορικήν· ἡ δὲ φράσις κολακευτικωτάτη τοῖς Ἀθηναίοις παριστωμένοις ὡς φύλαξιν ἀγρύπνοις καὶ προστάταις τῆς ἐλευθερίας καὶ αὐτονομίας οὐχὶ ἁπλῶς τῆς Ἀττικῆς, ἀλλὰ συμπάσης τῆς Ἑλλάδος· τοῦτ' αὐτὸ ἐκφράζεται καὶ διὰ τοῦ ἑπομένου « τίνα ἄλλον ἢ τὸν Ἀθηναίων δῆμον προσῆκε γενέσθαι [κωλυτήν];»— περιείργασμαι μὲν ἐγὼ — ἡ πόλις] « ἐνταῦθα ἐπὶ τῶν ἡμαρτημένων πρῶτον ἑαυτὸν εἶρηκε, καίτοι ἐν τοῖς ἄνω [§. 69. πρβλ. τὴν αὐτόθι σημ. τοῦ Οὐλπ.] ἐναλλάξας τὴν τάξιν. » Οὐλπ.—περιείργασμαι = περιττὰ καὶ ἀνόητα ἔπραξα. Β. — περὶ τούτων] τῶν ἀδικημάτων τοῦ Φιλίππου. — ἔστω δὲ — ἐμά] σχῆμα διανοίας τὸ καλούμενον « συγχώρησις », ὅταν συγκατανεύωμεν εἰς ὅσα λέγει ἢ δύναται νὰ εἴπῃ ὁ ἀντίδικος, ἵνα ἐπιφέρωμεν λόγους ἰσχυροτέρους (Δοκ. Ἐπιστ. Καν. Ἀβρ. Ὁμηρ. σ. 62.)· οὕτω καὶ ἐν §. 139. « δότε δ', εἰ βούλεσθε, δότε αὐτῷ τοῦτο. » πρβλ. καὶ §. 270. — ταῦτα — ἐπολιτευόμην] ὁ πληθυντικὸς δι' ἔμφασιν· = τοῦτο τὸ ἀξίωμα (ὅτι δηλ. τὸν Ἀθηναίων δῆμον προσῆκε γενέσθαι κωλυτὴν τούτων) εἶχον πολιτευόμενος. — προΐεσθαι] κατ' ἐνεστῶτα εἰς δήλωσιν τοῦ διαρκοῦς. Β. κ. Ρ.

73. τὴν εἰρήνην] τὴν φιλοκράτειον. — τὰ πλοῖα] οὕτω καὶ ἐν §. 139. τὰ πλοῖα λέγει ἁπλῶς ἄνευ περαιτέρω διασαφήσεως ἐνάρθρως μόνον καθὸ γνωστὰ τοῖς ἀκούουσι· μὴ διασωθεισῶν δὲ δυστυχῶς τῶν περὶ τοῦ γεγονότος τούτου ἱστορικῶν πηγῶν οὐδὲν βέβαιον γινώσκομεν περὶ αὐτοῦ, πλὴν τῶν ἐν τῷ ἑπομ. ψηφίσματι περιεχομένων. — λαβών] κατὰ τὸ ἐν §. 139. ἐσεσύλητο φαίνεται ὅτι ὁ Φίλιππος συλλαβὼν τὰ πλοῖα ἐσύλησεν.

ΨΗΦΙΣΜΑ. [Ἐπὶ ἄρχοντος Νεοκλέους, μηνὸς βοηδρομιῶνος, ἐκκλησία σύγκλητος ὑπὸ στρατηγῶν, Εὔβουλος Μνησιθέου Κόπριος εἶπεν, ἐπειδὴ προσήγγειλαν οἱ στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ, ὡς ἄρα Λεωδάμαντα τὸν ναύαρχον, καὶ τὰ μετ' αὐτοῦ ἀποσταλέντα σκάφη εἴκοσι ἐπὶ τὴν τοῦ σίτου παραπομπὴν εἰς Ἑλλήσποντον ὁ παρὰ Φιλίππου στρατηγὸς Ἀμύντας καταγήοχεν εἰς Μακεδονίαν καὶ ἐν φυλακῇ ἔχει, ἐπιμεληθῆναι τοὺς πρυτάνεις καὶ τοὺς στρατηγούς, ὅπως ἡ βουλὴ συνα-
74 χθῶσι, καὶ αἱρεθῶσι πρέσβεις πρὸς Φίλιππον, οἵτινες παραγενόμενοι διαλέξονται πρὸς αὐτὸν περὶ τοῦ ἀφεθῆναι τὸν ναύαρχον καὶ τὰ πλοῖα καὶ τοὺς στρατιώτας. καὶ εἰ μὲν δι' ἄγνοιαν ταῦτα πεποίηκεν ὁ Ἀμύντας, ὅτι οὐ μεμψιμοιρεῖ ὁ δῆμος οὐδέν· εἰ δέ τι πλημμελοῦντα παρὰ τὰ ἐπεσταλμένα λαβών, ὅτι ἐπισκεψάμενοι Ἀθηναῖοι ἐπιτιμήσουσι κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν. εἰ δὲ μηδέτερον τούτων ἐστίν, ἀλλ' ἰδίᾳ ἀγνωμονοῦσιν* ἢ ὁ ἀποστείλας ἢ ὁ ἀπεσταλμένος, καὶ λέγειν, ἵνα αἰσθανόμενος ὁ δῆμος βουλεύσηται τί δεῖ ποιεῖν.]

75 Τοῦτο μὲν τοίνυν τὸ ψήφισμα Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ,

— Κόπριος] Κόπρος ἦν δῆμος τῆς Ἀττικῆς τῇ Ἱπποθωντίδι φυλῇ ἀνήκων, οὗ ὁ δημότης Κόπριος (Corp. Inscr. gr. I. σ. 216.) πρβλ. καὶ Ἀριστοφ. Ἱππ. στ. 899. «τοῦτ' εἶπ' ἀνὴρ Κόπριος.» — σκάφη] οὕτω λέγονται γενικῶς παντὸς εἴδους πλοῖα καὶ μεγάλα ἀκόμη. Β. κ. Ρ. — εἰς Ἑλλήσποντον] συναπτέον οὐχὶ μετὰ τοῦ ἀποσταλέντα ἀλλὰ μετὰ τοῦ παραπομπήν· ὁ ἀπὸ τοῦ Εὐξείνου Πόντου εἰς Λῆμνον (ὡς λέγεται ἐν τῇ κατωτ. ἐπιστολῇ §. 77.) μετακομισθησόμενος σῖτος ἠδύνατο νὰ ἐμποδισθῇ ἐν τῇ Προποντίδι, ὅθεν ἦσαν πλοῖα ὡρισμένα, ἵνα παραπέμψωσιν αὐτὸν εἰς Ἑλλήσποντον καὶ ἐκεῖθεν εἰς Λῆμνον, ὡς λέγεται ἐν τῇ Φιλίππου ἐπιστολῇ §. 77. Β. κ. Ρ. — συναχθῶσι] κατὰ πληθυντικόν, διότι ὄνομα περιληπτικὸν ἡ βουλή· λέγεται δὲ πολλάκις καὶ «ἡ βουλή, οἱ πεντακόσιοι.» Β. κ. Ρ.

74. οἵτινες] ἡ ἀόριστος τινὲς προσίθεται τῇ ἀναφορικ. οἵ, καθόσον οἱ πρέσβεις δὲν ἦσαν ὡρισμένοι. Β. κ. Ρ. — ὅτι οὐ μεμψιμοιρεῖ] τὸ ῥῆμα ἐξ οὗ ἐξαρτᾶται ὁ εἰδικὸς οὗτος λόγος (ὡς καὶ ὁ ἑπόμ. «ὅτι — ἐπιτιμήσουσι») ἐννοεῖται ἐκ τοῦ ἀνωτ. διαλέξονται· ἔξι δὲ τὸ λέγειν· παράλειψις συνήθης τοῖς Ἕλλησιν. Β. κ. Ρ. — εἰ δὲ] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ πεποίηκε ταῦτα. — λαβών] ἀντικείμ. ἐννοεῖται τὸν Λεωδάμαντα. — ἀγνωμονοῦσιν] ἴδ. §. 19. σημ. περὶ τοῦ στερητικοῦ α. — ἀποστείλας] Φίλιππος. — ἀπεσταλμένος] Ἀμύντας. — καὶ λέγειν] = καὶ τοῦτο λέγειν, ὅπως κεῖται ἔν τισι χειρογρ. σαφηνείας χάριν βεβαίως.

75. Εὔβουλος] ὁ Δημ. δὲν προσέθηκε μὲν τὸ δημοτικὸν αὐτοῦ ὄνομα, ἀλλ' οὐδεὶς τῶν ἀκουόντων ἠδύνατο νὰ

τὸ δ' ἑφεξῆς Ἀριστοφῶν, εἶθ' Ἡγήσιππος, εἶτ' Ἀριστοφῶν πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα πάντες· ἐγὼ δ' οὐδὲν περὶ τούτων. λέγε.

ΨΗΦΙΣΜΑΤΑ. [Ἐπὶ Νεοκλέους ἄρχοντος, βοηδρομιῶνος ἕνῃ καὶ νέᾳ, βουλῆς γνώμῃ, πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν, τὰ ἐκ τῆς ἐκκλησίας ἀνενεγκόντες, ὅτι ἔδοξε τῷ δήμῳ πρέσβεις ἑλέσθαι πρὸς Φίλιππον περὶ τῆς τῶν πλοίων ἀνακομιδῆς καὶ ἐντολὰς δοῦναι κατὰ τὰ ἐκ τῆς ἐκκλησίας ψηφίσματα. καὶ εἵλοντο τούσδε, Κηφισοφῶντα Κλέωνος Ἀναφλύστιον, Δημόκριτον Δημοφῶντος Ἀναγυράσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην. πρυτανεία φυλῆς Ἱπποθωντίδος. Ἀριστοφῶν Κολλυτεὺς πρόεδρος εἶπεν.]

ἐννοήσῃ τὸν περίφημον ἐκεῖνον Εὔβουλον τὸν Ἀναφλύστιον καθὸ φίλον τῆς μακεδονικῆς μερίδος. Boehn. Ἀ ρ ι σ τ ο φ ῶ ν] ἴδ. §. 70. σημ. — Ἡ γ ή σ ι π π ο ς] Διφίλου Σουνιεὺς ὁ παρ' Αἰσχ. (κ. Κτησ. §. 118.) σκωπτικῶς Κ ρ ω β ύ λ ο ς λεγόμενος ἕνεκα τοῦ ἀρχαιοτρόπου εἰς κρωβύλον (Θουκ. Α'. 6. πλέξιμόν τι περὶ τὴν κορυφὴν εἰς εἶδος φούντας.) σχηματισμοῦ τῶν τριχῶν τῆς κεφαλῆς αὐτοῦ· δραστήριος ὁ παδὸς τῆς πατριωτικῆς μερίδος, γράψας ψήφισμα περὶ τοῦ ἐπανορθώσασθαι Φίλιππον τὴν φιλοκ. εἰρήνην ἀποδίντα ὅσα μεταξὺ τῶν διαπραγματεύσεων ἀδίκως ἐσφετερίσθη, καὶ ἐπὶ τούτῳ πρεσβεύσας πρὸς Φίλιππον μετ' ἄλλων τινῶν Ολ. ρθ'. ά. 344. (πρβλ. τὰ ἐν §. 136. σημ.). ὁ Φίλ. οὐ μόνον ψυχρῶς ὑπεδέχθη αὐτούς, ἀλλὰ καὶ «Ξενοκλείδην τὸν ποιητὴν ἐξεκήρυξεν, ὅτι αὐτοὺς ὑπεδέξατο.» Δημ. π. παραπρ. §. 331. τούτῳ ἀποδίδουσιν ἀρχαῖοί τε (ἴδ. Ἁρποκρ.) καὶ νεώτεροι τὸν «Δημοσθένους ἐπιγραφόμενον ἕβδομον Φιλιππικόν» (τὸν περὶ Ἁλοννήσου). πρβλ. §. 69. σημ. (οὗτος τοῖς — πολίταις ποτὲ τοῖς ἑαυτοῦ συνεβούλευε μὴ προσέχειν τῷ μακεδόνι Φιλ. προϊσχομένῳ τὰ εἰρηνικά· ὡς δὲ ἐξορυβήθησαν αὐτῷ καὶ τις ἀναστὰς δεδιττόμενος εἶπε· «πόλεμον εἰσάγεις Κρωβύλε,» καὶ ὃς «οὐ μόνον γε», ἔφη, «πόλεμον, ἀλλὰ καὶ θανάτους ἀώρους καὶ μέλανα ἱμάτια καὶ δημοσίους ταφὰς καὶ λόγους ἐπιταφίους, εἴ γε βούλεσθε μὴ λῃστεῖν, ἀλλὰ τοὺς Ἕλληνας ἐλευθεροῦν καὶ κτήσασθαι πάλιν αὖ τὴν πατρῴαν ἡγεμονίαν. » Πλουτ. Ἀποφθ. σ. 187.). — Φ ι λ ο κ ρ ά τ η ς] τίς οὗτος ἀγνοεῖται. ἐπὶ Δημοσθένους ὅμως τόσῳ κοινὸν ἦν τὸ ὄνομα τοῦτο, ὥστε οὐδεμίᾳ ἀνάγκῃ νὰ ἐκλάβωμεν ἐνταῦθα τὸν ἐν §. 21. φίλον, ὡς γνωστόν, τοῦ Φιλίππου. — οὕτως ἀναφέρονται ἐν ἐπιγραφαῖς Πειραιῶς Φιλοκράτης Ἀχαρνεύς (Ολ. ριδ'. γ'.), Φιλοκράτης Λαμπτρεύς, τριήραρχοι, Φιλοκράτης Πάριος (περὶ τὴν ρς'. Ολ.), Φιλοκράτης Ὠαθεν, Φιλοκράτης Ἐλευσίνιος, ὁ συκοφάντης (ἀκμ. μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην). Boehn. — Κ η φ ι σ ο φ ῶ ν] ἴσως « ὁ Παιανιεύς, εἷς τῶν φίλων καὶ ἑταίρων τῶν Χάρητος » (Αἰσχ. π. παραπρ. §. 73.) [ὁ δὲ ἀνωτέρω (§. 21. πρβλ. καὶ τὴν αὐτ. σημ.) εἶναι ὁ Ῥαμνούσιος φίλος τοῦ Ἀναφλυστίου Εὐβούλου, καὶ οὐχὶ οὗτος ὁ Παιανιεύς, ὡς φρονεῖ ὁ West. Boehn.], ἴσως δὲ εἶναι ὁ ἐν τῷ ἑξῆς ψηφισμ. Κ λ έ ω ν ο ς Ἀ ν α φ λ ύ σ τ ι ο ς (Boehn.), ἐὰν τὰ ἐν αὐτῷ ἔχωνται ἀληθείας. — ἐ χ ρ η μ ά τ ι σ α ν] διεπραγματεύθησαν. — τ ὰ ἐ κ τ ῆ ς ἐ κ κ λ η σ ί α ς] ἐννοεῖται ψ η φ ί σ μ α τ α ὡς κεῖται δύο στίχους κατωτέρω. — ὅ τ ι ἔ δ ο ξ ε — ψ η φ ί σ μ α τ α] ἐπεξήγησις τοῦ τὰ ἐκ τῆς ἐ κ κ λ η σ ί α ς. — κ α ὶ ε ἵ λ ο ν τ ο] συναπτέον τῷ ἐ χ ρ η μ ά τ ι σ α ν.

76 Ὥσπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψηφίσματα, οὕτω καὶ σὺ δεῖξον, Αἰσχίνη, ὁποῖον ἐγὼ γράψας ψήφισμα αἴτιός εἰμι τοῦ πολέμου. ἀλλ' οὐκ ἂν ἔχοις· εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου. καὶ μὴν οὐδ' ὁ Φίλιππος οὐδὲν αἰτιᾶται ἐμὲ ὑπὲρ τοῦ πολέμου, ἑτέροις ἐγκαλῶν. λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου.

77 ΕΠΙΣΤΟΛΗ. [Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. παραγενόμενοι πρὸς* ἐμὲ οἱ παρ' ὑμῶν πρεσβευταί, Κηφισοφῶν καὶ Δημόκριτος καὶ Πολύκριτος, διελέγοντο περὶ τῆς τῶν πλοίων ἀφέσεως, ὧν ἐναυάρχει Ἀκομέδων. καθ' ὅλου μὲν οὖν ἔμοιγε φαίνεσθε ἐν μεγάλῃ εὐηθείᾳ ἔσεσθαι, εἴγ' οἴεσθ' ἐμὲ λανθάνειν, ὅτι ἐξαπεγάλη ταῦτα τὰ πλοῖα πρόφασιν μὲν ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς τοῖς ὑπ' ἐμοῦ μὲν πολιορκουμένοις, οὐ συμπεριειλημμένοις δὲ ἐν
78 ταῖς τῆς φιλίας κοινῇ κειμέναις ἡμῖν συνθήκαις. καὶ ταῦτα συνετάχθη τῷ ναυάρχῳ ἄνευ μὲν τοῦ δήμου τοῦ Ἀθηναίων, ὑπὸ δέ τινων ἀρχόντων καὶ ἑτέρων ἰδιωτῶν μὲν νῦν ὄντων, ἐκ παντὸς δὲ τρόπου βουλομένων τὸν δῆμον ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φιλίας τὸν πόλεμον ἀναλαβεῖν, πολλῷ μᾶλλον φιλοτιμουμένων τοῦτο συντετελέσθαι ἢ τοῖς Σηλυμβριανοῖς βοηθῆσαι. καὶ ὑπολαμβάνουσιν αὐτοῖς τοιοῦτο πρόσοδον ἔσεσθαι· οὐ μέντοι μοι δοκεῖ τοῦτο χρήσιμον ὑπάρχειν οὔθ' ὑμῖν οὔτ' ἐμοί. διόπερ τά τε νῦν καταχθέντα πλοῖα πρὸς ἡμᾶς ἀφίημι ὑμῖν, καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ ἐπιτρέπειν τοῖς προσηκόσιν ὑμῶν κακοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι κἀγὼ διαφυλάττειν τὴν εἰρήνην. εὐτυχεῖτε.]

76. γράψας — τοῦ πολέμου] ὡς εἶπεν ὁ Αἰσχίνης (κ. Κτησ. §. 53. 83). — ὑπὲρ τοῦ πολέμου] ἀντὶ περὶ τοῦ πολ. πρβλ. §. 9. καὶ τὴν αὐτόθι σημ.

77. Λαομέδων] καὶ ὅμως ἐν τῷ ἄνωτ. ψηφίσμ. (§. 73.) Λεωδάμας καλεῖται ὁ ναύαρχος. — πρόφασιν μὲν — βοηθήσοντα δὲ] μετὰ τὸ πρόφασιν μὲν ἔπεται ἀντὶ τοῦ ἔργῳ δὲ ἢ ἄλλης τινὸς ὁμοίας λέξεως αὐτὴ ἡ ἀληθὴς αἰτία τῆς ἀποστολῆς βοηθήσοντα δέ. Β. κ. Ρ.

78. συντετελέσθαι] συντετελεσμένον εἶναι. — ἀφίημι ὑμῖν] ὑμῖν ἠθικὴ δοτικὴ τὸ πρὸς χάριν δηλοῦσα. — ἐπιτιμᾶτε] παιδεύητε, τιμωρῆτε.

Ἐνταῦθ' οὐδαμοῦ Δημοσθένην γέγραφεν, οὐδ' αἰτίαν οὐδεμίαν 79
κατ' ἐμοῦ. τί ποτ' οὖν τοῖς ἄλλοις ἐγκαλῶν τῶν ἐμοὶ πεπραγμένων οὐχὶ μέμνηται; ὅτι τῶν ἀδικημάτων ἂν ἐμέμνητο τῶν αὐτοῦ, εἴ τι περὶ ἐμοῦ γεγράφει· τούτων γὰρ εἰχόμην ἐγὼ καὶ* τούτοις ἠναντιούμην. καὶ πρῶτον μὲν τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα, ὅτε πρῶτον ἐκεῖνος εἰς Πελοπόννησον παρεδύετο, εἶτα τὴν εἰς Εὔβοιαν, ἡνίκ' Εὐβοίας ἥπτετο, εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσβείαν, καὶ τὴν εἰς Ἐρέτριαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσι κατέστησεν. μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους ἅπαντας ἀπέστειλα, καθ' οὓς 80
Χερρόνησος ἐσώθη καὶ τὸ Βυζάντιον καὶ πάντες οἱ σύμμαχοι. ἐξ ὧν ὑμῖν μὲν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαί, στέφανοι, χάριτες παρὰ τῶν εὖ πεπονθότων ὑπῆρχον, τῶν δ' ἀδικουμέ-

79. τούτων—εἰχόμην—ἠναντιούμην] ὁ Δημ. ἐπηγρύπνει ἀεὶ ἐπὶ τῆς πορείας τοῦ Φιλίππου, καὶ κύριον ἔργον εἶχεν, καθ' οὓς ἐπολιτεύετο χρόνους, ἐναντιοῦσθαι τοῖς ἀδικήμασιν αὐτοῦ, ὡς φαίνεται καὶ ἐκ τῆς ἑξῆς ἐκθέσεως. — τὴν—πρεσβείαν] Ολ. ρθ', δ'. 343. τῆς πρεσβείας ταύτης καὶ μετέσχεν ὁ ῥήτωρ (κ. Φιλ. Γ', §. 72. πρβλ. §. 45. σημ. ὅποι πεμφθείην). —ὅτε πρῶτον] πρῶτον = πρὸ πάντων, ὡς καὶ ἐν §. 36. καὶ οὐχὶ ὄνομα τακτικόν. — παρεδύετο] γραφικώτατον τὸ ῥῆμα, εἰκονίζον τὸν ὑπουλον τοῦ Φιλίππου χαρακτῆρα. οὕτω καὶ παρὰ Πλουτάρχῳ (ἐν βίῳ Φωκίωνος 13.) «παραδυομένου —εἰς τὴν Εὔβοιαν τοῦ Φιλίππου.» — τὴν εἰς Εὔβοιαν] ἀμέσως μετὰ τὴν κατασκαφὴν τοῦ Πορθμοῦ. ἴδ. §. 71. σημ. τὰ δὲ καθ' ἕκαστα τῆς πρὸς Εὐβοεῖς συμμαχίας, καίτοι ἐμπαθῶς γεγραμμένα, κεῖνται παρ' Αἰσχίνῃ κ. Κτησ. §. 89. κ. ἐ. — ἡ δ' ἐπ' Ὠρεὸν καὶ ἡ εἰς Ἐρέτριαν ἔξοδος πίπτει κατ' Ολ. ρθ', δ'. 341., καθ' ἣν πρῶτον ἠλευθερώθη ἡ Ὠρεὸς φονευθέντος τοῦ τυράννου αὐτῆς Φιλιστίδου (Στεφ. Βυζ. ἐν λ. Ὠρεός), ἔπειτα ἡ Ἐρέτρια ἡττηθέντος τοῦ Κλειτάρχου ὑπὸ Φωκίωνος (Διόδ. ΙΣΤ', 74.). W. — ἐπειδὴ] χρονικὸν. ἴδ. §. 87. σημ.

80. τοὺς ἀποστόλους—ἀπέστειλα] τὰς διὰ θαλάσσης ταύτας ἐκστρατείας τὰς τόσῳ εὐτυχεῖς καὶ τὸν διευθύνοντα αὐτὰς στρατηγὸν Φωκίωνα τιμώσας δικαίως εἰκειοποιεῖται ὁ ῥήτωρ, καθὸ κατὰ πρόταsιν αὐτοῦ γεγενημένας, ἀμφιβάλλομεν δὲ ἂν ἔχῃ ὑπ' ὄψιν καὶ τὸν τριηραρχικὸν νόμον αὐτοῦ, περὶ οὗ ἴδ. κατωτέρω (§. 107. καὶ 102.). —Χερρόνησος] ἡ Θρᾳκικὴ Χερσόνησος ἡ τόσῳ περιμάχητος τοῖς Ἀθηναίοις, καὶ πολλάκις μὲν ἁφαιρεθεῖσα ἀπ' αὐτῶν, πάντοτε ὅμως ἀνακτηθεῖσα, διετέλει ἤδη ὑπὸ τοὺς Ἀθηναίους ἐξασφαλισθεῖσα αὐτοῖς διὰ Κερσοβλέπτου βασιλέως τῶν Θρᾳκῶν, ὅτε ὁ Φίλιππος πρὸς ἀπαλλαγὴν ἀπὸ τούτων τῶν πολλαχῶς ἐπικινδύνων αὐτῷ γειτόνων, πρῶτον μὲν κατέλαβεν ἐπικαίρους τινὰς τόπους τῆς Θράκης (ἴδ. §. 27.), κατὰ δὲ Ὀλ. ρθ', γ'—δ'. 341. καὶ ἐνόπλως ἀναμιχθεὶς ταῖς μεταξὺ Καρδιανῶν καὶ Ἀθηναίων κληρούχων διαφοραῖς παρώξυνε τοὺς Ἀθηναίους εἰς νόμιμον ἀνάκτησιν τῆς Χερσονήσου ὅλης διὰ τοῦ ἀξίου στρατηγοῦ αὐτῶν Διοπείθους (ἴδ. ὑπόθ. τοῦ περὶ τῶν ἐν Χερρονήσῳ). W. — καὶ τὸ Βυζάντιον—σύμμαχοι] ἴδ. τὴν ἐν §. 87. σημ. — ἔπαινοι—χάριτες] πρβλ. §. 89. W. — χάριτες] ἡ μεγαλητέρα κ-

νων τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν ἡ σωτηρία περιεγένετο, τοῖς δ' ὀλιγωρήσασι τὸ πολλάκις ὧν ὑμεῖς προείπατε μεμνῆσθαι, καὶ νομίζειν ὑμᾶς μὴ μόνον εὔνους ἑαυτοῖς, ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι· πάντα γὰρ ἐκβέβηκεν ἃ προείπατε.

81 καὶ μὴν ὅτι πολλὰ μὲν ἂν χρήματα ἔδωκε Φιλιστίδης ὥστ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλείταρχος ὥστ' ἔχειν Ἐρέτριαν, πολλὰ δ' αὐτὸς ὁ Φίλιππος, ὥστε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ, καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι μηδ' ἃ ποιῶν ἠδίκει μηδένα ἐξετάζειν πανταχοῦ, οὐδεὶς ἀγνοεῖ, καὶ πάντων ἥκιστα

82 σύ· οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου τότε πρέσβεις δεῦρ' ἀφικνούμενοι παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προὔξένεις αὐτῶν· οὓς ἡ μὲν πόλις ὡς ἐχθροὺς καὶ οὔτε δίκαια οὔτε συμφέροντα λέγοντας ἀπήλασε, σοὶ δ' ἦσαν φίλοι. οὐ τοίνυν ἐπράχθη τούτων οὐδέν, ὦ βλασφημῶν περὶ ἐμοῦ καὶ λέγων

μοιβὴ τῶν αὐθαιρεσιῶν ἐπάρχεται βαθμολογικῶς τελευταία. — τοῖς μὲν — τότε πεισθεῖσιν] οἷον τοῖς τὰ Ἀθηναίων φρονοῦσι Χερσονησίταις, τοῖς Περινθίοις κλπ. — τοῖς δ' ὀλιγωρήσασι] οἷον τοῖς Καρδιανοῖς καὶ εἴτισιν ἄλλοις. — καὶ μάντεις] τόσῳ σοφοί, ὥστε καὶ μαντεύειν τὰ ἐκβησόμενα· ὁ Δημ. δὲν κολακεύει μὲν τοὺς Ἀθηναίους, ἀλλ' ἐνίοτε λέγει τοιαῦτά τινα, ἅπερ θεραπεύουσιν αὐτούς. ἐν τούτοις ὁ ἔπαινος οὗτος ἀνταναλλᾶται πάλιν τῷ ῥήτορι καθὸ συμβούλῳ αὐτῶν ἐν τοῖς πρακτέοις. Β. κ. Ῥ.

81. πολλὰ—πολλὰ] «εἶδος ἐπαναφορᾶς.» Τιβέρ. π. Σχημ. σ. 360. 18. §. 48. σημ. — πολλὰ — χρήματα ἔδωκε] διὰ τούτων θέλει ν' ἀποδείξῃ ὁ ῥήτωρ ὅτι εἶχεν ἰσχυρὰν ἀφορμὴν τοῦ μισθοδοτεῖσθαι, ἐὰν ἦν δωροδόκος, ὅπως διέβαλεν αὐτὸν ὁ Αἰσχίνης ἐν τῷ λόγῳ αὐτοῦ, καὶ μάλιστα ἐν §. 103—105. — ταῦθ'] ταῦτα τὰ πολίσματα (Ὠρεὸς καὶ Ἐρέτρια) ὡς ἐπιτειχίσματα ἐπὶ τὴν Ἀττικήν. πρβλ. §. 71. — ὑπάρχειν αὐτῷ] ἔξεστι, ἢ ὑπάρχει μοί τι φράσις συνήθης τοῖς Ἀττικοῖς, = ἔχω τι. οὕτω καὶ ἀνωτ. (§ 80.) «ὑμῖν μὲν τὰ κάλλιστα — ὑπῆρχον» = ὑμεῖς μὲν ἀπελαμβάνετε τὰ κάλλιστα. πρβλ. καὶ §. 82. — μηδ' ἃ ποιῶν — πανταχοῦ] κεῖται ἐκ παραλλήλου τῷ «καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι.»

82. ἀφικνούμενοι] ἐσάκις ἤρχοντο, συνεχῶς δηλ. καὶ ἐπανειλημμένως. — προὔξένεις] προξενῶ = πρόξενός εἰμι πόλεως τινος· εἶτα γενικώτερον, φέρομαί τινι ὡς πρόξενος, ἤτοι φροντίζω περὶ τῶν ὑποθέσεων αὐτοῦ. οὕτως ἐκληπτέον αὐτὸ καὶ ἐνταῦθα. Β. κ. Ῥ. — οὓς ἡ μὲν — ἦσαν φίλοι] ὁ Β. κ. Ῥ. εὑρίσκει ἀναπόλευθον ἐν τῷ ἀναφορικῷ τούτῳ λόγῳ, ὡς κτητικὴν ἀντωνυμίαν, φαίνεται, ἐκλαβὼν τὴν ἐπομένην σοὶ ἥτις εἶναι δοτικὴ τῆς προσωπικῆς καὶ ἀπόδοσιν τοῦ ἑτέρου ἀντιθετικοῦ κώλου ἡ μὲν πόλις κατὰ φράσιν συνήθη τοῖς Ἕλλησιν, = σὺ δὲ τοὺς εἶχες φίλους (πρβλ. §. 81. σημ.). — τούτων] τῶν εἰρημένων (ἐν §. 81.), νὰ συγχωρήσῃ δηλ. τοῖς τυράννοις ἔχειν τὰς πόλεις, καὶ νὰ μὴ ἐξελέγχῃ τὰς Φιλίππου ἀδικίας ἕνεκα δώρων τινῶν· μετὰ δὲ τὴν ἐναργεστάτην ταύτην ἀπόδειξιν τοῦ κεκωροδοκηκότος αὐτοῦ φέρει, ὡς σύνηθες αὐτῷ, τὸν λόγον πρὸς τὸν ἀντίδικον, καὶ ἐλέγχει αὐτὸν ἀξιο-

ὡς σιωπῶ μὲν λαβών, βοῶ δ' ἀναλώσας. ἀλλ' οὐ σύ γε, ἀλλὰ βοᾷς μὲν ἔχων, παύσει δὲ οὐδέποτ', ἐὰν μή σε οὗτοι παύσωσιν ἀτιμώσαντες τήμερον. στεφανωσάντων τοίνυν ὑμῶν ἐμὲ ἐπὶ 83
τούτοις τότε, καὶ γράψαντος Ἀριστονίκου τὰς αὐτὰς συλλαβὰς ἃς περ οὗτοσὶ Κτησιφῶν νῦν γέγραφε, καὶ ἀναρρηθέντος ἐν τῷ θεάτρῳ τοῦ στεφάνου, καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου γιγνομένου, οὔτ' ἀντεῖπεν Αἰσχίνης παρών, οὔτε τὸν εἰπόντα ἐγράψατο. καί μοι λέγε καὶ τοῦτο τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ. [Ἐπὶ Χαιρώνδου Ἡγέμονος ἄρχοντος, γαμηλιῶνος 84
ἕκτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος Φρεάρριος εἶπεν, ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς πολλὰς καὶ μεγάλας χρείας παρέσχηται τῷ δήμῳ τῷ Ἀθηναίων καὶ πολλοῖς τῶν συμμάχων καὶ πρότερον καὶ ἐν τῷ παρόντι καιρῷ βεβοήθηκε διὰ τῶν ψηφισμάτων, καί τινας

πρεπῶς δι' ὅσα εἶπε κατ' αὐτοῦ (κ. Κτησ. §. 218.).— ἀλλ' οὐ σύγε] ἐννοητέον τὸ σιωπᾷς, ἢ οὕτω ποιεῖς, ἢ ἄλλο τι τοιοῦτον.—παύσει—παύσωσιν] ὅρα τὴν διαφορὰν τοῦ παύομαι (μέσου ἀνταναχλωμένου) ἀπὸ τοῦ παύω διπτώτου μεταβατικοῦ (παύσωσί σε τοῦ βοᾶν). — ἀτιμώσαντες] καταστήσαντες ἄτιμον. ὁ Αἰσχίνης ἂν δὲν ἐλάμβανε τὸ πέμπτον μέρος τῶν ψήφων, καθὼς καὶ συνέβη, ἐστερεῖτο τοῦ δικαιώματος τοῦ ἐγκαλεῖν τινα· τοῦτο δὲ ἦν εἴδός τι ἀτιμίας, εἰς ὃ καὶ ὑπέπεσε, καὶ μὴ δυνηθεὶς νὰ ὑποστῇ αὐτὸ ἔφυγεν εἰς Ῥόδον.

83. ἐπὶ τούτοις] ἐπὶ τῇ ἐλευθερώσει τῆς Ὠρεοῦ καὶ Ἐρετρίας καὶ ματαιώσει τῶν πολεμικῶν σκοπῶν τοῦ Φιλίππου.— τότε] Ολ. ρθ'. δ'. 341.— Ἀριστονίκου] τοῦ Νικοφάνους Ἀναγυρασίου κατὰ Ψευδοπλούταρχον (βίοι Ἰ. Ῥητ. σ. 848.)—καὶ δευτέρου—γιγνομένου] τοῦτο ἐξέλαβόν τινες [ἐν οἷς καὶ ὁ W.] ἐπὶ τοῦ κτησιφωντείου ψηφίσμ., ἀλλ' οὔτε δεύτερον ἦν τοῦτο, προηγουμένων αὐτοῦ τῶν Δημομέλους καὶ Ὑπερείδου ψηφισμάτων [ἰδ. §. 222—223.], οὔτε ἠδύνατο ὁ Δημ. νὰ εἴπῃ αὐτὸ κήρυγμα, ἐν ᾧ τὸ πρᾶγμα δὲν εἶχε προβῇ μέχρι τούτου [ἰδ. § 103. σημ.], ἑπομένως οὐδὲν ἄλλο κήρυγμα δυνάμεθα νὰ ἐννοήσωμεν ἐνταῦθα, εἰμὴ τὸ τοῦ Ἀριστονίκου, ποῖον δὲ ἦν τὸ πρῶτον ἀγνοοῦμεν. καίτοι ὁ Ψευδοπλούτ. (ἔνθα ἀνωτ.) « πρῶτος ἔγραψε, » λέγει, « στεφανωθῆναι αὐτὸν χρυσῷ στεφ. Ἀριστόνικος Νικοφάνους Ἀναγυράσιος, » ἐν ᾧ ἀνωτέρω (σ. 846.) εἶπεν, « πολλάκις ἐστεφανώθη ὁ Δημ. πρότερον μὲν ὑπὸ Δημομελοῦς, Ἀριστονείκου, Ὑπερείδου χρυσῷ στεφ. τελευταῖον δὲ ὑπὸ Κτησιφῶντος, » κακῶς, ἴσως, ἐκλαβὼν τὸ χωρίον τοῦτο. B. κ. Ῥ.—ὁ Boehnecke ὡς πρῶτον στέφανον θεωρεῖ τὸν ἐν Ολ. ρη', δ'. 347. μετὰ τὴν πρὸς Φίλιππον α'. πρεσβείαν [τὴν περὶ τῆς εἰρήνης] ἀπονεμηθέντα τῷ Δημ. κατὰ ψήφισμα αὐτοῦ τούτου [μέλους ὄντος τῆς βουλῆς] περὶ τοῦ στεφανῶσαι ἕκαστον τῶν πρέσβεων « θαλλοῦ στεφάνῳ εὐνοίας ἕνεκα τῆς εἰς τὸν δῆμον » [Αἰσχ. π. παραπρ. §. 46.], πλὴν τοιαῦται πολλοῖς ὁμοῦ ἀπονεμόμεναι τιμαὶ δὲν λαμβάνονται ὑπ' ὄψιν. A. Schaefer.— ἤδη] τότε πλέον. — γιγνομένου] χρονικὴ μετοχὴ ἐξηγητέα διὰ παρατατικοῦ.

84. ἕκτῃ ἀπιόντος] τῇ κέ. —χρείας] ὑπηρεσίας, ἐκδουλεύσεις.— καὶ πολλοῖς] ἀποδοτέον τῷ βεβοήθηκε.—

τῶν ἐν τῇ Εὐβοίᾳ πόλεων ἠλευθέρωκε, καὶ διατελεῖ εὖνους ὢν τῷ δήμῳ τῷ Ἀθηναίων, καὶ λέγει καὶ πράττει ὅ τι ἂν δύνηται ἀγαθὸν ὑπέρ τε αὐτῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ, τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τὴν πρυτανεύουσαν φυλὴν καὶ* τὸν ἀγωνοθέτην. εἶπεν Ἀριστόνικος Φρεάρριος.]

85 Ἔστιν οὖν ὅστις ὑμῶν οἶδέ τινα αἰσχύνην τῇ πόλει συμβᾶσαν διὰ τοῦτο τὸ ψήφισμα ἢ χλευασμὸν ἢ γέλωτα, ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἐὰν ἐγὼ στεφανῶμαι; καὶ μὴν ὅταν ἡ νέα καὶ γνώριμα πᾶσι τὰ πράγματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει, ἐὰν θ' ὡς ἑτέρως, τιμωρίας. φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε, καὶ οὐ μέμψεως οὐδὲ τιμωρίας.

86 Οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ' ἐπράχθη, πάντας ἀνωμολόγημαι τὰ ἄριστα πράττειν τῇ πόλει, τῷ νικᾶν, ὅτ' ἐβουλεύεσθε, λέγων καὶ γράφων, τῷ καταπραχθῆναι τὰ γραφέντα καὶ στεφάνους ἐξ αὐτῶν τῇ πόλει καὶ ἐμοὶ καὶ

85. ἔστιν οὖν — οἶδε] « ἀπὸ τοῦ παρεληλυθότος κατασκευάζει τὸ νῦν. ἐπὶ γὰρ τοῦ νῦν στεφάνου εἶπεν ὁ Αἰσχίνης ὅτι ὀφλήσει πολλὴν αἰσχύνην ἡ πόλις, εἰ τοῦτον οὐδὲν ἔχοντα χρηστόν, πάμπολλα δὲ ἡμαρτηκότα, τιμήσειεν, ἀλλ' ἐπειδὴ τοῦτο ἄδηλον, ἀπὸ τῶν — ἤδη γενομένων λαμβάνει τὴν πίστιν. — καὶ γάρ πως εἰκὸς ἦν μᾶλλον τότε γενέσθαι [τὴν αἰσχύνην], ὅτε καὶ νεώτερα ὑπῆρχε τὰ πράγματα, καὶ ἡ βάσανος ὑπ' αὐτῶν ἀκριβεστέρα πως γίγνεται.» Ὑπόλλ. — οὗτος ἔφη] ἐν τῷ κ. Κτησ. §. 231. « αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; » — ὡς ἑτέρως] σύνηθες τοῖς Ἕλλησι δύο ἀντιθέτων ἐννοιῶν τὴν ἑτέραν καὶ μάλιστα τὴν δύσφημον ἐπιφέρειν διὰ τοῦ ὡς ἑτέρως. πρβλ. §. 212. 306. — κ. Φιλ. Β', 10. — ὡς ἑτέρως = οὕτως, ὡς ἐστιν ἑτέρως. Β. κ. Ρ.

86. οὐκοῦν μέχρι — ἐκείνων] « εἰ τοίνυν, φησίν, οὐδὲν ἐπηκολούθησεν ὄνειδος τῇ πόλει ἐκ τῆς γεγραμμένης τιμῆς ὑπὸ τοῦ Ἀριστονίκου, — ὡμολόγηται ὡς ἅπας ὁ πρὸ τοῦ ψηφίσματος τοῦ βίου μου χρόνος πάσης διαβολῆς ἐκαθάρευσε, καὶ φανερῶς ἔνδοξα πεπολίτευμαι.» Ὑπόλλ. — πάντας] ἔν τισι χειρογράφοις μετὰ τὸ ἀνωμολόγημαι κεῖται τὸ χρόνους πρὸς ἐξήγησιν δῆθεν τοῦ πάντας, ὡς σημειοῖ καὶ ὁ W. εἷς δὲ τῶν ἡμετέρων λογίων ὑποτοπάζων βλάβην τοῦ κειμένου προτείνει διόρθωσιν πάντως, πάνυ γε ἐλλόγως, ὡς ἐμοὶ δοκεῖ. — τῷ νικᾶν — τῷ καταπραχθῆναι — καὶ — γενέσθαι — τῷ — πεποιῆσθαι] δοτικαὶ τρόπου ἢ ὀργάνου δηλωτικαί.

πᾶσι γενέσθαι, τῷ θυσίας τοῖς θεοῖς καὶ προσόδους ὡς ἀγαθῶν τούτων ὄντων ὑμᾶς πεποιῆσθαι.

Ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος ὑφ' ὑμῶν ἐξηλάθη 87
τοῖς μὲν ὅπλοις, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφίσμασι, κἂν διαρραγῶσί τινες τούτων, ὑπ' ἐμοῦ, ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει. ὁρῶν δ' ὅτι σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθ' ἐπεισάκτῳ, βουλόμενος τῆς σιτοπομπίας κύριος γενέ-

— καὶ πᾶσι] τὰ χειρόγρ. ἐκτὸς τοῦ Σ ἔχουσι καὶ τὸ ὑμῖν, ἐνταῦθα ὅμως τὸ πᾶσι κεῖται οὐχὶ πρὸς ἀντιδιαστολὴν τῶν προηγουμένων, ἀλλὰ μᾶλλον συγκεφαλαιωτικῶς πρὸς πλείονα ἔμφασιν τοῦ λόγου,= πᾶσιν ἐν γένει. οἷον καὶ ἐν §. 148. « τοὺς Θηβαίους καὶ τοὺς Θετταλοὺς καὶ πάντας.» καὶ 215. πρβλ. κ. Μειδ. §§. 92. 37. 44. 141. W.— προσόδους] ὅπερ ἐν §. 216. εἶπε πομπάς.

87. ἐπειδὴ] χρονικόν, ἀλλὰ καὶ αἰτιολογικὸν συγχρόνως, τουτέστιν ἡ ἑπομένη πρᾶξις δὲν εἶναι ἁπλῶς διαδοχικὴ τῆς πρὸ αὐτῆς, ἀλλὰ καὶ αἰτιολογικῶς σχετικὴ πρὸς αὐτήν. οὕτω καὶ ἐν §. 79. 42. κ. ἀ. — ὑφ' ὑμῶν ἐξηλάθη τοῖς μὲν ὅπλοις] ἐκ προθέσεως, φαίνεται, ἀφῆκεν ὁ ῥήτωρ ἐπὶ τέλους τὸν προσδιορισμὸν τοῖς μὲν ὅπλοις ἐν προσθήκης μέρει, ἵνα τὴν ἐκ τῆς Εὐβοίας ἐξέλασιν τοῦ Φιλίππου παραστήσῃ τοῖς ἀκροαταῖς ὡς ἰδίαν ἑαυτῶν πρᾶξιν ἀπολύτως καὶ ἀπεριορίστως ἐκ πρώτης ἀκοῆς, ἐνῷ βεβαίως στενότερον ἤθελον συνδέεσθαι τὰ δύο ἀντιθετικὰ κῶλα προηγουμένου αὐτοῦ πρὸ τοῦ ὑφ' ὑμῶν (ὅπως ἔχουσιν αἱ κοιναὶ ἐκδόσεις)· καὶ ἂς μὴ φανῇ τοῦτο μικρολογία τις περιττὴ καὶ ἀνοίκειος τῷ Δημοσθένους χαρακτῆρι· ὅταν ὅλου τούτου τοῦ λόγου τὸ ὕφος παραβάλωμεν τῷ τῶν ἄλλων πολιτικῶν λόγων αὐτοῦ ἀρκούντως, νομίζω, βεβαιούμεθα περὶ τῆς πολλῆς περινοίας, μεθ' ἧς ὁμιλεῖ ὁ ῥήτωρ περὶ ἑαυτοῦ, ὁσάκις μάλιστα πρόκειται περὶ φιλοτιμίας τοῦ δήμου, χωρὶς ὅμως νὰ παραλείψῃ δι' αὐτὴν οὐδὲ τὰς ἐλαχίστας αὐτοῦ πολιτικὰς πράξεις, ὅσας θεωρεῖ συντελούσας πρὸς αἴνωσιν αὐτοῦ. πρβλ. τὰ ἐν §§. 69. 88. 206. 219. – 221. 305. κ. ἀ. ἀλλὰ καὶ τὸ ἀμέσως ἑπόμενον κἂν διαρραγῶσί τινες τούτων παρεντεθὲν πρὸ τοῦ τὸν φθόνον κινοῦντος ὑπ' ἐμοῦ ἀποδεικνύει πόσῳ ἔμελε τῷ ῥήτορι τῆς τῶν ἀκροωμένων εὐνοίας. — τούτων] τῶν περὶ τὸν Αἰσχίνην.— ἕτερον] ἄλλου εἴδους. CH. — ἐπιτειχισμὸν] « ἐπιτείχισμα τὸ τειχιζόμενον κατά τινων χωρίον, ὅθεν ὁρμώμενοι οἱ τειχίσαντες δυνήσονται κακῶς ποιεῖν τοὺς ἐπιτειχισθέντας, ἐπιτειχισμὸν δὲ ὀνομάζουσι τὸ πρᾶγμα [τὴν πρᾶξιν τοῦ ἐπιτειχίζειν].» Λ ρ ποκρ. — ὁρῶν — βουλόμενος — παρελθών] ἀλλεπάλληλοι μετοχαὶ δικαιοῦσαι τοὺς φιλομετόχους καλοῦντας τοὺς Ἕλληνας, ἀσύνδετοι δὲ καθὸ διαφόρου φύσεως, ὡς δῆλον ἐκ τῆς ἀναλύσεως αὐτῶν (= ἐπεὶ δ' ἑώρα ὅτι — ἐπὶ τῷ γενέσθαι (= ἵνα γένηται) κύριος — ἀφοῦ παρῆλθεν ἐπὶ Θράκης). πρβλ. καὶ §. 22. κ. ἀ. — σίτῳ — χρώμεθ' ἐπεισάκτῳ] ταὐτὰ λέγει ὁ ῥήτωρ καὶ ἐν τῷ πρ. Λεπτ. §. 31. ἡ Ἀττικὴ « διὰ τὸ λεπτόγεων » αὐτῆς [Θουκ. Α', 2.] δὲν ἠδύνατο νὰ παράγῃ τὸν ἐτησίως πρὸς τροφὴν τῶν πολυαριθμων κατοίκων αὐτῆς ἀναγκαιοῦντα σῖτον, ἀλλὰ τὸ τρίτον τοὐλάχιστον αὐτοῦ μετεκομίζετο ἐξ Εὐβοίας, Θράκης, Πόντου, Κύπρου, Αἰγύπτου κλ, ὅθεν ὑπῆρχε μεγάλη ἐπιτήρησις ἐπὶ τῶν σιτηρῶν, καὶ νόμοι αὐστηροὶ κατὰ τῶν σιτοκαπήλων· ἐν σιτοδείᾳ δὲ ἡ ἐν πολέμῳ ἰδιαιτέραν πρόνοιαν ἐλάμβανεν ἡ πολιτεία πρὸς ἐπισιτισμὸν τῆς χώρας (πρβλ. §. 248. μετὰ τῆς αὐτ. σημ. — πρ. Πολυκλ. §. 17.) καὶ ἀσφαλῆ σιτοπομπίαν (ἴδ. §. 241. 301.). W.— πάντων — πλεί-

σθαι, παρελθὼν ἐπὶ Θράκης Βυζαντίους, συμμάχους ὄντας αὐτῷ, τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς πόλεμον, ὡς δ' οὐκ ἤθελον οὐδ' ἐπὶ τούτοις ἔφασαν τὴν συμμαχίαν πεποιῆσθαι, λέγοντες ἀληθῆ χάρακα βαλόμενος πρὸς τῇ πόλει
88 καὶ μηχανήματ' ἐπιστήσας ἐπολιόρκει. τούτων δὲ γιγνομένων ὅ τι μὲν προσῆκε ποιεῖν ὑμᾶς, οὐκ ἐπερωτήσω. δῆλον γάρ ἐστιν* ἅπασιν. ἀλλὰ τίς ἦν ὁ βοηθήσας τοῖς Βυζαντίοις, καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους; ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι. τὸ δ' ὑμεῖς

στῳ] κατὰ σύμπτυξιν ἰδεῶν = πλείστῳ ἢ ὅσῳ χρῶνται πάντες ἄνθρωποι. οὕτω καί κατωτ. §. 89. «εὐωνοτέροις, τῆς νῦν εἰρήνης, » ἀντὶ « εὐωνοτέροις ἢ ἐν οἷς ἡ νῦν εἰρήνη. » πρβλ. π. τ. ἐ. Χερρον. §. 60.— Βυζαντίους — ἐπολιόρκει] Ολ. ρθ', δ'. 341. ἀπὸ τῆς Θρᾳκικῆς Χερσονήσου (ἴδ. §. 80. σημ.) ἐγράφη ὁ Φίλ. πρὸς τὴν Προποντίδα, καὶ μετὰ τοὺς Σηλυμβριανοὺς (κατὰ τὰ ἐν §. 77.) προσέβαλε Περίνθῳ (τῇ μετέπειτα Ἡρακλείᾳ, τανῦν Ἐσκὶ Ἐρέκλι), ἀλλ' οὐδὲν κατορθώσας διά τε τὴν ὀχυρὰν θέσιν τῆς πόλεως καὶ τὴν γενναίαν ἐπικουρίαν τῶν Βυζαντίων, καὶ αὐτῶν ἔτι τῶν Περσῶν «ὑφορωμένων τὴν τοῦ Φιλίππου δύναμιν, τοὺς μὲν ἡμίσεις τῶν στρατιωτῶν ἀπέλιπεν ἐπὶ τῆς πολιορκίας,—τοὺς δὲ ἄλλους παραλαβὼν αὐτὸς προσέπεσεν ἄφνω τῷ Βυζαντίῳ καὶ πολιορκίαν ἰσχυρὰν συνεστήσατο. οἱ δὲ Βυζάντιοι τῶν στρατιωτῶν καὶ τῶν βελῶν καὶ τῶν ἄλλων τῶν χρησίμων παρὰ τοῖς Περινθίοις ὄντων » κακῶς ἂν εἶχον, εἰμὴ Ἀθηναῖοι πεισθέντες Δημοσθένει ἀμυνημονῆσαι « τῶν περὶ τὸν συμμαχικὸν πόλεμον ἑκατέροις ἡμαρτημένων, δύναμιν ναυτικὴν ἀξιόλογον ἐξέπεμψαν βοηθήσουσαν τοῖς Βυζαντίοις, » ὑπὸ στρατηγὸν Χάρητα, καὶ τούτου « ἀπιστουμένου ὑπὸ τῶν συμμάχων » ὑπὸ τὸν Φωκίωνα. « ὁμοίως δὲ τούτοις Χῖοι καὶ Κῷοι καὶ Ῥόδιοι καί τινες ἕτεροι τῶν Ἑλλήνων συμμαχίαν ἐξέπεμψαν τοῖς Βυζαντίοις. διόπερ Φίλιππος καταπλαγεὶς τῇ συνδρομῇ τῶν Ἑλλήνων τὴν πολιορκίαν τῶν πόλεων ἔλυσε, καὶ πρὸς Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας τοὺς ἐναντιουμένους συνέθετο τὴν εἰρήνην.» περὶ τῆς εἰρήνης ὅμως ταύτης ἴδ. §. 145. σημ. (Διόδ. ΙΣΤ', 74—77.—Πλουτ. Δημ. 17. Φωκ. 14.). — ἐπὶ τούτοις] τοῖς ὅροις, τῷ συμπολεμεῖν δηλ. πρὸς ὑμᾶς. — χάρακα—μηχανήματα] τούτων μνείαν ποιεῖται καὶ Στέφανος ὁ Βυζάντιος (ἐν λ. Βόσπορος). ἡ πολιορκία τοῦ Βυζαντίου εἶναι ὀνομαστὴ παρὰ τοῖς ἀρχαίοις, καὶ σχηματίζει ἐποχὴν ἐν τῇ ἱστορίᾳ τῆς μηχανοποιητικῆς. μηχανοποιὸς δὲ Φιλίππου ἀναφέρεται ὁ Θεσσαλὸς Πολύειδος. W.

88. ἀλλοτριωθῆναι] ἐννοεῖται ἡ γεν. ὑμῶν. — ὑμεῖς] ἀπροσδόκητος ἀπάντησις· φυσικωτέρα ἦν ἡ ἐγώ· ἀλλὰ μακρὰν τοῦ ῥήτορος πᾶσα φράσις προσβάλλουσα τοὺς φιλοτίμους Ἀθηναίους· ὅθεν οὐδὲ λέγει «τίς δ' ὁ συμβουλεύων ὑμῖν, » ἀλλὰ μεταφέρει τὸν λόγον κλιμακωτῶς εἰς τὴν πόλιν, καὶ εὐρύνας αὐτὸν διὰ τοῦ «καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματα ἀφειδῶς διδούς,» οὕτω μόλις ἐπιφέρει πάντῃ ἀνεπιφθόνως τὸ ὀχληρὸν τοῦτο ἐγώ· ὅτι δὲ ἀληθῶς εἶχε παραδώσει ἑαυτὸν ἀφειδῶς εἰς τὰ τῆς πόλεως, καὶ ἠδύνατο τοῦτο ἀνεπιφθόνως εἰπεῖν βλέπομεν ἔν τε §. 179. 219—221. καὶ παρὰ Παυσανίᾳ (Ἀττικ. 8, 3.), «εὖ δέ μοι λελέχθαι δοκεῖ ἄνδρα ἀφειδῶς ἐκπεσόντα εἰς πολιτείαν, καὶ πιστὰ ἡγησάμενον τὰ τοῦ δήμου μήποτε καλῶς τελευτῆσαι.» — τὸ δ' ὑμεῖς] «διόρθωσις· ὅταν τῷ ῥηθέντι δυσαρεστήσαντες ὡς οὐχ ἱκανῶς εἰρημένῳ — ἐπιδιασαφήσωμεν αὐτὸ μᾶλλον. » Ἡρωδιανός

ὅταν λέγω, τὴν πόλιν λέγω. τίς δ' ὁ τῇ πόλει λέγων καὶ γράφων καὶπράττων καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματα ἀρειδῶς διδούς; ἐγώ. ἀλλὰ μὴν ἡλίκα ταῦτα ὠφέλησεν ἅπαντας, οὐκέτ' ἐκ τοῦ 89
λόγου δεῖ μαθεῖν, ἀλλ' ἔργῳ πεπείρασθε· ὁ γὰρ τότε ἐνστὰς πόλεμος ἄνευ τοῦ καλὴν δόξαν ἐνεγκεῖν ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀρθονωτέροις καὶ εὐωνοτέροις διῆγεν ὑμᾶς τῆς νῦν εἰρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοὶ ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν, ὧν διαμάρτοιεν, καὶ μετάσχοιεν ὧν ὑμεῖς οἱ τὰ βέλτιστα βουλόμενοι τοὺς θεοὺς αἰτεῖτε, μὴ μεταδοῖεν ὑμῖν, ὧν αὐτοὶ προήρηνται. λέγε δ' αὐτοῖς καὶ τοὺς τῶν

π. σχημ. σ. 596. — ὅ τ α ν λ έ γ ω, — λ έ γ ω] ἡμεῖς συνήθως μεταβάλλομεν τὸ ῥῆμα (ὅταν λέγω — ἐννοῶ), οἱ ἀρχαῖοι ὅμως ἐφύλαττον ἐν τούτοις τὸ ῥῆμα. — τ ὴ ν π ό λ ι ν λ έ γ ω] « ἀξιοπίστως ἅμα καὶ συνετῶς ἐν αὐτοῖς εἶναι τὴν ὅλην πόλιν διισχυρίζεται. » Οὐλπ.

89. ἡ λ ί κ α] προσδιορισμὸς τοῦ ὠ φ έ λ η σ ε ν, κεῖται δὲ πληθυντικῶς δι' ἔμφασιν. — τ α ῦ τ α] τὰ ἐμὰ ψηφίσματα καὶ πολιτεύματα.—ἐ ν ε γ κ ὰ ς] ὅπερ ἐν §. 18. ἐξέφρασε διὰ τοῦ σ υ σ τ ά ν τ ο ς.—ἄ ν ε υ τ ο ῦ — ἐ ν ε γ κ ε ῖ ν] τὸ ἄνευ ἔχει ἐνταῦθα ἐξαιρετικὴν μᾶλλον ἔννοιαν καὶ οὐχὶ ἀποκλειστικήν ὡς ἐν §. 78. ἃς ἀφήσωμεν, λέγει, ὅτι ἤνεγκεν ὑμῖν φήμην ἀγαθήν, ἀλλὰ καὶ κτλ. οὕτω καὶ τὸ ἐν §. 24. « χωρὶς τούτων. » — δ ι ῆ γ ε ν ὑ μ ᾶ ς] ὅρα τὸ δ ι ά γ ω μεταβατικῶς = σᾶς ἔκαμνε νὰ ζῆτε· οὕτω καὶ ἐν 53. τῶν Δημοσθένους ἐπιγραφομένων προοιμίων· « νῦν δὲ δραχμῆ καὶ χοῒ καὶ τέτταρσιν ὀβολοῖς ὥσπερ ἀσθενοῦντα τὸν δῆμον διάγουσιν. » W.— τ ῆ ς ν ῦ ν ε ἰ ρ ή ν η ς] ἴδ. §. 87. σημ.. — ο ὗ τ ο ι — ο ἱ χ ρ η σ τ ο ἱ] εἰρωνικῶς· ἐννοεῖ δὲ τοὺς μακεδονίζοντας, εἰς ὧν τὴν μεγάλην πολιτικὴν ὑπεροχὴν (μάλιστα μετὰ τὴν εἰς θρόνον ἀνάβασιν τοῦ Ἀλεξάνδρου) ἀποδοτέον τὸ τῶν Ἀθηναίων ἀμέτοχον τῶν ὑπὲρ ἀνακτήσεως τῆς ἐλευθερίας ἀγώνων Θηβαίων τε (Ολ. ριά, β', 335.) καὶ Πελοποννησίων (Ολ. ριε'. β' — γ'. 330.). πρβλ. καὶ τὰ ἐν §. 323. « ἔξω δὲ βλέπουσι, καὶ ἐν οἷς ἀτυχησάντων τῶν Ἑλλήνων, κτλ. » W.— ἐ π ὶ τ α ῖ ς — ἐ λ π ί σ ι] « ἐλπίζουσι γὰρ ἐπανελθόντα τὸν Ἀλέξανδρον ἀπὸ τῶν Περσῶν μεγάλα αὐτοῖς χαρίζεσθαι ὡς προδόταις. » Οὐλπ. — μ ε λ λ ο ύ σ α ι ς ἐ λ π ί σ ι] = ταῖς ἐλπίσι τῶν μελλόντων. ἡ αὐτὴ σύνταξις καὶ ἐν τῷ κ. Κτησ. §. 100. « ἐλπίδων οὐκ ἐσομένων. » — α ἰ τ ε ῖ τ ε] κατὰ τῶν τοιούτων. — κ α ὶ μ ε τ ά σ χ ο ι ε ν — μ ὴ μ ε τ α δ ο ῖ ε ν] κατ' ἄλλην δὲ γραφὴν « καὶ μὴ μετάσχοιεν— μηδὲ μεταδοῖεν. » αὕτη εὐληπτοτέρα βεβαίως τῆς ἀνωτέρω, πλὴν αὐτὸ τοῦτο τὸ δυσεξήγητον τῆς ἀ. πιθανολογεῖ τὸ ὀρθὸν αὐτῆς· τὸ δὲ σκοτεινὸν ὁπωσοῦν τοῦ λόγου προέρχεται ἐκ τῆς διφορουμένης ἐννοίας τοῦ ὧν α ἰ τ ε ῖ τ ε, καὶ τῆς χρήσεως τοῦ μ ὴ ἀντὶ τοῦ ἵ ν α μ ὴ ἄ ν μετ' εὐκτικῆς (ἴδ. H. Hoogeveen doctr. partic. I. gr. Τόμ. Α'. σ. 721. XIV.). οἱ Ἀθηναῖοι οἱ τὰ βέλτιστα τῇ πατρίδι βουλόμενοι ἦ τ ο ῦ ν τ ο μὲν (ἑαυτοῖς καὶ πάσῃ τῇ πόλει) τοὺς θεοὺς ἀγαθά, ἦ τ ο υ ν δὲ ἐξώλειαν τοῖς προδόταις καὶ τῆς πόλεως ἐχθροῖς. ἐκ τῶν ἀντιθέτων δὲ τούτων αἰτημάτων ἐννοεῖ ἐνταῦθα ὁ ῥήτωρ οὐχὶ τὰ ἀγαθά, ἀλλ' ὅσα οὗτοι ἦ τ ο υ ν τοὺς θεοὺς κατὰ τῶν ἐχθρῶν τῆς πατρίδος· καὶ τοιοῦτοι ἦσαν βεβαίως οἱ ἐπὶ ταῖς μελλούσαις ἐλπίσι κατὰ τῆς πατρίδος τηροῦντες τὴν εἰρήνην· ἑπομένως εἶθε, λέγει, ν' ἀποτύχωσι τῶν ἐλπίδων αὐτῶν, καὶ μεταάσχωσι τῶν ἃ τοῖς τοιούτοις καταράσθε (ἴδ. §. 130. σημ.) κακῶν, ἵ ν α μ ὴ μ ε τ α δ ο ῖ ε ν ἂ ν ὑ μ ῖ ν τῶν

Βυζαντίων στεφάνους καὶ τοὺς τῶν Περινθίων, οἷς ἐστεφάνουν ἐκ τούτων τὴν πόλιν.

90 ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ. [Ἐπὶ ἱερομνάμονος Βοσπορίχω Δαμάγητος ἐν τᾷ ἀλίᾳ ἔλεξεν, ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν, ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθηναίων ἔν τε τοῖς προγεγενημένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις καὶ τοῖς συμμάχοις καὶ συγγενέσι Περινθίοις καὶ πολλὰς καὶ μεγάλας χρείας παρέσχηται, ἔν τε τῷ παρεστακότι καιρῷ Φιλίππω τῷ Μακεδόνος ἐπιστρατεύσαντος ἐπὶ τὰν χώραν καὶ τὰν πόλιν ἐπ᾽ ἀναστάσει Βυζαντίων καὶ Περινθίων καὶ τὰν χώραν δαίοντος* καὶ δενδροκοπέοντος, βοηθήσας πλοίοις ἑκατὸν καὶ εἴκοσι καὶ σίτῳ καὶ βέλεσι καὶ ὁπλίταις ἐξείλετο ἀμὲ ἐκ τῶν μεγάλων

κακῶν, ἃ ἐκ προαιρέσεως ζητοῦσι νὰ ἐπιφέρωσι (τῆς δουλείας δηλ.). ἐν τούτοις δύο τῶν ἡμετέρων λογίων, ὧν σέβομαι τὴν κρίσιν, προτιμῶσι μετὰ τοῦ D. τὴν εὐκολωτέραν γραφήν διά τε τὸ ἀσφαλὲς καὶ διότι κρίνουσιν αὐτὴν παρεκτικὴν ἁπλῆς καὶ μεγαλοσχήμου ἐννοίας. ταὐτὰ τούτοις ἠθέλαμεν φρονήσει, ἐὰν ἡ πλειονοψηφία τῶν ἐκδοτῶν, καίτοι οὐδὲν σημειούντων, δὲν ἦτο περὶ τῆς ἣν παρεδέχθημεν γραφῆς. — τοὺς τῶν Βυζαντίων] = τοὺς παρὰ τῶν Βυζ. ὡς ἐν §. 92. «τοὺς παρὰ τῶν ἐν Χερρονήσῳ.» — στεφάνους] στεφάνους χρυσοῦς ἀπένεμον αἱ Ἕλλην. πολιτεῖαι εἰς ἔνδειξιν εὐχαριστίας οὐ μόνον ἁπλοῖς πολίταις ἕνεκα ἐπισήμων ἐκδουλεύσεων, ἀλλὰ καὶ πόλεσιν ὅλαις ἀντὶ μεγάλης εὐεργεσίας, ἧς ἀπήλαυσαν παρ᾽ αὐτῆς. W.— ἐκ τούτων] ἕνεκα τούτων τῶν πολιτευμάτων μου.

90. Ψήφισμα] τὸ ψήφισμα τῶν Βυζαντίων καθὸ ἀποίκων τῶν Μεγαρέων εἶναι εἰς δωρικὴν διάλεκτον, ἧς ἡ ἐνταῦθα κυρίως ἀξιοσημείωτος ἰδιότης εἶναι ἡ τοῦ Η εἰς Α καὶ τῆς ΟΥ εἰς Ω τροπή, ἔντισι δὲ λέξεσι καὶ ἡ τοῦ Ω εἰς Λ. — ἱερομνάμονος] ἱερομνήμων ἐλέγετο παρὰ τοῖς Βυζαντίοις, ὡς καὶ παρὰ τοῖς Μεγαρεῦσιν (Πλουτ. Συμπ. Η΄, 8.§. 4.) ὁ ἱερεὺς τοῦ Ποσειδῶνος τιμωμένου παρ᾽ αὐτοῖς ὑπὲρ τοὺς ἄλλους θεούς· σύνηθες δ᾽ ἦν αὐτοῖς ὁρίζειν τὸ ἔτος ἀπὸ τοῦ ἱερέως τούτου (ὡς ἐν Ἀθήναις ἀπὸ τοῦ ἐπωνύμου ἄρχοντος), ὡς ἀποδείκνυται ἐκ τῶν παρὰ Πολυβίῳ Δ΄, 52, 4. καὶ ἐκ νομισμάτων κλπ. —ἁλίᾳ] τῇ ἐκκλησίᾳ. — ἔλεξεν] καὶ τοῦτο ἴδιον τῶν Δωριέων· διότι ἐν τοῖς ἀττικοῖς κεῖται πάντοτε τὸ εἶπεν· ἐν τούτοις οἱ Δωριεῖς καίτοι συνήθως μεταχειριζόμενοι τὸ ἔλεξε λέγουσιν ἐνίοτε καὶ εἶπεν. B. κ. P. — ἐκ τᾶς βωλᾶς] βωλὰ δωρικῶς ἡ βουλή.—ῥήτραν] «γνώμην.» Σχολ.—«ῥήτρα δ᾽ ἐκ τῆς βουλῆς» = τῷ παρ᾽ Ἀθηναίοις προβουλεύματι. οἱ τύποι οὗτοι εἰσήχθησαν εἰς τὴν Βυζαντίων πολιτείαν πιθανῶς ἀπ᾽ Ἀθηνῶν, ὧν οἱ νόμοι ἐτιμῶντο πολὺ παρὰ τοῖς ἄλλοις Ἕλλησι, καὶ μάλιστα παρὰ Βυζαντίοις τοῖς ποτὲ συμμάχοις αὐτῶν. CH. — Ἀθηναίων] ἄνευ τροπῆς τοῦ η. καὶ ὅμως παρ᾽ Ἀριστοφάνει (Λυσιστρ. 980.) λέγει ὁ Λακεδαιμονίων κήρυξ «πᾶ τᾶν Ἀσανᾶν ἐστιν ἁ γερωχία (= ποῦ τῶν Ἀθηνῶν ἐστιν ἡ γερουσία);» — συγγενέσι Περινθίοις] οἱ Περίνθιοι ἦσαν συγγενεῖς τῶν Βυζαντίων καθὸ ἐπίσης ἄποικοι τῶν Μεγαρέων. πρβλ. Πλουτ. Ἑλλην. Ζητ. κ. 57. — ἀναστάσει] = ἀνδραποδισμῷ. — βέλεσι] βέλη διὰ τὰς τότε ἐν χρήσει μηχανάς, ἐννοοῦνται δὲ καὶ αὐταὶ αἱ μηχαναί. B. κ. P. — ἁμὲ] = ἡμᾶς, δωρικῶς.

κινδύνων καὶ ἀποκατέστασε τὰν πάτριον πολιτείαν καὶ τὼς νόμως καὶ τὼς τάφως, δεδόχθω τῷ δάμῳ τῷ Βυζαντίων 91
καὶ Περινθίων, Ἀθηναίοις δόμεν ἐπιγαμίαν, πολιτείαν, ἔγκτασιν γᾶς καὶ οἰκιᾶν, προεδρίαν ἐν τοῖς ἀγῶσι, πόθοδον ποτὶ τὰν βωλὰν καὶ τὸν δᾶμον πράτοις μετὰ τὰ ἱερά, καὶ τοῖς κατοικεῖν ἐθέλουσι τὰν πόλιν ἀλειτουργήτοις ἦμεν πασᾶν τᾶν λειτουργιᾶν· στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἐκκαιδεκαπήχεις ἐν τῷ Βοσπορείῳ, στεφανούμενον τὸν δᾶμον τὸν Ἀθηναίων ὑπὸ τῶ δάμω τῶ Βυζαντίων καὶ Περινθίων· ἀποστεῖλαι δὲ καὶ θεωρίας ἐς τὰς ἐν τᾷ Ἑλλάδι πανηγύριας, Ἴσθμια καὶ Νέμεα καὶ Ὀλύμπια καὶ Πύθια, καὶ ἀνακαρῦξαι τὼς στεφάνως, ὡς ἐστεφάνωται ὁ δᾶμος ὁ Ἀθηναίων ὑφ' ἡμῶν, ὅπως ἐπιςέωνται οἱ Ἕλλανες τάν τε Ἀθηναίων ἀρετὰν καὶ τὰν Βυζαντίων καὶ Περινθίων εὐχαριστίαν.]

Λέγε καὶ τοὺς παρὰ τῶν ἐν Χερρονήσῳ στεφάνους. 92

ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ. [Χερρονησιτῶν οἱ κατοικοῦντες Σηστόν, Ἐλεοῦντα, Μάδυτον, Ἀλωπεκόννησον, στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον χρυσῷ στεφάνῳ ἀπὸ

91. δόμεν] = δοῦναι. — ἐπιγαμίαν] διὰ τοῦ δικαιώματος τούτου οὐ μόνον τοῖς πολίταις ἐπετρέπετο νὰ νυμφευθῶσιν ἐκ τῆς πόλεως, ἡ παρεχωρεῖτο ἡ ἐπιγαμία, ἀλλὰ καὶ αἱ πολῖτιδες ἠδύναντο νὰ ἐκδίδωνται εἰς ἄνδρας τῆς πόλεως ἐκείνης· ὅπερ ἐθεωρεῖτο μεγάλη τιμή, καθόσον οἱ ἀρχαῖοι ὁρίζωμεν ἔχοντες ἐν ἑαυτοῖς τὴν ἰδέαν, ὅτι ἡ δύναμις τῆς αὐτοχθονίας ὤφειλε νὰ διατηρῆται ἀποκλειστικῶς τοῖς φύσει τοιούτοις καὶ τοῦ αἵματος ἡ εὐγένεια νὰ μὴ διαδίδηται ἐκτὸς τῆς πόλεως, οὐδαμῶς ἐπέτρεπον ταῖς πολίτισιν ἐκδίδεσθαι εἰς πόλεις, μεθ' ὧν δὲν ὑπῆρχε τοιαύτη τις στενοτέρα οἰκειότης κατὰ συνέπειαν μεγάλων εὐεργεσιῶν. Wachsmuth. — πολιτείαν] ἰσοπολιτείαν. — ἔγκτησιν] κτῆσις μὲν ἐπὶ ἐντοπίων, ἔγκτησις δὲ ἐπὶ ξένων. B. κ. P. — προεδρίαν] ἐκληπτέον ὀρθότερον ὡς ἔδραν τιμῆς. ΓΜ. — πόθοδον — τὰ ἱερά] πρόσοδον πρὸς τὴν βουλήν, καὶ εἶναι πρώτους μετὰ τοὺς ἱερεῖς. ὁ ξένος ἠδύνατο νὰ λαλήσῃ πρὸς τὴν βουλὴν ἢ τὸν δῆμον διὰ τοῦ ἰδίου αὐτοῦ προστάτου μόνον. B. κ. P. — ἀλειτουργήτοις ἦμεν] εἶναι ἀτελεῖς. — Βοσπορείῳ] Βοσπόρειον λιμήν τις τοῦ Βυζαντίου. B. κ. P. — στεφανούμενον — Περινθίων] εἰκόνες παριςῶσαι τόπους καὶ δήμους προσωποποιημένους μνημονεύονται συνεχῶς, οἷον παρὰ Παυσανίᾳ (Ἀττικ. 1, 3. 8.) καὶ Πολυβίῳ (Ε', 88.). ἐνταῦθα πρέπει νὰ ἐννοήσωμεν σύμπλεγμά τι τριῶν ἀγαλμάτων, ὧν δύο παριστῶντα τὸν Βυζαντίων καὶ Περινθίων δῆμον ἔθετον ἐπὶ κεφαλῆς τοῦ γ'. παριστῶντος τὸν Ἀθηναίων δῆμον στέφανον χρυσοῦν. ΓΜ. — θεωρίας] συνεκδοχικῶς ἀντὶ θεωρούς. — Ἴσθμια — Πύθια] ἴδ. Ἑλλ. Ἀρχαιολ. Ἐγχειρίδ. Ρουσοπ. σ. 269—274. — καὶ ἀνακαρῦξαι] ὑπεκείμ. « τὸν κήρυκα. »

ταλάντων ἑξήκοντα, καὶ Χάριτος βωμὸν ἱδρύονται καὶ δήμου Ἀθηναίων, ὅτι πάντων μεγίστου ἀγαθῶν παραίτιος γέγονε Χερρονησίταις, ἐξελόμενος ἐκ τῆς Φιλίππου καὶ ἀποδοὺς τὰς πατρίδας, τοὺς νόμους,* τὴν ἐλευθερίαν, τὰ ἱερά. καὶ ἐν τῷ μετὰ ταῦτα αἰῶνι παντὶ οὐκ ἐλλείψει εὐχαριστῶν καὶ ποιῶν ὅ τι ἂν δύνηται ἀγαθόν. ταῦτα ἐψηφίσαντο ἐν τῷ κοινῷ βουλευτηρίῳ.]

93 Οὐκοῦν οὐ μόνον τὸ Χερρόνησον καὶ Βυζάντιον σῶσαι, οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίππῳ γενέσθαι τότε, οὐδὲ τὸ τιμᾶσθαι τὴν πόλιν ἐκ τούτων ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία διεπράξατο, ἀλλὰ καὶ πᾶσιν ἔδειξεν ἀνθρώποις τήν τε τῆς πόλεως καλοκαγαθίαν καὶ τὴν Φιλίππου κακίαν. ὁ μὲν γὰρ σύμμαχος ὢν τοῖς Βυζαντίοις πολιορκῶν αὐτοὺς ἐωρᾶτο

92. ἀπὸ—ἑξήκοντα] τοιούτῳ τινὶ ζεφάνῳ ἀπὸ 100 ταλάντων ἐστεφάνωσαν οἱ Καρχηδόνιοι (Διόδ. ΙΑ΄, 26.) Δαμαρέτην τὴν Γέλωνος γυναῖκα.—ταλάντων] τάλαντον λέγεται παρὰ τοῖς ἀρχαίοις α΄. τὸ ἔχον βάρος τάλαντου, ἢ ἀξίαν ταλάντου, β΄. τὸ ἀργυροῦν τάλαντον ἐκτιμώμενον 6000 δραχμάς, καὶ γ΄. ἕξη δραχμῶν βάρος χρυσοῦ, προελθὸν ὡς ἐκ βάσεως τάλαντου χαλκοῦ ἐκτιμωμένου εἰς χρυσόν· τὸ τελευταῖον τοῦτο ἐννοητέον ἐνταῦθα, ἑπομένως ὁ ἀπὸ ταλάντων ἑξήκοντα στέφανος οὗτος ἦν ἂν βάρους 360 δραχμῶν χρυσοῦ, καὶ ἀξίας 3600 δραχμῶν ἀργύρου, ὑπολογιζομένης τῆς ἀξίας τοῦ χρυσοῦ δεκαπλασίας τῆς τοῦ ἀργύρου. ἀλλ' ἦν ὁ χρυσὸς τιμιώτερος τοῦ δεκαπλασίου τοῦ ἀργύρου, ὥστε πρέπει νὰ λογισθῇ ὁ στέφανος οὗτος ὡς 4000 — 4500 δραχμῶν ἀργύρου. ἄλλως δὲ οἱ χρυσοῖ στέφανοι ἦσαν ὀλίγῳ ἐλαφρότεροι τῶν 360 δραχμῶν χρυσοῦ. Β. κ. Ρ. — χάριτος — καὶ δήμου Ἀθηναίων] παρομοίας συναρμογὰς ἀφῃρημένων καὶ συγκεκριμένων ὄντων βλέπομεν παρὰ Μυλλέρῳ ἐν τῇ Ἀρχαιολογίᾳ αὐτοῦ. — ἐκ τῆς Φιλίππου] ἐννοεῖται χειρός, ὅπως κεῖται παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 236.) «ἐκ τῶν χειρῶν τοῦ Φιλίππου.» — εὐχαριστῶν καὶ ποιῶν] τοῦτο παράξενον πολύ, πῶς κεῖται καθ' ἑνικὸν ἀριθμόν, ἐν ᾧ τὸ ὑποκείμ. εἶναι «Χερρον. οἱ κατοικοῦντες.» ἴσως ἐννοεῖται «ὁ δῆμος» ἢ «τὸ κοινὸν τῶν Χερρονησιτῶν.» Β. κ. Ρ.— κοινῷ βουλευτηρίῳ] τὸ κοινὸν ᾧ ἀναφέρεται μόνον εἰς τὰς ἀνωτέρω μνημονευομένας, οὐχὶ δὲ εἰς ἁπάσας τὰς ἐν Χερρονήσῳ πόλεις, διότι ὑπῆρχον καὶ ἄλλαι πλείονες (ἴδ. Σκύλακ. Περίπλ. 28.) μὴ κοινωνήσασαι τοῦ ψηφίσματος τούτου. ΓΜ.

93. οὐ μόνον — οὐδὲ] τὸ οὐ ἀποδοτέον τῷ διεπράξατο ἐννοουμένου τοῦ μόνον καὶ ἐν τοῖς ἑπομένοις οὐδέ. πρβλ. §. 2. σημ. — ἐκ τούτων] ἕνεκα τούτων. — ἡ προαίρεσις — καὶ ἡ πολιτεία] ὡς καὶ ἐν §. 317. «ἡ ἐμὴ πολιτεία καὶ προαίρεσις.» εἶναι δὲ «ἓν διὰ δυοῖν.» (ἴδ. §. 59. σημ.) = «ἡ προαίρεσίς μου τῆς πολιτείας» (ὡς ἐν §. 192.), ἡ πολιτική μου κατὰ τὴν γλῶσσαν τῶν νεωτέρων. — καλοκαγαθίαν — κακίαν] κατὰ τὴν παρ' ἡμῖν ἠθικωτέραν ἔννοιαν, καὶ οὐχὶ τὴν τοῖς ἀρχαίοις συνήθη. ἴδ. §. 68. σημ. — καλοκάγαθος ἦν παρὰ τοῖς Ἕλλησιν ὁ κατὰ πάντα τέλειος ἀνήρ. ἑπομένως καλοκαγαθία = τιμιότης, εὐγένεια κλπ. CH. — ὢν] ἐναντιωματικὴ μετοχή.

ὑπὸ πάντων, οὗ τί γένοιτ' ἂν αἴσχιον ἢ μιαρώτερον; ὑμεῖς δ' 94
οἱ καὶ μεμψάμενοι πολλὰ καὶ δίκαια ἂν ἐκείνοις εἰκότως περὶ
ὧν ἠγνωμονήκεσαν εἰς ὑμᾶς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ μόνον
οὐ μνησικακοῦντες οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους, ἀλλὰ
καὶ σώζοντες ἐραίνεσθε, ἐξ ὧν δόξαν καὶ εὔνοιαν παρὰ πάντων
ἐκτᾶσθε. καὶ μὴν ὅτι μὲν πολλοὺς ἐστεφανώκατ' ἤδη τῶν πο-
λιτευομένων, ἅπαντες ἴσασι· δι' ὅντινα δ' ἄλλον ἡ πόλις ἐστε-
φάνωται, σύμβουλον λέγω καὶ ῥήτορα, πλὴν δι' ἐμέ, οὐδ' ἂν
εἷς εἰπεῖν ἔχοι.

Ἵνα τοίνυν καὶ τὰς βλασφημίας, ἃς κατὰ τῶν Εὐβοέων καὶ 95
τῶν Βυζαντίων ἐποιήσατο, εἴ τι δυσχερὲς αὐτοῖς ἐπέπρακτο πρὸς
ὑμᾶς ὑπομιμνήσκων, συκοφαντίας οὔσας ἐπιδείξω μὴ μόνον τῷ
ψευδεῖς εἶναι (τοῦτο μὲν γὰρ ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι),
ἀλλὰ καὶ τῷ, εἰ τὰ μάλιστ' ἦσαν ἀληθεῖς, οὕτως ὡς ἐγὼ κέ-
χρημαι τοῖς πράγμασι συμφέρειν χρήσασθαι, ἢν ἡ δύο βούλο-

94. ἂν] ἀποδοτέος τῷ μεμψάμενοι = καίτοι δυνάμενοι μέμψασθαι· ἡ δὲ σύνταξις· « μέμφομαι τινί τι. » — καὶ δίκαια] = καὶ ταῦτα δίκαια. ἴδ. §. 283. σημ. περὶ τοῦ καί. σαφέστερον ἔλεγεν ἂν καὶ δικαίως, ἀλλὰ διὰ τὸ ἑπόμενον εἰκότως, φαίνεται, ἐξέφρασεν αὐτὸ ὁμοιοπτώτως τῷ πολλά. — ἐν τοῖς — χρόνοις] ἐν τῷ συμμαχικῷ πολέμῳ δηλ. (ἀπὸ Ολ. ρε, γ'. 358. — ρξ', ά. 356.), καθ' ὃν οἱ Βυζάντιοι μετὰ Χίων καὶ Ῥοδίων ἐπολέμουν Ἀθηναίοις. — τοὺς ἀδικουμένους] γενικώτερον ἐκληπτέον καὶ οὐχὶ κατ' ἀναφορὰν πρὸς Βυζαντίους. W. — πολλοὺς ἐστεφανώκατ'] παραδείγματα ἴδε κατωτ. ἐν §. 114. — σύμβουλον — ῥήτορα] «ἴσως ἡ διαστολὴ πρὸς τοὺς στρατηγούς.» Οὐλπ. — ἡ διαστολὴ αὕτη δίδει ὑπόνοιαν ὅτι καὶ δι' ἄλλους εἶχε στεφανωθῇ ὁ Ἀθηναίων δῆμος· καὶ τῳόντι ἐν τῷ κατὰ Ἀνδροτίωνος §. 72. ἀναφέρεται « Εὐβοεῖς ἐλευθερωθέντες ἐστεφάνωσαν τὸν δῆμον. » καί, « Κόνων ἀπὸ τῆς ναυμαχίας τῆς πρὸς Λακεδαιμονίους.» τὰ καθ' ἕκαστα ὅμως ἀγνοοῦμεν. ἴδ. καὶ Παυσανίαν (Ἀττικ. πολλαχοῦ).

95. ἃς κατὰ τῶν Εὐβοέων — ἐποιήσατο] ἐν τῷ κ. Κτησ. §. 85 — 102. κατὰ τῶν Βυζαντίων ὅμως οὐδὲν ἁπανταται παρ' αὐτῷ, ἐν ᾧ ὁ ῥήτωρ καὶ κατωτέρω (§. 238.) ἀναφέρει λόγους Αἰσχίνου περὶ τῶν πρὸς Βυζαντίους δικαίων. πιθανὸν λοιπὸν ὁ Αἰσχίνης διατρίβων ἐν Ῥόδῳ δὲν ἀνέγραψε τὰς ἃς κατὰ τῶν Βυζαντίων προφορικῶς ἐξέφρασε βλασφημίας, ἵνα μὴ ἀποκτήσῃ ἐχθρούς. — εἴ τι] κατὰ μετριωτέραν ἔκφρασιν ἀντὶ ὅτι· ἴδ. §. 28. σημ. — ὑπάρχειν — εἰδότας] ἐντονώτερον τοῦ ἁπλοῦ εἰδέναι· οὕτω καὶ ἐν §. 228. « ὑπάρχειν ἐγνωσμένους. » πρβλ. ὑπὲρ Ῥοδ. ἐλευθ. §. 1. « ὑπάρχειν ἐγνωκότες. » καὶ κ. Μειδ. §. 41. « ἐγνωσμένα ὑπάρχῃ. » — ἀλλὰ καὶ τῷ — χρήσασθαι] ἡ σύνταξις· ἀλλὰ καὶ τῷ συμφέρειν χρήσασθαι τοῖς πράγμασιν οὕτως, ὡς ἐγὼ κέχρημαι, εἰ καὶ ἦσαν [αἱ βλασφημίαι αὗται] τὰ μάλιστα ἀληθεῖς — ἢν ἡ δύο] φράσις συνήθης τῷ Δημ. οἷον ἐν τῷ π. παραπρ. §. 276. — πρ. Λεπτ. §. 58. — κ. Ἀριστοκρ. §. 65. 88. — κυρίως τρία τινὰ διηγεῖται ἐνταῦθα ὁ ῥήτωρ ά. ὅτι ἐξῆλθον εἰς Ἁλίαρτον καὶ Κόρινθον ὑπὲρ Θηβαίων καὶ Κο-

μαι τῶν καθ' ὑμᾶς πεπραγμένων καλῶν τῇ* πόλει διεξελθεῖν, καὶ ταῦτ' ἐν βραχέσι· καὶ γὰρ ἄνδρα ἰδίᾳ καὶ πόλιν κοινῇ πρὸς τὰ κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ πειρᾶ-
96 σθαι τὰ λοιπὰ πράττειν. ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρα, Αἴγιναν, Κλεωνάς, ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε

ρινθίων καίτοι ἐπὶ δεκαετίαν πολεμησάντων αὐτοῖς μετὰ Λακεδαιμονίων, β'. ὅτι ἐβοήθησαν Λακεδαιμονίοις μετὰ τὴν ἐν Λεύκτροις μάχην, καὶ γ'. ὅτι τοῖς Εὐβοεῦσι, καίτοι ἠδικημένοι ὑπ' αὐτῶν, ἐβοήθησαν κατὰ Θηβαίων. τὰ τρία ταῦτα ὡς δείγματα τῆς Ἀθηναίων ἀνεξικακίας ἀναφέρει ὁ ῥήτωρ καὶ ἐν τῷ κ. Ἀριστοκρ. §. 191. — κ α θ' ὑ μ ᾶ ς] τοῦτο, ὡς καὶ τὸ κατωτέρω (§. 96.) « ἐξήλθετε», ἐκληπτέον οὐχὶ κατὰ γράμμα· ἐπειδὴ ὀλίγοι τῶν τότε ζώντων Ἀθηναίων ἠδύναντο εἶναι αὐτόπται τῶν ἑξῆς ἱστορουμένων, καθὰ ἐπιβεβαιοῖ καὶ ὁ ῥήτωρ διὰ τοῦ ἐπιφερομένου (§. 96.) τ ῶ ν τ ό τ ε Ἀ θ η ν α ί ω ν, καὶ τοῦ κατωτέρω (§. 98.) ο ἱ ὑ μ έ τ ε ρ ο ι π ρ ό γ ο ν ο ι. W. — κ ά λ λ ι σ τ α τ ῶ ν ὑ π α ρ χ ό ν τ ω ν] ἐννοεῖ λαμπρὰ παραδείγματα τῶν πρώην καλῶς πραχθέντων· ἡμεῖς ἐλέγομεν ἂν «κάλλιστα τῶν παραδειγμάτων.» B. κ. P.

96. Λ α κ ε δ α ι μ ο ν ί ω ν — ἀ ρ χ ό ν τ ω ν] ἀμέσως μετὰ τὸν πελοποννησιακὸν πόλεμον. W. — κ α τ ε χ ό ν τ ω ν — φ ρ ο υ ρ α ῖ ς] κρατούντων τυραννικῶς δι' ἁρμοστῶν καὶ φρουρῶν. — ἁ ρ μ ο σ τ α ῖ ς] « ἁ ρ μ ο σ τ α ὶ οἱ ὑπὸ Λακεδαιμονίων εἰς τὰς ὑπηκόους πόλεις ἄρχοντες ἐκπεμπόμενοι » (Ἁρποκρ.), ἵνα συσταίνωσιν ἐν αὐταῖς πολιτεύματα ὅμοια τῷ τῆς Σπάρτης. — Ε ὔ β ο ι α ν — Κ λ ε ω ν ά ς] ἐπεξήγησις τοῦ τὰ κύκλῳ τῆς Ἀττικῆς. ἡ Εὔβοια ἤδη ἐπὶ τοῦ πελοποννησ. πολέμου (Ολ. ϟϐ', ά. 412.) εἶχεν ἀποστατήσει ἀπ' Ἀθηναίων πρὸς Λακεδαιμονίους πλὴν Ὠρεοῦ (Θουκ. Η', 95.). W. — Τ ά ν α γ ρ α ν] πρωτεύουσαν τότε τῆς Βοιωτίας καὶ κατεχομένην ὑπὸ « τῶν περὶ Ὑπατόδωρον, φίλων ὄντων τῶν Λακεδαιμονίων » (Ξενοφ. Ἑλλ. Ε', 4, 49.) ὡς ὁρμητήριον ἐπὶ τὴν Ἀττικήν· ἔκειτο δὲ πλησίον τῶν ὁρίων τῆς Ἀττικῆς, 13 μόνον στάδια ἀπέχουσα τοῦ Ὠρωποῦ. — τ ὴ ν Β ο ι ω τ ί α ν) ἡ Βοιωτία διεσχισμένη ἐσωτερικῶς δι' ἐμφυλίων στάσεων εἶχε πέσει κατὰ μέγα μέρος εἰς χεῖρας τῶν Λακεδαιμονίων, καὶ μέχρι τῆς ἐν Λεύκτροις μάχης διετέλει ὑπ' αὐτούς. W. — Μ έ γ α ρ α] τὰ Μέγαρα ἤδη ἀπὸ Ολ. πθ', ά. 424. ἐξηρτῶντο ἀπὸ Σπάρτης (Θουκ. Δ'. 66 — 73.). W. — Α ἴ γ ι ν α ν] τὴν Αἴγιναν ὑποδουλώσαντες οἱ Ἀθηναῖοι Ολ. πζ', 6'. 431. ἔπεμψαν αὐτῇ ἰδίους ἑαυτῶν ἐποίκους· « τοῖς δ' ἐκπεσοῦσιν Αἰγινήταις ἔδοσαν οἱ Λακεδαιμόνιοι τὴν Θυρεᾶτιν γῆν μεθορίαν τῆς Ἀργείας καὶ Λακωνικῆς » πρὸς ἐποίκησιν (Θουκ. Β'. 27.)· ἐν δὲ Ολ. ϟγ', δ'. 405 « ὁ Λύσανδρος ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε τὴν πόλιν Αἰγινήταις ὅσους ἐδύνατο πλείστους ἀθροίσας αὐτῶν. » (Ξενοφ. Ἑλλ. Β', 6'. 9.). — Κ λ ε ω ν ά ς] αἱ Κλεωναὶ (πόλις μεταξὺ Ἄργους καὶ Κορίνθου) ἐπὶ τοῦ πελοπονν. πολέμου συνεμάχουν Ἀργείοις καὶ Ἀθηναίοις (Θουκ. Ε', 67. ΣΤ', 95.), τί δ' ὑπέστη μετὰ ταῦτα ἀγνοοῦμεν. — ἄ λ λ α ς ν ή σ ο υ ς] οἷον Λέσβον, Σάμον (Ξενοφ. Ἑλλ. Β', 6', 5. καὶ γ', 6.). — ο ὐ ν α ῦ ς, ο ὐ τ ε ί χ η] ὁ πελοποννησ. πόλεμος ἐπερατώθη, ὡς γνωστόν, ἀναγκασθέντων Ἀθηναίων τὰς μὲν ναῦς, πλὴν δώδεκα, παραδοῦναι Λακεδαιμονίοις, καθελεῖν δὲ τὰ μακρὰ τείχη τὰ συνέχοντα τὴν πόλιν μετὰ τοῦ Πειραιῶς (Ξενοφ. Ἑλλ. Β', 6', 20. —

κτησαμένης, ἐξῆλθετε εἰς Ἁλίαρτον, καὶ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον, τῶν τότε Ἀθηναίων πόλλ' ἂν ἐχόντων μνησικακῆσαι καὶ Κορινθίοις καὶ Θηβαίοις τῶν περὶ τὸν Δεκελεικὸν πόλεμον πραχθέντων· ἀλλ' οὐκ ἐποίουν τοῦτο, οὐδ' ἐγγύς. καίτοι τότε ταῦτα ἀμφότερα, 97
Αἰσχίνη, οὔθ' ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτ' ἀκίνδυνα ἑώρων. ἀλλ' οὐ διὰ ταῦτα προΐεντο τοὺς καταφεύγοντας ἐφ' ἑαυτούς, ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς δεινοῖς αὐτοὺς διδόναι, ὀρθῶς καὶ καλῶς βουλευόμενοι. πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν

Πλουτ. Λύσανδρ. 14. 15.).—κτησαμένης] ὅρα τὴν διαφορὰν τοῦ κτῶμαι (= ἀποκτῶ) ἀπὸ τοῦ ἐν τοῖς ἥττον καλοῖς χειρογρ. κέκτημαι (= ἔχω). οἱ Ἀθηναῖοι τότε (Ολ. ϟς', 6'. 395. ἤτοι δέκα ἔτη μετὰ τὴν Λακεδαιμονίοις παράδοσιν τῶν Ἀθηνῶν) δὲν εἶχον ἔτι ἀποκτήσει οὔτε τοὺς ςόλους αὐτῶν, οὔτε τὰ μακρὰ τείχη, τὰ ὁποῖα ἀνηγέρθησαν ὑπὸ Κόνωνος κατ' Ολ. ϟς', δ'. 393. ἤτοι δύο ἔτη ὕςερον ἀπὸ τῆς εἰς Ἁλίαρτον ἐκστρατείας. — εἰς Ἁλίαρτον] (πόλιν τῆς Βοιωτίας παρὰ τὴν Κωπαΐδα) πρὸς βοήθειαν Θηβαίων Κορινθίων καὶ Ἀργείων (κ. Φιλ. Α'. §. 17. — Ξενοφ. Ελλ. Γ', ε,16.). ἐν τῇ μάχῃ ταύτῃ ἀπέθανε Λύσανδρος ὁ Λακεδαιμονίων στρατηγός (Πλουτ. Λύσ 28—30.). — οὐ πολλαῖς ἡμ. ὕστερον] τὸ ἔαρ τοῦ αὐτοῦ ἔτους (τοῦ 393.).— εἰς Κόρινθον] συμμαχοῦντες Βοιωτοῖς, Κορινθίοις, Ἀργείοις κλπ. κατὰ Λακεδαιμονίων πάλιν. τὰ δὲ καθ' ἕκαςα ἴδ. παρὰ Ξενοφῶντι (Ελλ. Δ'. 6', 16 — 23.). ἡ ἐνταῦθα ἀναφερομένη μάχη εἶναι ἡ σημαντικωτέρα (Δημ. πρ. Λεπτ. §. 52.) τοῦ ὀκταετοῦς κορινθιακοῦ πολέμου περαιωθέντος διὰ τῆς αἰσχρᾶς ἐκείνης ἀνταλκιδείου εἰρήνης (Ισοκρ. Παναθ. §. 106.). — πόλλ' ἂν ἐχόντων] κατ' ὀρθὸν λόγον ἔλεγεν ἂν « καίτοι οἱ τότε Ἀθηναῖοι εἶχον ἂν πολλά.» — περὶ τὸν Δεκελ. πόλεμον] ἴδ. Θουκ. Ζ', 19. 27. 28. καὶ ΣΤ', 93. παρὰ δὲ Ισοκράτει (π. Εἰρ. §. 37.) Δημοσθένει (κ. Ἀνδροτ. §. 15. — πρ. Εὐβουλ. §. 18.) καὶ Διοδώρῳ (ΙΓ', 9, κ. ἀ.) οὕτω καλεῖται τὸ ἀπὸ Ολ. ϟά, 6'. 415. ἕως Ολ. ϟδ'. ἀ. 404. διάστημα, εἴτε τὸ 6'. ἥμισυ τοῦ πελοποννησιακοῦ πολέμου, ὅςτις καίτοι διαρκέσας 27 ἔτη, ἕνεκα ὅμως τῆς ἐν τῷ μέσῳ ἐπταετοῦς περίπου ἀνακωχῆς, κυρίως περιορίζεται εἰς 20 ἔτη, 10 μὲν κατὰ συνέχειαν πρὸ τῆς ἀνακωχῆς, ἕτερα δὲ τόσα μετ' αὐτὴν μέχρι τοῦ τέλους [Θουκ. Ε'. 24—27.]. W.—τῶν πραχθέντων] περὶ τῶν πραχθ. ὡς ἐν §. 94. «περὶ ὧν ἠγνωμονήκεσαν.» — οὐδ' ἐγγύς] ἴδ. §. 12. σημ.

97. πέρας—τηρῇ] διὰ τούτων ἐννοεῖ ὁ ῥήτωρ, ὅτι ὅσῳ καὶ ἂν περιορίσῃ τις ἑαυτὸν πρὸς ἀσφάλειαν ζωῆς, καίτοι τοῦτο τοῦ ἀδρανοῦς βίου πέρας εἶναι θανάτος. πρβλ. Ομήρ. Ιλ. Μ. 322 — 327. — δεῖ δὲ — γενναίως] γνωμικὸν διδακτικώτατον καὶ ἀξιομνημόνευτον τοῖς Ἑλλήνων παισίν, ἐπαινεθὲν καὶ ὑπ' αὐτῶν τῶν ἀρχαίων (πρβλ. Λουκ. Δημ. Ἐγκώμ. 3.). — εἶναι δ' ἓν τῶν εὐγενῶν καὶ ὑψηλῶν αἰσθημάτων, ἐν οἷς ὑπερέχει ὁ Δημ. πάντας τοὺς ἄλλους ῥήτορας. CH. — τοῖς καλοῖς] τοῖς ἐνδόξοις ἔργοις. — προβαλλομένους] «πρὸ τῆς πράξεως

98 δ' ἂν ὁ θεὸς διδῷ γενναίως. ταῦτ' ἐποίουν οἱ ὑμέτεροι πρόγονοι, ταῦθ' ὑμεῖς οἱ πρεσβύτεροι, οἳ Λακεδαιμονίους οὐ φίλους ὄντας οὐδ' εὐεργέτας, ἀλλὰ πολλὰ τὴν πόλιν ἡμῶν ἠδικηκότας καὶ μεγάλα, ἐπειδὴ Θηβαῖοι κρατήσαντες ἐν Λεύκτροις ἀνελεῖν ἐπεχείρουν, διεκωλύσατε, οὐ φοβηθέντες τὴν τότε* Θηβαίοις ῥώμην καὶ δόξαν ὑπάρχουσαν, οὐδ' ὑπὲρ οἷα πεποιηκότων ἀν-
99 θρώπων κινδυνεύσετε διαλογισάμενοι. καὶ γάρ τοι πᾶσι τοῖς Ἕλλησιν ἐδείξατε ἐκ τούτων, ὅτι κἂν ὁτιοῦν τις εἰς ὑμᾶς ἐξαμάρτῃ, τούτων τὴν ὀργὴν εἰς τἆλλα ἔχετε, ἐὰν δ' ὑπὲρ σωτηρίας ἢ ἐλευθερίας κίνδυνός τις αὐτοὺς καταλαμβάνῃ, οὔτε μνησικακήσετε οὔθ' ὑπολογιεῖσθε. καὶ οὐκ ἐπὶ τούτων μόνον οὕτως ἐσχήκατε,

εἰς τὸν νοῦν ἐμβαλλομένους.» Ἁρποκρ. —ἂν] κατὰ κρᾶσιν, = ἃ ἄν.—διδῷ] κατ' ἐνεστῶτα εἰς δήλωσιν τοῦ «ἐπανειλημμένως.»

98. οἳ — διεκωλύσατε] ὑπὸ στρατηγὸν τὸν Ἰφικράτην, Ολ. ρβ', δ'. 369. ὅτε οἱ Θηβαῖοι εἰσβαλόντες εἰς τὴν Λακωνικὴν ἠπείλουν καὶ αὐτὴν τὴν Σπάρτην (Ξενοφ. Ἑλλ. ΣΤ', έ, 49. κ. ἑ. — Διόδ. ΙΕ', 63.). — Λακεδαιμονίους] ἀντικείμ. τοῦ ἐν τῇ χρονικῇ προτάσει ἀνελεῖν, προετέθη δὲ δι' ἔμφασιν· ἄλλως ἔδει εἰπεῖν, «οἳ ἐπειδὴ Θηβαῖοι κρατ. ἐν Λ. ἐπεχείρουν ἀνελεῖν Λακεδαιμονίους (καίτοι) οὐκ ὄντας φίλ. οὐδ' εὐεργ. ἀλλ' ἠδικηκότας τὴν πόλ. ἡμῶν πολλὰ καὶ μεγάλα, διεκωλύσατε αὐτοὺς (τοὺς Θηβαίους).» — καὶ μεγάλα] = καὶ ταῦτα μεγάλα. πρβλ. §. 94. «πολλὰ καὶ δίκαια.» — ἐν Λεύκτροις] Ὀλ. ρβ'. β'. 371. ἴδ. §. 18. σημ. — τὴν τότε — δόξαν ὑπάρχουσαν] ἴδ. §. 35. σημ.—κινδυνεύσετε] κατὰ μέλλοντα, καθόσον ὁ ῥήτωρ μεταφέρει ἑαυτὸν εἰς τοὺς περὶ ὧν ὁ λόγος χρόνους. CH.

99. τούτων τὴν ὀργήν] = τὴν περὶ τούτων ὀργήν· ἔστι δὲ γενικὴ «ἐξ ἀντικειμένου,» ὡς καὶ ἐν §. 160. «τοὺς λόγους αὐτῶν. — κ. Στεφ. Α', §. 14. «ὀργὴ τῶν πραττομένων.» καὶ πρ. Εὐβουλ. §. 3. «τὴν τοῦ πράγματος ὀργήν,» ἐν οἷς πᾶσιν ἡ γενικὴ ἐκφράζει οὐχὶ τὸ ἀνῆκον εἴς τινα (ὁπότε λέγεται «ἐξ ὑποκειμένου»), ἀλλὰ τὸ ἕνεκα τίνος γίνεταί τι. περὶ δὲ τοῦ πληθ. ἀριθμοῦ τῆς ἀντων. τούτων ἴδ. §. 62. σημ. (πρβλ. Ὀλυνθ. Β', §. 18. «εἰ μέν — τις ἀνήρ ἐστιν — τούτους μὲν»), ὅπερ μὴ ἐννοήσαντές τινες ἔγραψαν κατὰ δοτικὴν τούτῳ. — ἐὰν δ' ὑπὲρ σωτηρίας—ὑπολογιεῖσθε] οἱ Ἀθηναῖοι ἐμεγαλοφρόνουν μὲν τῷ «ἐπαμύνειν ἀεὶ τοῖς ἀδικουμένοις τῶν Ἑλλήνων, καὶ τοὺς ἀσθενεστέρους θεραπεύειν» (Ἰσοκρ. Πανηγ. §. 52. κ. ἑ. παράβαλε τούτοις καὶ τὰ τοῦ Δημ. κατωτερω ἐν §. 203.), ἀλλ' οὐδὲν ἧττον πολιτικὸν ἀξίωμα εἶχον διατηρεῖν τὴν ἰσορροπίαν μεταξὺ τῶν Ἑλλ. πολιτειῶν (ἴδ. ὑπ. Μεγαλ. §§. 4. 32.), ὁ ῥήτωρ ὅμως τὰ πάντα ἀποδίδει τῷ φιλελευθέρῳ καὶ τῇ γενναιοφροσύνῃ αὐτῶν, ἐν ᾧ τοῖς τε Θηβαίοις κατὰ Λακεδαιμονίων καὶ τούτοις αὖθις κατὰ Θηβαίων ἐβοήθησαν ἰδίως διὰ λόγους πολιτικούς. τοιούτων ὑπὲρ δικαίου δῆθεν καὶ ὑπὲρ πολιτισμοῦ συμμαχιῶν παραδείγματα ἔχει καὶ ὁ καθ' ἡμᾶς αἰών.—ὑπολογιεῖσθε] ὅρα τὴν διαφορὰν τοῦ ὑπολογίζομαι] (= περνῶ τι εἰς λογαριασμόν τινος) ἀπὸ τοῦ ἀνωτέρω (§. 99.) διαλογίζομαι (= λαμβάνω ὡς βάσιν λογαριασμοῦ τινος). CH. — ἐπὶ τούτων] τῶν εἰρημένων περιστάσεων, τῆς τε εἰς Ἀλίαρτον καὶ εἰς Κόρινθον ἐξόδου δηλ. καὶ τῆς πρὸς Λακεδαιμονίους βοηθείας.—οὕτως ἐσχή-

ἀλλὰ πάλιν σφετεριζομένων Θηβαίων τὴν Εὔβοιαν οὐ περιείδετε, οὐδ' ὧν ὑπὸ Θεμίσωνος καὶ Θεοδώρου περὶ Ὠρωπὸν ἠδίκησθε ἀνεμνήσθητε, ἀλλ' ἐβοηθήσατε καὶ τούτοις, τῶν ἐθελοντῶν τριπράρχων τότε πρῶτον γενομένων τῇ πόλει, ὧν εἷς ἦν ἐγώ. ἀλλ' οὕπω περὶ τούτων. καὶ καλὸν μὲν ἐποιήσατε 100
καὶ τὸ σῶσαι τὴν νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον τὸ καταστάντες κύριοι καὶ τῶν σωμάτων καὶ τῶν πόλεων ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν

κατε] πληρέστερον « οὕτω γνώμης ἐσχήκατε » (= οὕτως ἐκρίνατε). πρβλ. π. τ. ἐν Χερρον. §. 73. τὴν περὶ τοῦ ὡς ἔχω σημ. — σφετερίζομένων] ἐπιχειρούντων σφετερίζεσθαι. Β. κ. Ρ. Ἰδ. §. 247. σημ. — οὐ περιείδετε — ἐβοηθήσατε] ἡ Εὔβοια ἕνεκα τῆς θέσεως αὐτῆς πολλοῦ λόγου ἀξία ἦν τοῖς Ἀθηναίοις· ὅθεν ὅτε ἐν Ὀλ. ρέ, γ'. 358. οἱ Εὐβοεῖς στασιάσαντες πρὸς ἀλλήλους προέβησαν καὶ μέχρι ἐμφυλίου πολέμου, οἱ Ἀθηναῖοι ἀποστείλαντες αὐτοῖς τάχιστα ἐπικουρίαν στρατηγοῦντος τοῦ Διοκλέους ὑποσπόνδους ἀπέπεμψαν τοὺς ὑπὸ τῆς ἐναντίας μερίδος προσκεκλημένους Θηβαίους, καὶ ἀπεκατέστησαν ἐν αὐτῇ τὴν προτέραν τάξιν καὶ ἡσυχίαν (Αἰσχ. κ. Κτησ. §. 85. — Δημ. π. τ. ἐν Χερρον. §. 74. — κ. Ἀνδροτ. §. 14.). W. — Θεμίσωνος] τυράννου τῆς ἐν Εὐβοίᾳ Ἐρετρίας. Θεόδωρος δὲ ἦν συμπράκτωρ αὐτῷ. Β. κ. Ρ. — περὶ Ὠρωπὸν] ὁ Ὠρωπὸς « ἐν μεθορίῳ τῆς τε Ἀττικῆς καὶ τῆς Βοιωτίας » (Στράβ. Θ', 399.) ὑπῆρξεν ἀνέκαθεν τὸ μῆλον τῆς ἔριδος μεταξὺ Ἀθηναίων καὶ Βοιωτῶν. ἐν δὲ Ὀλ. ργ', γ'. 366. « ὁ Θεμίσων — κατελάβετο αὐτὸν, — τῶν δ' Ἀθηναίων στρατευσάντων ἐπ' αὐτὸν οἱ Θηβαῖοι βοηθήσαντες αὐτῷ, καὶ παραλαβόντες ἐν παρακαταθήκῃ τὴν πόλιν οὐκ ἀπέδωκαν Ἀθηναίοις » (Διόδ. ΙΕ'. 76. πρβλ. Ξενοφ. Ἑλλ. Ζ', δ', 1.). ἐκ τούτου προέκυψεν ἐν Ἀθήναις ἡ περὶ Ὠρωποῦ περίφημος ἐκείνη δίκη κατηγορουμένου Χαβρίου τοῦ Ἀθηναίων στρατηγοῦ ὑπὸ Φιλοστράτου (ἐπὶ προδοσίᾳ κατὰ τὸν Σχολ. Δημ. κ. Μειδ. §. 64.). πρβλ. §. 219. τὴν περὶ Καλλιστράτου σημ. πρῶτον δὲ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην κατέστη ὁ Ὠρωπὸς κτῆμα Ἀθηναίων παραχωρηθεὶς αὐτοῖς ὑπὸ Φιλίππου (Παυσ. Ἀττικ. ΛΔ', 1.). ἀλλὰ καὶ ἐπὶ Ῥωμαίων ἔτι οἱ Ἀθηναῖοι εἶχον διαφορὰς περὶ αὐτοῦ, καταφυγόντων Ὠρωπίων ἐπὶ τὴν Ῥωμαίων βουλήν (Παυσ. Ἀχαϊκ. ΙΑ', 2—3.). σώζεται δὲ ὁ Ὠρωπὸς ὑπὸ τὸ αὐτὸ ὄνομα μετ' ὀλίγων ἐρειπίων. — τῶν ἐθελοντῶν — τριπράρχων] τριήραρχοι ἐλέγοντο ὅσοι τῶν εὐπορωτέρων πολιτῶν ἐκλεγόμενοι κατ' ἔτος ὑπὸ τῶν στρατηγῶν ἀνεδέχοντο τὴν ἐξαρτυσιν συνήθως δὲ καὶ κυβέρνησιν τριήρεως, ἣν παρεῖχεν αὐτοῖς ἡ πόλις κενήν· καὶ κατ' ἀρχὰς μὲν ἕκαστος τούτων χωριστὰ ὤφειλεν ἐξαρτύσαι ἰδίᾳ δαπάνῃ μίαν τριήρη· ἀπὸ δὲ Ὀλ. ρλδ', ά. 412. ἕνεκα τῆς ἐν Συρακούσαις ἥττης καὶ τῆς δυστυχίας τῶν Ἀθηναίων καὶ δύω ὁμοῦ ἀνελάμβανον τὴν ὑπηρεσίαν ταύτην (« σύνδυο — τριήραρχοι » Δημ. κ. Μειδ. §. 154.). τοιούτων σύνδυο τριηράρχων ὡρισμένος τις ἀριθμὸς ὑπῆρχε καὶ κατὰ ταύτην τὴν ἐποχήν (Ὀλ. ρέ, γ.), ἀλλ' ἐπειδὴ δὲν ἐπήρκουν οὗτοι εἰς ἐξάρτυσιν τῶν κατὰ τὴν κατεσπευσμένην ταύτην (Δημ. κ. Ἀνδροτ. §. 14.) στρατείαν ἀπαιτουμένων νεῶν, καὶ ἄλλοι φιλοπάτριδες πλούσιοι ἐγίναν ἐθελονταὶ τριήραρχοι, ὧν εἷς ἦν Δημοσθένης (Ἰδ. κ. Μειδ. §. 161.). — ἀλλ' οὕπω περὶ τούτων] τῶν τριηραρχιῶν αὐτοῦ ἴσως κλπ. ὧν λόγον ποιεῖται ἐν §§. 237. 267. κ. ἑ.

100. τὸ ἀποδοῦναι] ταῦτα διαβεβαιοῖ καὶ ὁ Αἰσχίνης (κ. Κτησ. §. 85.) « τὰς τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις. » — δικαίως] = ὅπως ἀπῄτει τὸ δίκαιον. —

ἠδίκησθε ὑπολογισάμενοι. μυρία τοίνυν ἕτερα εἰπεῖν ἔχων παραλείπω, ναυμαχίας, ἐξόδους πεζάς, στρατείας καὶ πάλαι γεγονυίας καὶ νῦν ἐφ' ἡμῶν αὐτῶν, ἃς ἁπάσας ἡ πόλις τῆς τῶν
101 ἄλλων Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας πεποίηται. εἶτ' ἐγὼ τεθεωρηκὼς ἐν τοσούτοις καὶ τοιούτοις τὴν πόλιν ὑπὲρ τῶν τοῖς ἄλλοις συμφερόντων ἐθέλουσαν ἀγωνίζεσθαι, ὑπὲρ αὐτῆς τρόπον τινὰ τῆς βουλῆς οὔσης τί ἔμελλον κελεύσειν ἢ τί συμβουλεύσειν αὐτῇ ποιεῖν; μνησικακεῖν νὴ Δία πρὸς τοὺς βουλομένους σώζεσθαι, καὶ προφάσεις ζητεῖν, δι' ἃς ἅπαντα προησόμεθα; καὶ τίς οὐκ ἂν ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ πόλει καλῶν λόγῳ μόνον καταισχύνειν ἐπεχείρησα; ἐπεὶ τό γε ἔργον οὐκ ἂν ἐποιήσαθ' ὑμεῖς, ἀκριβῶς οἶδ' ἐγώ· εἰ γὰρ ἠβούλεσθε, τί ἦν ἐμποδών; οὐκ ἐξῆν; οὐχ ὑπῆρχον οἱ ταῦτ' ἐροῦντες οὗτοι;

102 Βούλομαι τοίνυν ἐπανελθεῖν ἐφ' ἃ τούτων ἐξῆς ἐπολιτευόμην· καὶ σκοπεῖτε ἐν τούτοις πάλιν αὖ, τί τὸ τῇ πόλει βέλτιστον ἦν,

μυρία] ἄπειρα· μύρια δὲ = 10000. — ἐξόδους πεζάς] ἀντιθέτως τοῦ ναυμαχίας, ἐν δὲ τῷ στρατείας συμπεριλαμβάνονται ἀμφότερα. B.x.P.—τῆς — ἐλευθερίας καὶ σωτηρίας] ταὐτὰ ἐμπροθέτως ἐπαναλαμβάνει ὁ ῥήτωρ καὶ ἐν §. 208. «τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι.»

101. ὑπὲρ αὐτῆς—τῆς βουλῆς οὔσης] προκειμένου συμβουλεύειν αὐτῇ ὑπὲρ τῶν ἑαυτῇ συμφερόντων (ἀντιθέτως τοῦ τῶν τοῖς ἄλλοις συμφερόντων). — κελεύσειν] = προτρέψειν. — μνησικακεῖν — ζητεῖν] ἐξαρτῶνται ἐκ τοῦ κελεύσειν.— νὴ Δία] εἰρωνικόν. ὡς καὶ ἐν §. 117. καὶ ἀλλαχοῦ συνεχῶς.— δι' ἃς — προησόμεθα] ἀναφορικὸς λόγος ἀντὶ τελικοῦ = ἵνα προώμεθα. ὡς καὶ ἐν §. 74. «οἵτινες — διαλέξονται.» — καὶ τίς οὐκ ἂν ἀπέκτεινέ με — ἐπεχείρησα] «ἔχει δέ τινα χάριν τὸ τῆς ἀντιθέσεως, ὅταν, ἐφ' ᾧ τις ἐγκαλῆται, τούτου τοὐναντίον αἰσχρὸν ἀποδεικνύῃ καὶ φαῦλον· οὕτω καὶ (ἐν §. 240.), τί ἂν εἴσθε λέγειν τοὺς μιαροὺς τούτους ἀνθρώπους, εἰ τότ' ἐμοῦ περὶ τούτων ἀκριβολογουμένου ἀπῆλθον αἱ πόλεις; καὶ ὅλως ὁ περὶ τοῦ στεφάνου λόγος εὐφυέστατα ταῖς ἀντιθέσεσι καὶ λύσεσι τῶν αἰτιῶν [ἴδ. §. 7. σημ.] εἰσάγει τοὺς ἐπαίνους.» Πλουτ. π. τ. ἑαυτ. ἐπ. ἀνεπιφθ. Η'. — λόγῳ μόνον] πρὸς ἔμφασιν προσέθηκε τοῦτο, εἰς ὃ ἐπισυνάπτει φιλοφρόνως τὸ «ἐπεὶ τό γε ἔργον οὐκ ἂν ἐποιήσαθ' ὑμεῖς.» — οὐχ ὑπῆρχον — οὗτοι] «οἱ κατὰ τῆς πατρίδος τηροῦντες τὴν εἰρήνην.» §. 89. — ἐροῦντες] μέλλων τοῦ ἐν τοῖς ψηφίσμασιν εἶπεν (= ἔγραψεν, ἐγγράφως προέτεινε) = οἵτινες εἶπον ἄν, προὔτεινον ἄν. B. x. P.

102. ἐπανελθεῖν — ἐξῆς ἐπολιτευόμην] δικαίως ἀπορεῖ περὶ τούτων ὁ B. x. P., διότι τὰ ἐφ' ἃ ἐπανέρχεται ὁ ῥήτωρ ἦσαν ἐξῆς τῆς εἰς Εὔβοιαν ἐξόδου μόνον, τῆς δὲ εἰς Βυζαντίους βοηθείας (περὶ ἧς ἤδη ὠμίλησεν) σύγχρονα σχεδόν· ἀλλ' ἴσως ἄτοπον οὕτως αὐστηρῶς νὰ βασανισθῇ πᾶσα λέξις καὶ φράσις τοῦ ῥήτορος· ἀλ-

ὁρῶν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλουσίους ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γιγνομένους, τοὺς δὲ μέτρια ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν τὰ ὄντα ἀπολλύοντας, ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν καιρῶν, ἔθηκα νόμον, καθ' ὃν μὲν τὰ δίκαια ποιεῖν ἠνάγκασα τοὺς πλουσίους, τοὺς δὲ πένητας ἔπαυσ' ἀδικουμένους, τῇ πόλει δ' ὅπερ ἦν χρησιμώτατον, ἐν καιρῷ γίγνεσθαι τὰς

λως δὲ ἡ ἀπὸ §. 93. κ. ἑ. παρέκβασις ἀρκούντως δικαιολογεῖ τὸ ἐπανελθεῖν. — ὁρῶν — ἔθηκα νόμον] ἀφοῦ ἐπὶ τῆς εἰς Εὔβοιαν ἐξόδου ἐφάνη τὸ ἀνεπαρκὲς τῶν σύνδυο τριηράρχων (πρβλ. §. 99. σημ.), ἀμέσως τὸ ἀκόλουθον ἔτος (Ὀλ. ρά, δ'.) ἡ ἐν τῇ ἐπὶ Ναυσινίκου ἄρχοντος (Ὀλ. ρ', γ'. 378.) φορολογικῇ μεταρρυθμίσει ἐπὶ τῶν εἰσφορῶν γενομένη διάταξις τῶν συμμοριῶν ἐξετάθη καὶ ἐπὶ τῆς τριηραρχίας· ἦτοι ἡ εἰς τριηραρχίαν ὑποχρέωσις ἀνετέθη διακοσίοις καὶ χιλίοις πολίταις τοῖς εὐπορωτέροις διηρημένοις εἰς 20 ἴσα τμήματα εἴτε συμμορίας, ὧν ἑκάστη διηρτίτο εἰς συντελείας ἐκ πολλῶν ἢ ὀλίγων συντελῶν ἀναλόγως τοῦ πεσόντος τῶν πρὸς πόλεμον παρασκευασθησομένων τριήρων (πρβλ. §. 104. σημ.)· τριακόσιοι δ' ἐξ αὐτῶν οἱ εὐπορώτατοι καὶ ἡγεμόνες τῶν συμμοριῶν λεγόμενοι εἶχον τὴν γενικὴν ἐπιστασίαν καὶ διοίκησιν τῶν συμμοριῶν προκαταβάλλοντες ἐκ τοῦ παραχρῆμα τὴν δαπάνην, καὶ παρ' ἑκάστου τῶν συντελῶν εἰσπραττόμενοι τὸ ἀναλογοῦν αὐτῷ μέρος αὐτῆς. ἀλλὰ καὶ ἐνταῦθα ταχέως εἰσεχώρησαν καταχρήσεις, καὶ μάλιστα ὅτε δι' αἰσχροκέρδειαν ἐπεκράτησε τὸ ἔθος τοῦ ἐπιμισθοῦν τὴν τριηραρχίαν «τοῖς ἐξ ἐλαχίστου τριηραρχεῖν βουλομένοις» [Δημ.] π. τ. στεφ. τ. τριηρ. §. 7. «οὗτοι οἱ ἡγεμόνες», λέγει ὁ Δημ. (κ. Μειδ. §. 155.)· «εἰσπραττόμενοι παρὰ τῶν συντελῶν τάλαντον, ταλάντου μισθοῦσι τὰς τριηραρχίας, εἶτα πληρώματα ἡ πόλις παρέχει καὶ σκεύη δίδωσιν, ὥστ' αὐτῶν ἐνίοις τῇ ἀληθείᾳ τὸ μηδὲν ἀναλῶσαι καὶ δοκεῖν λελειτουργηκέναι καὶ τῶν ἄλλων λειτουργιῶν ἀτελέσι γεγενῆσθαι περιέστιν.» καὶ οὕτως οὐ μόνον οἱ μετρίας καταστάσεως πολῖται ἐπιέζοντο καταβάλλοντες ὑπὲρ τὸ ἀναλογοῦν αὐτοῖς, ἐνῷ καὶ ἡ ἐπίσης τοῖς εὐπορωτάτοις καταβολὴ ἦν ἄδικος αὐτοῖς ὀλίγα κεκτημένοις, ἀλλὰ καὶ τὸ ναυτικὸν τῆς πόλεως ἠφανίζετο βαθμηδόν, καθότι οἱ τὰς τριηραρχίας μισθούμενοι (οἱ ἐργολάβοι) τόσῳ ἐνδεῶς καὶ ἀθλίως παρεσκευάζοντο τὰς τριήρεις, ὥστε πολλάκις τριήρης ἀπολείπετο ἐν τοῖς ναυπηγίοις εὐδυναμένη ἐκπλεῦσαι τοῦ λιμένος, ἢ κατέλειπετο ἔξω ἐπὶ πελάγους ὡς ἄχρηστος (ἰδ. §. 107.). ταύτας λοιπὸν τὰς καταχρήσεις περιέστειλεν ὁ Δημ. θεὶς ἐν Ὀλ. ρί, ά. 340. ὡς ἐπιστάτης τοῦ ναυτικοῦ (Αἰσχ. κ. Κτησ. §. 222.) νόμον, καθ' ὃν πάντες ἀνεξαιρέτως οἱ πολῖται ὑπεχρεοῦντο εἰς τριηραρχίαν ὡς ἐξῆς· πᾶς μὲν κεκτημένος δέκα ταλάντων τίμημα εἴτε φορολογητὸν κεφάλαιον (ἰδ. τὴν ἐν §. 106. σημ.) ὤφειλε παρασκευάσασθαι μίαν τριήρη, ἑπομένως οἱ εὐπορώτεροι ἀναλόγως τῆς περιουσίας αὐτῶν ἔμελλον καὶ πλείονας παρασκευάσασθαι μέχρι τριῶν καὶ ἑνὸς ὑπηρετικοῦ (πρβλ. ὅμως καὶ τὴν ἐν §. 104. σημ.), οἱ δ' ὀλιγωτέραν περιουσίαν ἔχοντες ὤφειλον συνεργεῖσθαι εἰς συντελείας μέχρις οὗ ἀπαρτίσωσι τὸ πρὸς ἐξάρτυσιν μιᾶς τριήρεως ὡρισμένον τίμημα. — καταλυόμενον] «κατὰ μικρὸν ἀφανίζεσθαι μέλλον.» Οὐλπ. — ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων] οὕτω καὶ ἐν §. 104. «μικρὰ καὶ οὐδὲν ἀναλίσκουσι.» ἡ δ' ἀπὸ τὸ ἐργανικὸν αἰτία δηλοῖ. — ὑστερίζουσαν] συναπτέον τῷ καιρῶν. τὸ δ' ἐκ τούτων = ἕνεκα τούτων τῶν εἰρημένων. — καθ' ὃν μὲν] μεταλλάκται ἡ θέσις τοῦ μέν, διότι ἡ ἀντίθεσις πίπτει ἐπὶ τοὺς πλουσίους («τοὺς μὲν πλουσίους — τοὺς δὲ πένητας»). — ἐν καιρῷ] ἐν

103 παρασκευὰς ἐποίησα. καὶ γραφεὶς τὸν ἀγῶνα τοῦτον εἰς ὑμᾶς εἰσῆλθον καὶ ἀπέφυγον, καὶ τὸ μέρος τῶν ψήφων ὁ διώκων οὐκ ἔλαβεν. καίτοι πόσα χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν ἢ τοὺς δευτέρους καὶ τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μάλιστα μὲν μὴ θεῖναι τὸν νόμον τοῦτον, εἰ δὲ μή, καταβάλλοντα ἐᾶν ἐν ὑπωμοσίᾳ; τοσαῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα ὀκνήσαιμ' ἂν
104 πρὸς ὑμᾶς εἰπεῖν. καὶ ταῦτ' εἰκότως ἔπραττον ἐκεῖνοι. ἦν γὰρ αὐτοῖς ἐκ μὲν τῶν προτέρων νόμων συνεκκαίδεκα λειτουργεῖν,

τούτου τὸ ἐπίρρημα ἐγκαίρως.

103. καὶ γραφεὶς] παρανόμων, ὅπερ καὶ προστέθειται ἔν τισι χειρογρ. — τὸν ἀγῶνα τοῦτον] ὁ B. κ. Ρ. ἐξηγεῖ = τὸν αὐτὸν τοῦτον ἀγῶνα ὃν καὶ νῦν, ἤτοι τὸν παρανόμων. καὶ φαίνεται, λέγει, ὅτι ἐκ προθέσεως οὕτως ἔγραψεν ὁ ῥήτωρ, καίτοι παράξενον ὀλίγον. — εἰς ὑμᾶς] = ἐνώπιον ὑμῶν. οὕτω καὶ ἐν τῷ πρ. Φορμ. §. 1. «οὐδεμίαν πώποτε δίκην πρὸς ὑμᾶς εἰσήλθομεν·» κατὰ τοῦτο ἄρα καὶ τὸ ἀνωτέρω τὸν ἀγῶνα τοῦτον συναπτέον τῷ εἰσῆλθον.—ὁ διώκων] ὁ Πατροκλῆς κατὰ τὸ κατωτ. ψήφισμα. — καὶ τὸ μέρος] τὸ ὑπὸ τοῦ νόμου ὡρισμένον, τὸ πέμπτον· οὕτω καὶ ἐν §. 105. «καὶ τὸ μέρος τῶν ψήφων.» — δευτέρους — τρίτους] ὡς τούτους ἐκλεπτέον τοὺς πλησιεστάτους τοῖς ἡγεμόσι τῶν συμμοριῶν ἀναλόγως τῆς περιουσίας αὐτῶν, καὶ σχηματίζοντας ἴσως μετ' ἐκείνων εἶδός τι διοικητικοῦ συμβουλίου. W. — θεῖναι] πρβλ. καὶ §. 107. «θεῖναι τὸν νόμον.» οὕτως ἐνεργητικῶς λέγεται περὶ τοῦ γράφοντος νόμον, νομοθέτου (ὡς ἀνωτ. «ἔθηκα νόμον,» καὶ ἐν §. 6. «οὓς ὁ τιθεὶς —Σόλων·»), μέσως δὲ (θέσθαι) λέγεται περὶ τοῦ λαοῦ ἢ τοῦ μονάρχου διατάσσοντος νὰ τεθῶσι νόμοι. B. κ. Ρ. — ἐᾶν ἐν ὑπωμοσίᾳ] ὑπωμοσία ἐλέγετο ἡ ἐν τῇ ἐκκλησίᾳ μεθ' ὅρκου διαβεβαίωσις πολίτου τινός, ὅτι μέλλει ὡς παράνομον κατηγορῆσαι πρότασιν ἢ νόμον τινὰ νεωστὶ εἰσαγόμενον· καὶ εἶχε τὸ ἀποτέλεσμα, ὥστε ἂν μὲν δὲν εἶχε κυρωθῇ ἔτι ἡ πρότασις εἴτε ὁ νόμος ἐκεῖνος, νὰ διακόπτηται εὐθὺς πᾶσα περαιτέρω συζήτησις, ἂν δὲ εἶχεν ἤδη κυρωθῇ ν' ἀναβάλληται ἡ ἐκτέλεσις αὐτοῦ μέχρις οὗ δικαστικῶς ἀποφασισθῇ τι περὶ αὐτοῦ. ἀπέκειτο δὲ τῷ προτείναντι τὸ ψήφισμα ἢ τὸν νέον νόμον ἤτοι νὰ ζητήσῃ ἐπιμόνως τὴν κύρωσιν ἢ ἐκτέλεσιν αὐτοῦ καὶ οὕτως ἐπισπεύσῃ τὴν περὶ τούτου δίκην, ἢ νὰ παραιτῆται αὐτοῦ (= «ἐὰν ἐν ὑπωμοσίᾳ»). οὕτω παρ. χάριν ὁ Κτησ. εἶχεν ἀφήσει ἐν ὑπωμοσίᾳ τὸ περὶ τοῦ στεφανῶσαι Δημοσθένην ψήφισμα αὐτοῦ, ὅθεν καίτοι ἐπικυρωθὲν ὑπὸ τῆς βουλῆς, μετὰ τὴν ὑπωμοσίαν τοῦ Αἰσχίνου ἔμεινεν ἐν ἀχρηστίᾳ μέχρις Ὀλ.ριθ', γ'. ὅτε εἰσήχθη ἡ περὶ τούτου δίκη. —τοσαῦτα —εἰπεῖν] ὁ Δείναρχος (κ.Δημ.§.42.) ὑπενδείκνυσι τῷ Δημ. «ὅτι τρία τάλαντα λαβὼν μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν,» ἀλλ' ἔδει, ἂν ταῦτα εἴχοντο ἀληθείας, προσθεῖναι καὶ παρά τίνων ἔλαβε τὰ τρία ταῦτα τάλαντα ὁ Δημ. οὕτως ἐμπαθῶς κρίνει καὶ περὶ τῶν λοιπῶν ὁ πικρὸς οὗτος καὶ οὐδαμῶς ἀξιόπιστος κατήγορος. περὶ δὲ τῶν τοῦ Αἰσχίνου (κ. Κτησ. §. 222.) ἴδ. §. 107. σημ.

104. καὶ ταῦτ' εἰκότως ἔπραττον] καὶ εἰκὸς (= ἐπόμενον) ἦν ταῦτα πράττειν ἐκείνους. — ἦν γὰρ αὐτοῖς — λειτουργεῖν] ἦν μοί τι· φράσις συνήθης τοῖς Ἀττικοῖς. πρβλ.§.81.σημ.— συνεκκαίδεκα] δὲν ἦσαν πάντοτε συνεκκαίδεκα· διότι ἐν τοῖς ἀποσπάσμασι τοῦ κ.Πασικλέους λόγου τοῦ Γπερείδου ἀναφέρονται σύμπεντε καὶ σύνεξ τριηραρχοῦντες· ἐν ἑτέρῳ δὲ ἀποσπάσματι τοῦ αὐτοῦ (ἐν τῷ πρ. Πολύευκτον) λέγεται ὅτι «ἐν τῇ συμμορίᾳ

αὐτοῖς μὲν μικρὰ καὶ οὐδὲν ἀναλίσκουσι, τοὺς δ' ἀπόρους τῶν πολιτῶν ἐπιτρίβουσιν,* ἐκ δὲ τοῦ ἐμοῦ νόμου τὸ γιγνόμενον κατὰ τὴν οὐσίαν ἕκαστον τιθέναι, καὶ δυοῖν ἐφάνη τριήραρχος ὁ τῆς μιᾶς ἕκτος καὶ δέκατος πρότερον συντελής. οὐδὲ γὰρ τριηράρχους ἔτι ὠνόμαζον ἑαυτούς, ἀλλὰ συντελεῖς. ὥστε δὴ ταῦτα λυθῆναι καὶ μὴ τὰ δίκαια ποιεῖν ἀναγκασθῆναι, οὐκ ἔσθ' 105
ὅ τι οὐκ ἐδίδοσαν. καί μοι λέγε πρῶτον μὲν τὸ ψήφισμα, καθ' ὃ εἰσῆλθον τὴν γραφήν, εἶτα τοὺς καταλόγους, τόν τ' ἐκ τοῦ προτέρου νόμου καὶ τὸν κατὰ τὸν ἐμόν. λέγε.

ΨΗΦΙΣΜΑ. [Ἐπὶ ἄρχοντος Πολυκλέους, μηνὸς βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα, φυλῆς πρυτανευούσης Ἱπποθωντίδος, Δημο-

ἑκάστῃ εἰσὶ τε' ἄνδρες » (ἔνθα ἡ λέξις συμμορία κεῖται, φαίνεται, ἀντὶ τῆς συντέλεια), ὥστε ὁ ἀριθμὸς « τῶν νεὼς μιᾶς ἅμα ἐπιμελουμένων» ἤτοι τῶν συντελῶν ἦν κατὰ καιροὺς μικρὸς ἢ μέγας κατὰ τὸ ποσὸν τῶν παρασκευασθησομένων τριήρων· ἀλλ' ὁ ῥήτωρ ἐκ προθέσεως ἀναφέρει τὸν ἀνώτατον τούτων ἀριθμόν, ἵνα ἐπιδείξῃ σαφέστερον τὰς ἐκ τοῦ ἑαυτοῦ νόμου ὠφελείας τῆς πόλεως. — λειτουργεῖν] «λεῖτον ἐκάλουν οἱ παλαιοὶ τὸ δημόσιον, ὅθεν λειτουργεῖν τὸ εἰς τὸ δημόσιον ἐργάζεσθαι ἔλεγον.» Οὐλπ. — αὐτοῖς μὲν] κατ' ἀντιδιαστολὴν τοῦ «τοὺς δ' ἀπόρους τῶν πολιτῶν.» — ἀναλίσκουσι — ἐπιτρίβουσιν] αἱ τρόπου δηλωτικαὶ αὗται μετοχαὶ κεῖνται κατὰ δοτικὴν κατὰ συνεφέλκυσιν. — μικρὰ καὶ οὐδέν] συνεχὴς ἡ χρῆσις τῆς φράσεως ταύτης. πρβλ. κ. Ἀριστογ. Α, §. 71. — Πλάτ. Θεαίτ. 24. — τὸ γιγνόμενον — τιθέναι] νὰ καταβάλλῃ ἕκαστος τὸ ἀναλογοῦν αὐτῷ κατὰ τὴν αὐτοῦ περιουσίαν. ἐξαρτᾶται δὲ τὸ τιθέναι ἔκ τινος συγγενοῦς τῷ ἦν ῥήματος, οἷον συνέβη, ἔδει. — καὶ δυοῖν — τριήραρχος] οὕτω σημειοῖ καὶ Οὐλπιανὸς (εἰς §. 154. κ. Μειδίου) ὅτι «ὁ Δημ. ὕστερον δυοῖν τριήρων ἕνα τριήραρχον ἐποίησεν» ἆρα ὁ κατὰ τὸν Δημοσθένους νόμον ἀνώτατος ὅρος ἦν, ὡς φαίνεται, τὸ τριηραρχεῖν τοὺς πλουσιωτάτους μέχρι δυοῖν τριήρων, καὶ οὐχὶ μέχρι τριῶν καὶ ὑπηρετικοῦ ὡς ἅπανταχοῦ κατωτ. (§. 106.) ἐν τῷ καταλόγῳ. διότι ἄλλως ἔδει τῷ κατὰ τοὺς προτέρους νόμους ἀνωτάτῳ ἀριθμῷ τῶν συντελῶν ἀντιπαραθεῖναι τὸν ῥήτορα τὸν ἐπίσης ἀνώτατον ὅρον τῆς κατὰ τὸν ἑαυτοῦ νόμον τριηραρχίας πρὸς ἔνδειξιν τῆς μεταξὺ ἑκατέρων ἐπαισθητῆς διαφορᾶς. — οὐδὲ γὰρ] αἰτιολογεῖ τὸ συντελής, ὡς ἐὰν ἔλεγε, συντελὴς λέγω, διότι οὐδ' αὐτοὶ ὠνόμαζον ἔτι ἑαυτοὺς κτλ. — ὥστε δὴ — λυθῆναι] ἐπὶ τῷ ὅρῳ λοιπὸν ν' ἀκυρωθῶσιν· οὕτω κεῖται τὸ ὥστε καὶ ἐν τῷ κ. Φιλ. Β', §. 11. — πρ. Λεπτ. §. 12. — κ. Μειδ. §. 3. — ταῦτα] τὰ ἐκ τοῦ ἐμοῦ νόμου ὡρισμένα.

105. τὸ ψήφισμα, καθ' ὃ] τοῦτο δὲν δύναται εἶναι αὐτὸς τοῦ Δημ. ὁ νόμος, ὅπως συνήθως παραδέχονται [οἷον ὁ D.], ἀλλ' εἶναι τὸ περὶ ἀναβολῆς τοῦ δημοσθενείου νόμου ψήφισμα κατὰ συνέπειαν τῆς ἐν τῇ ἐκκλησίᾳ ὑπωμοσίας τοῦ κατηγόρου. W. ἀλλ' ὑπῆρχεν ἄρα συνήθεια γράφειν ψηφίσματα περὶ ἀναβολῆς τῶν νέων προτάσεων; καὶ ἂν ὑπῆρχεν ὑπὸ τίνος ἐγράφοντο ταῦτα; τούτων δ' ἀγνοουμένων, μετριοφρονέστερος ὁ Β. κ. Ρ. ἀπορῶν περὶ τοῦ ψηφίσματος τούτου, καὶ οὐδὲν ἀριστικῶς τολμῶν γνωματεῦσαι περὶ αὐτοῦ. — τοὺς καταλόγους] ἐν οἷς ἦσαν κανονισμένα τὰ

σθένης Δημοσθένους Παιανιεὺς εἰσήνεγκε νόμον εἰς τὸ τριηραρχικὸν ἀντὶ τοῦ πρότερον, καθ' ὃν αἱ συντέλειαι ἦσαν τῶν τριηράρχων· καὶ ἐπεχειροτόνησεν ἡ βουλὴ καὶ ὁ δῆμος· καὶ ἀπήνεγκε παρανόμων Δημοσθένει Πατροκλῆς Φλυεύς, καὶ τὸ μέρος τῶν ψήφων οὐ λαβὼν ἀπέτισε τὰς πεντακοσίας δραχμάς.]

106 Φέρε δὲ καὶ τὸν καλὸν κατάλογον.

ΚΑΤΑΛΟΓΟΣ. [Τοὺς τριηράρχους καλεῖσθαι ἐπὶ τὴν τριήρη συνεκκαίδεκα ἐκ τῶν ἐν τοῖς λόχοις συντελειῶν, ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν εἰς τετταράκοντα, ἐπὶ ἴσον τῇ χορηγίᾳ χρωμένους.]

Φέρε δὴ παρὰ τοῦτον τὸν ἐκ τοῦ ἐμοῦ νόμου κατάλογον.

ΚΑΤΑΛΟΓΟΣ. [Τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη ἀπὸ τῆς οὐσίας κατὰ τίμησιν, ἀπὸ ταλάντων δέκα· ἐὰν δὲ πλειόνων ἡ οὐσία ἀποτετιμημένη ᾖ χρημάτων, κατὰ τὸν ἀναλογισμὸν ἕως τριῶν πλοίων καὶ ὑπηρετικοῦ ἡ λειτουργία ἔστω. κατὰ τὴν αὐτὴν δὲ ἀναλογίαν ἔστω καὶ οἷς ἐλάττων οὐσία ἐστὶ τῶν δέκα ταλάντων, εἰς συντέλειαν συναγομένοις εἰς τὰ δέκα τάλαντα.]

περὶ τῶν τριηραρχιῶν. — νόμον εἰς τὸ τριηραρχικὸν] πρόδηλον ὅτι γραπτέον νόμον τριηραρχικὸν κατὰ τὸ ἐν §. 312. «ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον.» ἀγνοοῦμεν δὲ πόθεν εἰσήχθη τὸ εἰς τὸ ἐξ οὗ οὐδεμία ἐξάγεται ἔννοια. B. κ. P.

106. τὸν καλὸν] εἰρωνικῶς. — καλεῖσθαι] ἀντὶ προστακτικῆς. ἴδ. §. 29. τὴν περὶ τοῦ δεδόχθαι σημ. — ἐν τοῖς λόχοις] ἐν ταῖς συμμορίαις ἴσως· ἄλλως τί σημαίνει ἐνταῦθα λόχος ἀγνοοῦμεν. πολιτικὴν κατὰ λόχους διαίρεσιν τῶν Ἀθηναίων δὲν γνωρίζομεν, εἰς δὲ τὸ ναυτικὸν δὲν ὑπῆρχε λόχος. B. κ. P. — φέρε δή] φέρε τέλος πάντων. — παρὰ τοῦτον] παραλλήλως τούτῳ τῷ καλῷ καταλόγῳ. — ἐπὶ τὴν τριήρη] πρὸς τὴν ἐξάρτυσιν μιᾶς τριήρεως. — ἀπὸ τῆς οὐσίας κατὰ τίμησιν] ἑκάστου πολίτου ἡ περιουσία ὑπέκειτο εἰς διατίμησιν, ἵνα κατ' αὐτὴν προσδιορισθῇ καὶ ὁ φόρος αὐτοῦ, ὅστις κατὰ τὴν ἐπὶ Ναυσινίκου ἄρχοντος φορολογικὴν μεταρρύθμισιν ἐπεβάλλετο οὐχὶ ἐπὶ τῆς περιουσίας ὅλης, ἀλλ' ἐφ' ὡρισμένου τινὸς μέρους αὐτῆς. καὶ διὰ μὲν τὰς κατωτέρας τάξεις τῶν πλουσίων πόσον τῆς ὅλης περιουσίας ἦν τὸ φορολογητὸν τοῦτο μέρος (= τίμημα) αὐτῆς ἀγνοεῖται [B. κ. P.], διὰ δὲ τοὺς πλουσιωτάτους ἦν τὸ πέμπτον αὐτῆς, οὕτω «πεντεκαίδεκα ταλάντων — τρία τάλαντα τίμημα» λέγει ὁ Δημ. (κ. Ἀφόβ. Α'. §. 9.), ἑπομένως ὁ δέκα ταλάντων τίμημα εἴ τε οὐσίαν κατὰ τίμησιν ἔχων πραγματικῶς εἶχεν οὐσίαν 50 ταλάντων, καὶ κατὰ τὸν Δημοσθένους νόμον ὤφειλε παρασκευάσασθαι μίαν τριήρη, ἀναλόγως δὲ καὶ οἱ ἔχοντες τίμημα πλέον ἢ ἔλαττον τούτου. — ἐλάττων οὐσία] ἡ κατὰ τίμησιν ἐννοητέα. — εἰς τὰ δέκα τάλαντα] = ἕως συμπληρώσεως τοῦ τιμήματος τῶν δέκα ταλάντων.

Ἆρα μικρὰ βοηθῆσαι τοῖς πένησιν ὑμῶν δοκῶ, ἢ μικρὰ ἀνα- 107
λῶσαι ἂν τοῦ μὴ τὰ δίκαια ποιεῖν ἐθέλειν οἱ πλούσιοι; οὐ τοί-
νυν μόνον τῷ μὴ καθυφεῖναι ταῦτα σεμνύνομαι, οὐδὲ τῷ
γραφεὶς ἀποφυγεῖν, ἀλλὰ καὶ τῷ συμφέροντα θεῖναι τὸν νόμον
καὶ τῷ πεῖραν ἔργῳ δεδωκέναι. πάντα γὰρ τὸν πόλεμον τῶν
ἀποστόλων γιγνομένων κατὰ τὸν νόμον τὸν ἐμὸν οὐχ ἱκετηρίαν
ἔθηκε τριήραρχος οὐδεὶς πώποτ' ἀδικούμενος παρ' ὑμῖν, οὐκ ἐν

107. τοῖς πένησιν] = οὐχὶ τοῖς οὐδὲν ἔχουσιν, ἀλλὰ τοῖς «μέτρια ἢ μικρὰ κεκτημένοις» (ὡς ἐν §. 102.) ἀντιθέτως τοῦ ἑπομένου οἱ πλούσιοι. — ἐθέλειν] ἐξαρτᾶται ἐκ τοῦ ἀπὸ κοινοῦ ἐννοουμένου δοκοῦσιν, ἀντικείμενον δ' ἔχει τὸ ἀναλῶσαι. — τοῦ μὴ ποιεῖν] ἕνεκα τοῦ μὴ ποιεῖν, ἥτις πρόθεσις καὶ παρεντέθειται ἔν τισι χειρογρ., πλὴν καὶ ἀλλαχοῦ ἐλλείπει συνεχῶς· οἷον ἐν τῷ κ. Τιμοκρ. §. 36. «ἐκτιθέναι κελεύει τοῦ προειδέναι πάντας.» καὶ κ. Κόνων. §. 18. τραύματος πάλιν εἰσὶ γραφαὶ τοῦ μὴ τιτρωσκομένων τινῶν φόνους γίγνεσθαι.» κ. ἀ. — καθυφεῖναι] ἐκφραστικώτατον δυνάμει τῶν προθέσεων (τῆς μὲν κατὰ δηλούσης τὸ κάτω, τῆς δὲ ὑπὸ τὸ λεληθότως) = ἐνδοῦναι πρὸς τὰς τῶν πλουσίων αἰτήσεις. — συμφέροντα — τὸν νόμον] ἄλλως κρίνει περὶ τούτου ὁ Αἰσχίνης. «τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ' ἄν, ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων, καὶ σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυτουσῶν τριηράρχους ὑφῃρημένος.» ἀντίδρασίν τινα τοῦ Αἰσχίνου δεικνύουσι βεβαίως καὶ τὰ τοῦ Δημ. «διτάλαντον δ' εἶχες ἔρανον δωρεὰν παρὰ τῶν ἡγεμόνων τῶν συμμοριῶν ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον (§. 312. ἴδ. καὶ τὴν αὐτόθι σημ.), ἀλλ' ὁποία τις ἦν αὕτη, ἀγνοοῦμεν· ἐκ δὲ τῶν διαφόρων περὶ τούτου εἰκοτολογιῶν πιθανωτέρα φαίνεται ἡ τοῦ A. Schaefer, ὅτι ἡ περὶ ὑφαιρέσεως τριηράρχων κατηγορία τοῦ Αἰσχίνου εἰς τοῦτο ἠδύνατο ἀνάγεσθαι, ὅτι οὐδεὶς τῶν ἀτομικῶς (ἄνευ συνδρομῆς ἑτέρου) εἰσφερόντων ὑπεχρεοῦτο εἰς τοιαύτας λειτουργίας συχνότερον ἢ κατὰ διετίαν, εἰς τὴν τριηραρχίαν δὲ διὰ τρίτου ἔτους ὑπεχρεοῦτό τις, ἐν ᾧ ἐν ταῖς συντελείαις ἡ ὑποχρέωσις ἦν ἐνδελεχής· ἑπομένως ὅσῳ πλέον ἀνελάμβανον οἱ πλουσιώτατοι πλήρεις τριηραρχίας, τόσῳ μᾶλλον ὑφηροῦντο τριήραρχοι κατὰ περιστάσεις. — πεῖραν] πεῖραν τῆς ὠφελείας αὐτοῦ· ἡ δὲ φράσις πεῖραν διδόναι ἀπαντᾶται καὶ κατωτέρω (§. 195.). — πάντα — τὸν πόλεμον — κατὰ τὸν νόμον τὸν ἐμὸν] ἄρα ὁ Αἰσχίνης ἐλυμήνατο τὸν τριηρ. νόμον μετὰ τὸν πόλεμον. — τὸν πόλεμον] ἐννοητέον τὸν πρὸς Φίλιππον ὑπὲρ Βυζαντίων, παραδεχόμενοι ὅτι ὁ νόμος τοῦ Δημ. ἅμα κυρωθεὶς ἐτέθη ἀνυπερθέτως εἰς ἐνέργειαν, καὶ ὅτι ἂν καὶ οὐχὶ κατὰ πάντα τὸν πόλεμον, ὡς διαβεβαιοῖ ὁ ῥήτωρ, ἀλλὰ τοὐλάχιστον διαρκοῦντος ἔτι αὐτοῦ ἐγένοντό τινες διὰ θαλάσσης ἐκστρατεῖαι κατὰ τὸν ἑαυτοῦ νόμον. — τῶν ἀποστόλων] «ἀπόστολοί εἰσιν αἱ τῶν νεῶν ἐκπομπαί.» Ἁρποκρ. — ἱκετηρίαν] «ἱκετηρία καλεῖται ἐλαίας κλάδος στέμματι ἐστεμμένος» [Ἁρποκρ.], ὃν οἱ ἱκέται ἔθετον ἐπὶ τὸν βωμὸν τοῦ ἐφ' ὃν κατέφευγον θεοῦ· ἐν Ἀθήναις δὲ οἱ μὲν τοῦ δήμου ἱκέται ἔθετον ἱκετηρίαν ἐπὶ τὸν βωμὸν τοῦ Ἐλέους ἐν τῇ ἀγορᾷ, ἢ κατὰ Λυκοῦργον (κ. Λεωκρ. §. 93.) «ἐπὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν» ἢ καὶ «ἐπὶ τὸν βωμὸν τῆς μητρὸς τῶν θεῶν» (Αἰσχ. κ. Τιμ. §. 60.), οἱ δὲ τῆς βουλῆς «εἰς τὴν βουλήν» (Αἰσχ. κ. Τιμ. §. 104. — Ἀνδοκ. π. τ. μυστ. §. 44.), ὅσοι δὲ τῶν τριηράρχων ἢ

Μουνυχίᾳ ἐκαθέζετο, οὐχ ὑπὸ τῶν ἀποστολέων ἐδέθη, οὐ τριήρης οὔτ' ἔξω καταλειφθεῖσα ἀπώλετο τῇ πόλει, οὔτ' αὐτοῦ ἀ-
108 πελείφθη οὐ δυναμένη ἀνάγεσθαι. καίτοι κατὰ τοὺς προτέρους νόμους ἅπαντα ταῦτα ἐγίγνετο· τὸ δ' αἴτιον, ἐν τοῖς πένησιν ἦν τὸ λειτουργεῖν· πολλὰ δὴ τὰ ἀδύνατα συνέβαινεν. ἐγὼ δ' ἐκ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους μετήνεγκα τὰς τριηραρχίας· πάντ' οὖν τὰ δέοντα ἐγίγνετο. καὶ μὴν καὶ κατ' αὐτὸ τοῦτο ἄξιός εἰμι ἐπαίνου τυχεῖν, ὅτι πάντα τὰ τοιαῦτα προῃρούμην πολιτεύματα, ἀφ' ὧν ἅμα δόξαι καὶ τιμαὶ καὶ δυνάμεις συνέβαινον τῇ πόλει, βάσκανον δὲ καὶ πικρὸν* καὶ κακόηθες οὐδέν ἐστι
109 πολίτευμα ἐμόν, οὐδὲ ταπεινόν, οὐδὲ τῆς πόλεως ἀνάξιον. ταὐτὸ τοίνυν ἦθος ἔχων ἔν τε τοῖς κατὰ τὴν πόλιν πολιτεύμασι καὶ ἐν τοῖς Ἑλληνικοῖς φανήσομαι· οὔτε γὰρ ἐν τῇ πόλει τὰς παρὰ τῶν πλουσίων χάριτας μᾶλλον ἢ τὰ τῶν πολλῶν δίκαια εἱλόμην, οὔτ' ἐν τοῖς Ἑλληνικοῖς τὰ Φιλίππου δῶρα καὶ τὴν ξενίαν ἠγάπησα ἀντὶ τῶν κοινῇ πᾶσι τοῖς Ἕλλησι συμφερόντων.
110 Ἡγοῦμαι τοίνυν λοιπὸν εἶναί μοι περὶ τοῦ κηρύγματος εἰπεῖν καὶ τῶν εὐθυνῶν· τὸ γὰρ ὡς τὰ ἄριστά τε ἔπραττον καὶ διὰ παντὸς εὔνους εἰμὶ καὶ πρόθυμος εὖ ποιεῖν ὑμᾶς, ἱκανῶς ἐκ τῶν εἰρημένων δεδηλῶσθαί μοι νομίζω. καίτοι τὰ μέγιστά γε τῶν πεπολιτευμένων καὶ πεπραγμένων ἐμαυτῷ παραλείπω, ὑπολαμβάνων πρῶτον μὲν ἐφεξῆς τοὺς περὶ αὐτοῦ τοῦ παρανόμου λόγους ἀποδοῦναί με δεῖν, εἶτα, κἂν μηδὲν εἴπω περὶ τῶν λοι-

ναῦται ᾐδικοῦντο κατέφευγον ἐπὶ τὸ ἱερὸν τῆς Μουνυχίας Ἀρτέμιδος» [Σχολ.]. — Λυσ. κ. Ἀγορ. §. 24.—ὑ π ὸ τ ῶ ν ἀ π ο σ τ ο λ έ ω ν] «ἀ π ο σ τ ο λ εῖ ς δέκα τὸν ἀριθμὸν ἄρχοντες ἦσαν οἱ ἐπὶ τῆς ἐκπομπῆς τῶν πλευσουμένων τριήρων καὶ τῶν ἀναγομένων στόλων ἀποδεδειγμένοι.» Bekk. Ἀνέκδοτα.— κ α τ α λ ε ι φ θ ε ῖ σ α] ὡς κακῶς παρεσκευασμένη καὶ μὴ ταχυναυτοῦσα.— τ ῇ π ό λ ε ι] ᾐθικὴ δοτικὴ = πρὸς βλάβην τῆς πόλεως. — α ὐ τ ο ῦ] ἐν τῷ λιμένι, ἢ ἐν τοῖς ναυπηγίοις ἀντιθέτως τοῦ ἔ ξ ω, ἐπὶ πελάγους.

108. τ ὸ δ' α ἴ τ ι ο ν] οὕτως ἐλλειπτικῶς κεῖται τοῦτο καὶ ἐν τῷ π. τ. ἐν Χερρον. §. 32. — τ ὰ ἀ δ ύ ν α τ α] τὰ καθιστῶντα ἀδύνατον τὸ καλῶς λειτουργεῖν ἀντιθέτως τοῦ ἐπομ. τ ὰ δ έ ο ν τ α. πρβλ. καὶ §. 38. σημ.

109. ἐ ν τ ο ῖ ς Ἑ λ λ η ν ι κ ο ῖ ς] ἐν τοῖς ἀφορῶσι τοὺς λοιποὺς Ἕλληνας ἀντιθέτως τοῦ τ ο ῖ ς κ α τ ὰ τ ὴ ν π ό λ ι ν π ο λ ι τ ε ύ μ α σ ι ν.

110. τ ὰ μ έ γ ι σ τ α — τ ῶ ν π ε π ο λ ι τ ε υ μ έ ν ω ν] τὸν τελευταῖον αὐτοῦ κατὰ τῶν Μακεδόνων ἀγῶνα τὸν διὰ τῆς ἐν Χαιρωνείᾳ δυστυχοῦς ἐκείνης μάχης περατωθέντα. — π α ρ α λ ε ί π ω] ἐνταῦθα τοῦ λόγου παραλεί-

πῶν πολιτευμάτων, ὁμοίως παρ' ὑμῶν ἑκάστῳ τὸ συνειδὸς ὑπάρχειν μοι.

Τῶν μὲν οὖν λόγων, οὓς οὗτος ἄνω καὶ κάτω διακυκῶν ἔλεγε 111
περὶ τῶν παραγεγραμμένων νόμων, οὔτε μὰ τοὺς θεοὺς οἶμαι ὑμᾶς μανθάνειν, οὔτ' αὐτὸς ἠδυνάμην συνεῖναι τοὺς πολλούς· ἁπλῶς δὲ τὴν ὀρθὴν περὶ τῶν δικαίων διαλέξομαι. τοσούτῳ γὰρ δέω λέγειν ὡς οὐκ εἰμὶ ὑπεύθυνος, ἃ νῦν οὗτος διέβαλλε καὶ διωρίζετο, ὥςθ' ἅπαντα τὸν βίον ὑπεύθυνος εἶναι ὁμολογῶ ὧν ἢ δικαχειρίκα ἢ πεπολίτευμαι παρ' ὑμῖν. ὧν μέντοι γε ἐκ τῆς 112
ἰδίας οὐσίας ἐπαγγειλάμενος δέδωκα τῷ δήμῳ, οὐδεμίαν ἡμέραν ὑπεύθυνος εἶναί φημι (ἀκούεις, *Αἰσχίνη;) οὐδ' ἄλλον οὐδένα, οὐδ' ἂν τῶν ἐννέα ἀρχόντων τις ὢν τύχῃ. τίς γάρ ἐστι νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστός, ὥστε τὸν

πει, κατωτέω δὲ (§. 188. κ. έ.) ἀπολογεῖται κατ' ἔκτασιν. — ὁμοίως] ὁμοίως, ὡς καὶ ἂν τὰ ἔλεγον. (πρβλ. §. 39. σημ. — τὸ συνειδὸς ὑπάρχειν μοι] ὅτι ἕκαστος ὑμῶν σύνοιδέ μοι ταῦτα.

111. τῶν — λόγων] ἀντικείμ. τοῦ μανθάνειν (= ἐννοεῖν.) — ἄνω καὶ κάτω] οὕτω καὶ ἐν τῷ κ. Ἀριστοκρ. §. 178. «ὡς ἄνω καὶ κάτω» καὶ «πάντ' ἄνω καὶ κάτω πεποίηκε.» ἀσυνδέτως δὲ παρὰ Πλάτωνι (Θεαίτ. σ. 153.) «καὶ γένοιτ' ἂν τὸ λεγόμενον ἄνω κάτω πάντα.» ἐκ τούτου δὲ τὸ τῆς καθομιλουμένης ἀνάκατα. — ἔλεγε] ἐν τῷ κ. Κτησ. §. 9—48. — περὶ τῶν παραγεγρ. νόμων] «παραγεγραμμένοι νόμοι» εἶναι οἱ οὓς ὁ κατήγορος νέου τινὸς νόμου ἢ ψηφίσματος [θεωρῶν παραβαινομένους] ἐγραφεν ἐκ πλαγίων τοῦ κατηγορουμένου ψηφίσματος [ἐπὶ τοῦ αὐτοῦ σανιδίου (Αἰσχ. κ. Κτησ. §. 200) καὶ ἐξήρτα ἐν τῇ αὐλῇ τοῦ δικαστηρίου πρὸς γνῶσιν τῶν δικαζῶν]· οὕτως ἐν τῷ κατὰ Ἀριστοκρ. §. 63. «οὐ τοίνυν τούτους μόνον τοὺς νόμους — παραβέβηκεν, ἀλλὰ καὶ ἄλλους πολλούς, οὓς οὐ παραγεγράμμεθα διὰ τὸ πλῆθος.» καὶ ἐν §. 51. καὶ 213. D. — ἠδυνάμην] κατὰ τοῦτο ἐξηγητέον καὶ τὸ μανθάνειν εἰς παρατατικόν. — τὴν ὀρθὴν] ἐννοεῖται ὁδόν· παράλειψις συνήθης. — λέγειν] = τοῦ λέγειν, ἀντικείμ. τοῦ δέω. — οὗτος — διωρίζετο] ἐν τῷ κ. Κτησ. §. 17. κ. έ. — δικαχειρίκα] διαχειρίζειν μὲν ἐπὶ τῶν δημοσίων χρημάτων [ὡς παρ' Αἰσχίνῃ «τὰ δημόσια χρήματα διαχειρίζειν» κ. Κτησ. §. 29. 27.], πολιτεύεσθαι δὲ ἐπὶ τῶν πολιτικῶν πράξεων γενικώτερον. W.

112. ὧν μέντοι γε — ὑπεύθ. εἶναί φημι] οὗτός ἐστιν ὁ ἄφυκτος λόγος τοῦ Δημ. (Αἰσχ. κ. Κτησ. §. 17.) ἀνίσχυρος τῳόντι. ὁ Δημ. δὲν ἦτο μὲν ὑπεύθυνος διὰ τὴν ἐπίδοσιν, ἀλλ' ἐν αὐταῖς δὴ ταῖς εὐθύναις ἤθελε δειχθῇ ὡς ἐπέδωκε, πρὶν δὲ δοῦναι τὰς εὐθύνας ἠδύνατο πᾶς τις «ἀμφισβητῆσαι ὡς οὐκ ἐπέδωκεν, ἀλλ' ἀπὸ πολλῶν ὧν ἔχει εἰς τὴν τῶν τειχῶν οἰκοδομίαν μικρὰ κατέθηκε, δέκα τάλαντα εἰς ταῦτα (τὰ τείχη) ἐκ τῆς πόλεως εἰληφώς.» (κ. Κτησ. §. 23. πρβλ. §. 19.). — ἐπαγγειλάμενος] ἀναδεχθεὶς ἑκουσίως. — ἀκούεις Αἰσχίνη;] ὡς ἐὰν εἶχε διισχυρισθῇ οὗτος τὸ ἐναντίον. — οὐδ' ἄν — τις ὢν τύχῃ] οἱ θ'. ἄρχοντες ὑπέκειν-

δόντα τι τῶν ἰδίων καὶ ποιήσαντα πρᾶγμα φιλάνθρωπον καὶ φιλόδωρον τῆς χάριτος μὲν ἀποστερεῖν, εἰς τοὺς συκοφάντας δὲ ἄγειν, καὶ τούτους ἐπὶ τὰς εὐθύνας ὧν ἔδωκεν ἐφιστάναι; οὐδὲ εἷς· εἰ δέ φησιν οὗτος, δειξάτω, κἀγὼ στέρξω καὶ σιωπήσομαι. ἀλλ' οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὗτος συκοφαντῶν, ὅτι ἐπὶ τῷ θεωρικῷ τότε ὧν ἐπέδωκα τὰ χρήματα, «ἐπήνεσεν αὐτὸν» φησὶν «ὑπεύθυνον ὄντα.» οὐ περὶ τούτων γε οὐδενός, ὧν ὑπεύθυνος ἦν, ἀλλ' ἐφ' οἷς ἐπέδωκα, ὦ συκοφάντα. «ἀλλὰ καὶ τειχοποιὸς ἦσθα.» καὶ διά γε τοῦτο ὀρθῶς ἐπῃνούμην, ὅτι τἀνηλωμένα ἔδωκα καὶ οὐκ ἐλογιζόμην. ὁ μὲν γὰρ λογισμὸς εὐθυνῶν καὶ τῶν ἐξετασόντων προσδεῖται, ἡ δὲ δωρεὰ χάριτος καὶ ἐπαίνου δικαία ἐστὶ τυγχάνειν· διόπερ ταῦτ' ἔγραψεν ὀδὶ

113

τος εἰς αὐστηροτέρας εὐθύνας, καθότι καὶ ὁ κύκλος τῶν ἐνεργειῶν αὐτῶν ἦν εὐρύτερος. — φιλόδωρον] ἐλευθέριον. — εἰς τοὺς συκοφάντας] ἐνάρθρως ὡς εἰς ὡρισμένην δῆθεν ἀρχὴν κατ' ἀναλογίαν τοῦ εἰς τοὺς λογιστάς. — ἔδωκεν] =ἐπέδωκεν, ἐδωρήσατο.

113. ἀλλ' οὗτος — ὑπεύθυνον ὄντα] =ἀλλ' οὗτος, διότι ἐπέδωκα τὰ χρήματα, ἐν ᾧ ἦμην τότε ἐπὶ τῷ θεωρικῷ, συκοφαντεῖ καὶ λέγει «ἐπήνεσεν» κτλ. — ἐπὶ τῷ θεωρικῷ] θεωρικὸν (ἀργύριον) ἐλέγετο τὰ χρήματα τὰ τοῖς ἐνδεεστέροις τῶν πολιτῶν ἐν τοῖς Διονυσίοις διανεμόμενα ἐπὶ τῇ εἰς θέατρον εἰσόδῳ, ὕστερον δὲ καὶ ἐπὶ θυσίαις, πομπαῖς καὶ ἑορταῖς (πρβλ. Ολυνθ. Γ'. §. 10. σημ.). «οἱ δ' ἐπὶ τὸ θεωρικὸν τεταγμένοι (ἀρχὴ ἐπὶ τῷ θεωρικῷ)» ἦσαν δέκα τὸν ἀριθμὸν ἐκλεγόμενοι διὰ χειροτονίας κατὰ τὴν ἑορτὴν τῶν μεγάλων Διονυσίων εἷς ἐξ ἑκάστης φυλῆς. — ἐπέδωκα] κατάλληλον τοῦτο καθὸ εὔχρηστον ἰδίως ἐπὶ αὐτοπροαιρέτων προσφορῶν. — ἐπήνεσεν] (=ἐπαινεῖν γέγραφεν) ὁ Κτησιφῶν. — ὁ Δημ. φρονίμως ποιῶν ἐφ' ἑαυτοῦ μὲν μεταχειρίζεται τὴν γενικωτέραν ἔκφρασιν ἐπαινεῖν, ἐπὶ δὲ τῶν ἄλλων τὴν παρ' Αἰσχίνῃ εἰδικωτέραν, καὶ ἐπίφθονον βεβαίως, στεφανοῦν· οὕτως ἐν §. 114. ἐστεφάνωται, ἐστεφανοῦντο, καὶ ἐν §. 117. ἐστεφανοῦτο, ἐπαινοῦμαι. D. — ἀλλὰ καὶ τειχοποιὸς ἦσθα] «καὶ τοῦτο ὡς ἀπὸ Αἰσχίνου.» Σχελ. — τειχοποιὸς] =ἐπιμελητὴς τῆς τῶν τειχῶν ἐπισκευῆς. ὡς ἐν §. 118. — τἀνηλωμένα] τὰ πλέον τῶν δέκα ταλάντων (κ. Κτησ. §. 23. 31.) ἀνηλωμένα, ἃ ὁ μὲν Δημ. κατ' Αἰσχίνην (κ. Κτησ. §. 17.), ὁρίζει εἰς μνᾶς ἑκατόν, ἐν δὲ τῷ παρὰ Ψευδοπλουτάρχῳ (βίοι Γ'. Ρητ. σ. 831.) ψηφίσματι τρία τάλαντα λέγεται ὅτι ἦσαν. — εὐθύνων] «εὐθύναι—» λέγει Ἁρποκρατίων, «ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις. δέκα τὸν ἀριθμὸν ἄνδρες ἦσαν παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες, ἢ ἄρξαντες, ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας.» ἄρα εἶχον ἔργα ταὐτὰ σχεδὸν τοῖς τῶν λογιστῶν (περὶ ὧν ἴδ. §. 117. σημ.). ἐνταῦθα ὅμως ἕνεκα τῆς ταυτότητος τοῦ τύπου δυσδιάκριτον καθίσταται ἐὰν τὸ εὐθύνων ἦναι οὐσιαστικὸν ἀφῃρημένον (ὡς ἐξηγοῦσιν οἱ ἐκδόται), ἢ ἦναι δηλωτικὸν τῆς εἰρημένης ἀρχῆς ἐκ παραλλήλου τῷ καὶ τῶν ἐξετασόντων. τὰ δ' ἐξῆς ἀφῃρημένα χάριτος καὶ ἐπαίνου, μικρὸν συμβάλλουσι πρὸς τοῦτο. — ὁ δὲ] πρὸς πλείονα ἔμφασιν. ὁ Κτησιφῶν.

περὶ ἐμοῦ. ὅτι δ' οὕτω ταῦτα οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ 114
καὶ ἐν τοῖς ὑμετέροις ἤθεσιν ὥρισται, ἐγὼ ῥᾳδίως πολλαχόθεν
δείξω. πρῶτον μὲν γὰρ Ναυσικλῆς στρατηγῶν, ἐφ' οἷς ἀπὸ τῶν
ἰδίων προεῖτο, πολλάκις ἐστεφάνωται ὑφ' ὑμῶν· εἶθ', ὅτε τὰς
ἀσπίδας Διότιμος ἔδωκε καὶ πάλιν Χαρίδημος, ἐστεφανοῦντο·
εἶθ' οὗτος Νεοπτόλεμος πολλῶν ἔργων ἐπιστάτης ὤν, ἐφ' οἷς
ἐπέδωκε, τετίμηται. σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε, εἰ τῷ τινα
ἀρχὴν ἄρχοντι ἢ διδόναι τῇ πόλει τὰ ἑαυτοῦ διὰ τὴν ἀρχὴν
μὴ ἐξέσται, ἢ τῶν δοθέντων ἀντὶ τοῦ * κομίσασθαι χάριν
εὐθύνας ὑρέξει. ὅτι τοίνυν ταῦτ' ἀληθῆ λέγω, λέγε τὰ ψηφί- 115

114. καὶ ἐν τοῖς ὑμετ. ἤθεσιν ὥρισται] διὰ τούτων καὶ ἄλλων τις ἀναμιμνήσκεται τὰ τοῦ Αἰσχίνου ἐν ἄλλῃ περιστάσει εἰρημένα. « λέγει δὲ ὁ φεύγων — οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον ἕτερος τὰ αὐτὰ γράψας ἀπέφυγεν· » οὕτω καὶ ὁ Δημ. ἀντὶ τοῦ ὑποστηρίξαι διὰ λόγων ἰσχυρῶν τὸ ἔννομον τοῦ ὑπεύθυνον ὄντα στεφανοῦσθαι καταφεύγει εἰς τὸ ἔθος τοῦ λαοῦ τοῦ ἐν τῇ ἐρμῇ αὐτοῦ καὶ νόμων καὶ τύπων ἀδιαφοροῦντος, καὶ φέρει παραδείγματα ἄλλων ἐπίσης ὑπευθύνων παρὰ τὸν νόμον στεφανωθέντων. ὀρθότερον δὲ κρίνει περὶ τῶν τοιούτων ἐν τῷ κ. Ἀριστοκρ. §. 99. « ἔμοι γε δοκεῖ καὶ σφόδρα ἀναιδὴς ὁ τοιοῦτος εἶναι λόγος, ὡς γέγονε καὶ πρότερόν τισιν ἄλλοις τοιαῦτα ψηφίσματα. οὐ γὰρ εἴπερ ποτὲ μὴ κατὰ τοὺς νόμους ἐπράχθη, σὺ δὲ τοῦτ' ἐμιμήσω διὰ τοῦτ' ἀποφυγεῖν σοι προσήκει, ἀλλὰ τοὐναντίον πολὺ μᾶλλον ἁλίσκεσθαι διὰ ταῦτα. ὥσπερ γάρ, εἴ τις ἐκείνων ἑάλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας, οὕτως ἂν σὺ νῦν ἁλῷς, ἄλλος οὐ γράψει. » — Ναυσικλῆς] στρατηγὸς τῶν ἐν Ὀλ. ρξ', ά. 352. πρὸς Φωκεῖς ἀποσταλέντων Ἀθηναίων στρατιωτῶν (Διόδ. ΙΣΤ', 37.) καὶ φίλος πρότερον (Ὀλ. ρή, 6'. 347.) Αἰσχίνου (π. παραπρ. §§. 184. 18.), ἔπειτα Δημοσθένους (Βιοτ Ι'. ῥητ. σ. 845.). W. — στρατηγῶν] χρονικὴ μετοχή (= ἐν ᾧ ἔτι ἐστρατήγει), ὡς καὶ ἡ ἑπομένη ὤν. — Διότιμος] υἱὸς Διοπείθους Εὐωνυμεὺς τριήραρχος πρὸ Ὀλ. ρξ'. (Δημ. κ. Μειδ. §. 208.), ἐξαιτηθεὶς ὑπὸ Ἀλεξάνδρου μετὰ Δημοσθένους, Λυκούργου, Ὑπερείδου κλπ. (Ἀρριαν. Ἀνάβ. Α, 10, 4.), καὶ στεφανωθεὶς ὑπὸ τοῦ δήμου (Ὀλ. ρια, γ' 334.) κατὰ πρότασιν τοῦ Λυκούργου (6. Ι'. Ῥητ. σ. 844.). W. — Χαρίδημος] τοῦτον Ὠρείτην ὄντα Ἀθηναῖοι πολίτην ἐποιήσαντο (Δημ. κ. Ἀριστοκρ. §. 213. 65. πλείονα δὲ ἐν §§. 144—183.), καὶ εἶχον στρατηγὸν ἐν Ἑλλησπόντῳ (Διον. Ἁλικ. ἐπιτ. πρ. Δημ. 9.). ἐφυγεύθη δὲ διὰ τὴν ἄκαιρον αὐτοῦ παρρησίαν ὑπὸ Δαρείου τοῦ Κοδομανοῦ (Διόδ. ΙΖ', 30.), πρὸς ὃν εἶχε καταφύγει ἐξαιτούμενος ὑπὸ Ἀλεξάνδρου (Ἀρριαν. Ἀνάβ. Α', 10, 4. 6. — Πλουτ. Δημ. 23.). κατὰ τὸν D. ὅμως ἕτερος οὗτος παρὰ τὸν Ὠρείτην (πόθεν δῆλον;)· ἐπίσης διστάξει καὶ ὁ Winiewski. — Νεοπτόλεμος] υἱὸς Ἀντικλέους Μελιτεύς, στεφανωθεὶς κατὰ πρότασιν τοῦ Λυκούργου (6. Ι'. Ῥητ. σ. 843.). ἴσως ὁ ἐν τῷ κατὰ Μειδίου (§. 215.) σφόδρα πλούσιος. W. ἡ δὲ προτασσομένη οὗτος δίδει ὑπόνοιαν ὅτι παρῆν ἐκεῖ. — πολλῶν ἔργων] δημοσίων. — ἐπιστάτης] «ἐπιστάται» ἐλέγοντο οἱ εἰς διοίκησιν δημοσίων χρημάτων ἢ ἐπιστασίαν δημοσ. ἔργων ἐκτάκτως διοριζόμενοι· ἕτεροι παρὰ τοὺς δύο ἐπιστάτας κληρουμένους τὸν μὲν ἐκ πρυτάνεων, τὸν δὲ ἐκ τῶν προέδρων (Ἰδ. Ἀρποκρ. πρόλ. Αἰσχ. κ. Κτησ. §. 14.).

115. ὅτι τοίνυν] = ὅτε — εἰ-

σματά μοι τὰ τούτοις γεγενημένα αὐτὰ λαβών· λέγε.

ΨΗΦΙΣΜΑΤΑ.

[Ἄρχων Δημόνικος Φλυεύς, βοηδρομιῶνος ἕκτῃ μετ' εἰκάδα, γνώμῃ βουλῆς καὶ δήμου, Καλλίας Φρεάρριος εἶπεν, ὅτι δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Ναυσικλέα τὸν ἐπὶ τῶν ὅπλων, ὅτι Ἀθηναίων ὁπλιτῶν δισχιλίων ὄντων ἐν Ἴμβρῳ καὶ βοηθούντων τοῖς κατοικοῦσιν Ἀθηναίων τὴν νῆσον, οὐ δυναμένου Φίλωνος τοῦ ἐπὶ τῆς διοικήσεως κεχειροτονημένου διὰ τοὺς χειμῶνας πλεῦσαι καὶ μισθοδοτῆσαι τοὺς ὁπλίτας, ἐκ τῆς ἰδίας οὐσίας ἔδωκε καὶ οὐκ εἰσέπραξε τὸν δῆμον, καὶ ἀναγορεῦσαι τὸν στέφανον Διονυσίοις τραγῳδοῖς καινοῖς.

116 ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ. Εἶπε Καλλίας Φρεάρριος, πρυτάνεων λεγόντων βουλῆς γνώμῃ, ἐπειδὴ Χαρίδημος ὁ ἐπὶ τῶν ὁπλιτῶν, ἀποσταλεὶς εἰς Σαλαμῖνα, καὶ Διότιμος ὁ ἐπὶ τῶν ἱππέων, ἐν τῇ ἐπὶ τοῦ ποταμοῦ μάχῃ τῶν στρατιωτῶν τινῶν ὑπὸ τῶν πολεμίων σκυλευθέντων, ἐκ τῶν ἰδίων ἀναλωμάτων καθώπλισαν τοὺς νεανίσκους ἀσπίσιν ὀκτακοσίαις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Χαρίδημον καὶ Διότιμον χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι Παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ γυμνικῷ ἀγῶνι καὶ Διονυσίοις τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως * ἐπιμεληθῆναι θεσμοθέτας, πρυτάνεις, ἀγωνοθέτας.]

117 Τούτων ἕκαστος, Αἰσχίνη, τῆς μὲν ἀρχῆς ἧς ἦρχεν ὑπεύθυνος ἦν, ἐφ' οἷς δ' ἐστεφανοῦτο, οὐχ ὑπεύθυνος. οὐκοῦν οὐδ' ἐγώ·

δῆτε ὅτι.— τούτοις] ἠθικὴ δοτικὴ = πρὸς τιμὴν τούτων (οὕτω καὶ §. 118. «τὸ γραφέν μοι»)· ἐπίσης ἠθικὴ δοτ. εἶναι καὶ ἡ προηγουμένη μοι = πρὸς χάριν μου.— αὐτά] συναπτέον τῷ ψηφίσματα, κατ' ἀντίθεσιν δηλ. τῆς ἀνωτέρω γενικῆς περιλήψεως τῶν ἐν αὐτοῖς περιεχομένων. — τοῖς κατοικοῦσι — τὴν νῆσον] τοῖς ἐν Ἴμβρῳ Ἀθηναίοις κληρούχοις. — τοῦ ἐπὶ τῆς διοικήσεως] ἴδ. §. 38. σημ. ὡς καὶ περὶ τοῦ τὸν ἐπὶ τῶν ὅπλων.

116. εἰς Σαλαμῖνα] τὴν πλησίον τῆς Ἀττικῆς νῆσον κατὰ Boeckh, Spengel κ. ἄ. καὶ οὐχὶ τὴν ἐν Κύπρῳ. ἴδ. τὰ ἐν τῷ παραρτήματι. — ἐπὶ τοῦ ποταμοῦ] τοῦ Βωκάρου, περὶ οὗ ὁ Στράβων (Θ', 394.) «Βώκαρος δ' ἐστὶν ἐν Σαλαμῖνι ποταμός, ὁ νῦν Βωκαλία καλούμενος.» — στρατιωτῶν τινῶν] ὡς τὸ ἀνωτ. (§. 12. ἴδ. καὶ τὴν αὐτ. σημ.) «ὧν ἐνίων,» καὶ τὸ ἐν τῷ Δ. π. παραπρ. (§. 260.) «αὐτῶν ἐνίων.» — Παναθηναίοις τοῖς μεγάλοις] ἴδ. Ἑλλ. ἀρχαιολ. ἐγχειρ. Δ. Ρουσοπ. σ. 223 — 224.

117. οὐκοῦν οὐδ' ἐγώ] τὰ πλήρες· οὐδ' ἐγώ εἰμι ὑπεύθυνος ἐφ'

ταὐτὰ γὰρ δίκαιά ἐστί μοι περὶ τῶν αὐτῶν τοῖς ἄλλοις δήπου. ἐπέδωκα· ἐπαινοῦμαι διὰ ταῦτα, οὐκ ὢν ὧν ἔδωκα ὑπεύθυνος. ἦρχον· καὶ δέδωκά γε εὐθύνας ἐκείνων, οὐχ ὧν ἐπέδωδωκα. νὴ Δι' ἀλλ' ἀδίκως ἦρξα· εἶτα παρών, ὅτε με εἰσῆγον οἱ λογισταί, οὐ κατηγόρεις;

Ἵνα τοίνυν εἰδῆτε, ὅτι αὐτὸς οὗτός μοι μαρτυρεῖ ἐφ' οἷς 118
οὐχ ὑπεύθυνος ἦν ἐστεφανῶσθαι, λαβὼν ἀνάγνωθι τὸ ψήφισμα ὅλον τὸ γραφέν μοι. οἷς γὰρ οὐκ ἐγράψατο τοῦ προβουλεύματος, τούτοις, ἃ διώκει, συκοφαντῶν φανήσεται. λέγε.

ΨΗΦΙΣΜΑ. [Ἐπὶ ἄρχοντος Εὐθυκλέους, πυανεψιῶνος ἐνάτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Οἰνηίδος, Κτησιφῶν Λεωσθένους Ἀναφλύστιος εἶπεν, ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς γενόμενος ἐπιμελητὴς τῆς τῶν τειχῶν ἐπισκευῆς καὶ προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας

οἷς ἐπαινοῦμαι. — ταὐτὰ] συναπτέον τῷ τοῖς ἄλλοις. — ἐπέδωκα — ἦρχον — ἀλλ' ἀδίκως ἦρξα] «ὑποφορά· ὅταν μὴ ἐξῆς προβαίνῃ ὁ λόγος, ἀλλ' ὑποθείς τι ἢ ὡς παρὰ τοῦ ἀντιδίκου ἢ ὡς ἐκ τοῦ πράγματος ἀποκρίνηται πρὸς αὐτόν, ὥςπερ δύο ἀντιλεγόμενα πρόσωπα μιμούμενος.» Τιβέρ. π. Σχημ. σ. 567. οὕτω καὶ ἐν §§. 198. 274. — καὶ δέδωκά γε εὐθύνας] πᾶσα ἀρχὴ ἐν ἡμέραις λ'. ἀπὸ τῆς λήξεως τῆς διοικήσεως αὐτῆς ὤφειλεν ἀπολογισμὸν δοῦναι εἰς τοὺς λογιστάς (δέκα ἄρχοντας κληρουμένους κατ' ἔτος ὑπὸ τῆς βουλῆς, «οἱ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται — ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες.» Ἁρποκρ.), οὕτω καὶ Δημοσθένης ἐν καιρῷ τῷ δέοντι εἶχε δώσει τῶν ἐπιστασιῶν αὐτοῦ τὰς εὐθύνας, προνοήσας μάλιστα ἵνα μηδὲν ἐπιλήψιμον εὑρεθῇ ἐν αὐταῖς, ὅπερ ἠδύνατο κατηγορίας ἀφορμὴν δοῦναι τῷ ἤδη ὑπομοσαμένῳ (ἴδ. §. 103. σημ. ὑπωμοσία) Αἰσχίνῃ· ὅθεν καυχᾶται τώρα ὅτι ἔδωκε τὰς εὐθύνας ὧν ἦρξε, καὶ ἐπιπλήττει τὸν Αἰσχ. ὅτι δὲν κατηγόρησεν αὐτοῦ τότε. πλὴν ὅσῳ ἀληθῆ καὶ ἂν ἦναι ταῦτα, οὐδὲν ἧττον ὁ Αἰσχίνης ὅτε κατηγόρησε τὸ ψήφ. τοῦ Κτησ. (ὑπωμόσατο) εἶχε τὸ δίκαιον ὑπὲρ αὐτοῦ, καθόσον δὲν εἶχεν ἔτι δώσει τὰς εὐθύνας ὁ Δημ. — εἰσῆγον οἱ λογισταί] οἱ λογισταὶ μετὰ τὴν ἐπιθεώρησιν τοῦ λογισμοῦ εἰσῆγον αὐτὸν πρὸς ἐπικύρωσιν εἰς τοὺς ἐπὶ τούτῳ κληρουμένους δικαστὰς παραλαμβάνοντες μεθ' ἑαυτῶν καὶ τὸν δόντα τὰς εὐθύνας, ἔνθα τοῦ τῶν λογιστῶν κήρυκος κηρύξαντος «τὸ πάτριον καὶ ἔννομον κήρυγμα τίς βούλεται κατηγορεῖν» (Αἰσχ. κ. Κτησ. §. 23.), εἰ μὲν παρίστατό τις κατήγορος καὶ ἐκρίνετο ἔνοχος ὁ τὰς εὐθύνας δοὺς ἐτιμωρεῖτο, εἰ δὲ μή, ἐπεκύρουν (ἐπεσημαίνοντο ὡς ἐν §. 250.) τὰς εὐθύνας οἱ δικασταὶ καὶ ἀπελύετο ἐντίμως ὡς ἀνεύθυνος ὁ ἕως τότε ὑπεύθυνος.

118. τὸ γραφέν μοι] μοι ἠθικὴ δοτική. πρβλ. §. 115. σημ. — οἷς γὰρ — φανήσεται] τούτοις γὰρ [τοῖς κεφαλαίοις] τοῦ προβουλεύματος, οἷς (καθ' ἕλξιν ἀντὶ ἃ) οὐκ ἐγράψατο (Αἰσχίνης), φανήσεται συκοφαντῶν ἃ διώκει. — τοῦ προβουλεύματος] ἴδ. §. 9. σημ. — ἐνάτῃ ἀπιόντος] τῇ κϑ'. — προσαναλώσας] πρὸς τοῖς ἀπὸ τῆς πόλεως χρήμασιν ἀναλώσας (καὶ ἀπὸ τῆς ἰδ.

τρία τάλαντα ἐπέδωκε ταῦτα τῷ δήμῳ, καὶ ἐπὶ τοῦ θεωρικοῦ καταστα θεὶς ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυλῶν θεωρικοῖς ἑκατὸν μνᾶς εἰς θυσίας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιᾶ ἀρετῆς ἕνεκα καὶ καλοκἀγαθίας ἧς ἔχων διατελεῖ ἐν παντὶ καιρῷ εἰς τὸν δῆμον τὸν Ἀθηναίων, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν * στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι τὸν ἀγωνοθέτην.]

119 Οὐκοῦν ἃ μὲν ἐπέδωκα, ταῦτ' ἐστίν, ὧν οὐδὲν σὺ γέγραψαι· ἃ δέ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων γενέσθαι μοι, ταῦτ' ἔσθ' ἃ διώκεις. τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ. ὁ δὲ παμπόνηρος ἄνθρωπος καὶ θεοῖς ἐχθρὸς καὶ βάσκανος ὄντως ποῖός τις ἂν εἴη πρὸς θεῶν; οὐχ ὁ τοιοῦτος;

120 Καὶ μὴν περὶ τοῦ γ' ἐν τῷ θεάτρῳ κηρύττεσθαι, τὸ μὲν μυριάκις μυρίους κεκηρῦχθαι παραλείπω καὶ τὸ πολλάκις αὐτὸς ἐστεφανῶσθαι πρότερον. ἀλλὰ πρὸς θεῶν οὕτω σκαιὸς εἶ καὶ ἀναίσθητος, Αἰσχίνη, ὥστ' οὐ δύνασαι λογίσασθαι, ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου ἂν ἀναρρηθῇ, τοῦ δὲ τῶν στεφανούντων ἕνεκα συμφέροντος ἐν τῷ θε-

οὐσίας). — θεωρικοῖς] ὁ B. κ.Ρ. προτιμᾶ καὶ ἐνταῦθα τὸ ἐν βίοις Ι'. Ῥητόρων (δ. Δημ.) θεωροῖς εἰκάζων ὅτι κατ' ἀναλογίαν τῶν εἰς θεωρίας (εἰδικὰς ἀποστολὰς εἰς Δῆλον, Δελφοὺς κ. ἀ. πρὸς προσφορὰν θυσιῶν ὑπὲρ τῆς ἀποστελλούσης πόλεως) πεμπομένων ἐξελέγοντο, ἴσως, καὶ διὰ τὰς ἐν τῇ πόλει δημοσίας ἑορτὰς καὶ πομπὰς θεωροὶ ἐκ πασῶν τῶν φυλῶν, ἵνα ἐν ταῖς τελεταῖς ἀντιπροσωπεύωσι τὰς φυλὰς καὶ φροντίζωσι τὰ τῶν θυσιῶν. ἀποδεικνύει δὲ τὴν γνώμην τοῦ Οὐλφίου, ὅτι θεωρικοὶ = οἱ πτωχοὶ οἱ ἐκ τοῦ θεωρικοῦ λαμβάνοντες. — εἰς θυσίας] εἰς ἐκτέλεσιν θυσιῶν.

119. ἡ βουλή] «ἀντὶ τοῦ εἰπεῖν ὁ Κτησιφῶν, — ἵνα φαίνηται [Αἰσχίνης] τῆς βουλῆς, οὐ Κτησιφῶντος, κατηγορῶν.» Οὐλπ. — τὸ λαβεῖν = παρανόμων γράφῃ] εἰς τοιοῦτον συμπέρασμα φθάνει ὁ κατὰ Δημοσθένην σκεπτόμενος. ἐν τούτοις ὁ Αἰσχ. κατηγόρησεν ὡς παρανόμου οὐχὶ τὸ χάριν ἀποδοῦναι, ἀλλὰ τὸ ἄκαιρον αὐτοῦ, ἤτοι τὸ ὑπεύθυνον ὄντα στεφανοῦσθαι. — ἀποδοῦναι] «προσεκτέον — τῷ ἀποδοῦναι] ὡς εὐκαίρως εἰρημένῳ, ἵνα φαίνηται χρέος ἀποπληροῦσα ἡ βουλή.» Οὐλπ.

120. πολλάκις — ἐστεφανῶσθαι] ἴδ. §. 83. σημ. καὶ κατωτ. §. 223. — αὐτὸς] ἐγὼ αὐτός, κατ' ἀντιδιαστολὴν τοῦ μυριάκις μυρίους. — πρότερον] πρὸ τοῦ ψηφίσματος τοῦ Κτησιφῶντος. =

ἀτρῳ γίγνεται τὸ κήρυγμα; οἱ γὰρ ἀκούσαντες ἅπαντες εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν προτρέπονται, καὶ τοὺς ἀποδιδόντας τὴν χάριν μᾶλλον ἐπαινοῦσι τοῦ στεφανουμένου· διόπερ τὸν νόμον τοῦτον ἡ πόλις γέγραφεν. λέγε δ' αὐτόν μοι τὸν νόμον λαβών.

ΝΟΜΟΣ. [Ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφάνων ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἢ ἡ βουλὴ στεφανοῖ· τούτους δ' ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις ἀναγορεύεσθαι.]

Ἀκούεις, Αἰσχίνη, τοῦ νόμου λέγοντος σαφῶς, πλὴν ἐάν τι- 121
νας ὁ δῆμος ἢ ἡ βουλὴ * ψηφίσηται· τούτους δὲ ἀναγορευέτω. τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις; ἀλλ' οὐδ' αἰσχύνῃ φθόνου δίκην εἰσάγων, οὐκ ἀδικήματος οὐδενός, καὶ νόμους μεταποιῶν, τῶν δ' ἀφαιρῶν μέρη, οὓς ὅλους δίκαιον ἦν ἀναγιγνώσκεσθαι τοῖς γε ὁμωμοκόσι κατὰ τοὺς νόμους ψηφιεῖσθαι; ἔπειτα τοιαῦτα ποιῶν λέγεις ἃ δεῖ προσεῖναι τῷ δημο- 122
τικῷ, ὥσπερ ἀνδριάντα ἐκδεδωκὼς κατὰ συγγραφήν, εἶτ' οὐκ

οἱ γὰρ ἀκούσαντες — προτρέπονται] φράσις ὡσεὶ τυπική, ὅθεν καὶ συνεχῶς ἀπαντωμένη, οἷον ἐν τῷ πρ. Λεπτ. §. ὃ. 64. καὶ κ. Τιμοκρ. §. 216. ἀλλὰ καὶ ἐν ἐπιγραφαῖς· οἷον ἐν Corp. inscr. gr. 100. «ὅπως ἂν καὶ οἱ ἄλλοι πάντες φιλοτιμῶνται εἰς τοὺς δημότας, εἰδότες ὅτι χάριτας ἀπολήψονται παρὰ τῶν δημοτῶν ἀξίας τῶν εὐεργετημάτων.» καὶ 108. «ὅπως ἐφαμιλλον ἦ πᾶσι τοῖς βουλομένοις φιλοδοξεῖν, εἰδόσιν ὅτι καταξίως τιμηθήσονται τῶν εὐεργεσιῶν.» — μᾶλλον — τοῦ στεφανουμένου] = μᾶλλον ἢ τὸν στεφανούμενον.

121. ἀναγορευέτω] ὁ κήρυξ. — ἐλλεβορίζεις] καθαρίζεις δι' ἑλλεβόρου. τὸν ἑλλέβορον σκάρφην κοινῶς λεγόμενον μετεχειρίζοντο ὡς καθάρσιον ἐν πολλαῖς ἀρρωστίαις καὶ ἐν ταῖς τοῦ ἐγκεφάλου· οὕτω παριστάνει τὸν Αἰσχ. ὡς παραφρονοῦντα. Β. — φθόνου δίκην — οὐκ ἀδικήματος] κατηγορεῖν δηλ. ὑπὸ φθόνου, οὐχὶ διὰ κανὲν ἀδίκημα. Β. — τοῖς γε ὠμοκόσι — ψηφιεῖσθαι] ἤτοι τοῖς δικασταῖς. πρβλ. Δημ. π. παραπρ. §. 179. — πρ. Λεπτ. §. 118. — κ. Ἀριστοκρ. §. 101. κ. ἀ. συνεχῶς.

122. λέγεις — τῷ δημοτικῷ] ἐν τῷ κ. Κτησ. §. 168—171. W. — ἀνδριάντα ἐκδεδωκὼς] ὡσανεὶ προστάξας ἀνδριαντοποιῷ ἀνδριάντα ποιῆσαι.» Σχολ. — κατὰ συγγραφήν] κατ' ἔγγραφον συνθήκην· ὅτι δὲ τοιαῦται συνθῆκαι ἐγίνοντο συνήθως δῆλον ἐκ τῶν παρ' [Ἀνδοκίδῃ] κ. Ἀλκιβ. §. 17. λόγων Ἀγαθάρχου τοῦ γραφέως «ὡς οὐκ ἂν δύναιτο ταῦτα πράττειν ἤδη διὰ τὸ συγγρα-

ἔχοντα ἃ προσῆκεν ἐκ τῆς συγγραφῆς κομιζόμενος, ἢ λόγῳ τοὺς δημοτικούς, ἀλλ' οὐ τοῖς πράγμασι καὶ τοῖς πολιτεύμασι γιγνωσκομένους. καὶ βοᾷς ῥητὰ καὶ ἄρρητα ὀνομάζων, ὥς περ ἐξ ἁμάξης, ἃ σοὶ καὶ τῷ σῷ γένει πρόσεστιν, οὐκ ἐμοί.
123 καίτοι καὶ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι. ἐγὼ λοιδορίαν κατηγορίας τούτῳ διαφέρειν ἡγοῦμαι, τῷ τὴν μὲν κατηγορίαν ἀδικήματ' ἔχειν, ὧν ἐν τοῖς νόμοις εἰσὶν αἱ τιμωρίαι, τὴν δὲ λοιδορίαν βλασφημίας, ἃς κατὰ τὴν αὐτῶν φύσιν τοῖς ἐχθροῖς περὶ ἀλλήλων συμβαίνει λέγειν. οἰκοδομῆσαι δὲ τοὺς προγόνους ταυτὶ τὰ δικαστήρια ὑπείληφα οὐχ ἵνα συλλέξαντες ὑμᾶς εἰς ταῦτα ἀπὸ τῶν ἰδίων κακῶς τὰ ἀπόρρητα λέγωμεν ἀλλήλους, ἀλλ'
124 ἵνα ἐξελέγχωμεν, ἐάν τις ἠδικηκώς τι τυγχάνῃ τὴν πόλιν. ταῦτα τοίνυν εἰδὼς Αἰσχίνης οὐδὲν ἧττον ἐμοῦ πομπεύειν ἀντὶ τοῦ κατηγορεῖν εἵλετο. οὐ μὴν οὐδ' ἐνταῦθα ἔλαττον ἔχων δίκαι-

φὰς ἔχειν παρ' ἑτέρων.» W. — ἢ τοὺς δημοτικοὺς — γιγνωσκομένους] αἰτιατικὴ ἀπόλυτος ἀντὶ γενικῆς ἀπολ. τιθεμένη μετὰ τοῦ ὡς, ὥς περ κτλ. B. κ. P. οὕτω καὶ ἐν §. 276. «ὡς — ταῦθ' οὕτως ἔχοντα, καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους.» — ῥητὰ καὶ ἄρρητα] = σχεδὸν τῷ παρ' ἡμῖν «ἄρρατα θέματα» (= ἄρρητα ἀθέμιτα), καὶ τῷ λατινικῷ «dicenda tacenda.» Hor. Ep. 1, 7, 5. οὕτω καὶ ἐν τῷ κ. Μειδ. §. 79. «ῥητὰ καὶ ἄρρητα κακὰ ἐξεῖπον.» καὶ κ. Ἀνδροτ. §. 61. — ὥς περ ἐξ ἁμάξης] «ἐπὶ τῶν ἀπαρακαλύπτως σκωπτόντων. Ἀθήνησι γὰρ ἐν τῇ τῶν Χοῶν ἑορτῇ [τῇ ϛ'. ἡμέρᾳ τῶν Ἀνθεστηρίων] οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας ἔσκωπτόν τε καὶ ἐλοιδέρουν· τὸ δ' αὐτὸ κἀν τοῖς Ληναίοις ὕστερον ἐποίουν.» Σουΐδας.

123. καίτοι καὶ τοῦτο] οὕτως ἐλλειπτικῶς κεῖται καὶ ἐν τῷ κ. Φιλ. Α'. §. 12. ἀναπληρωτέον διὰ τοῦ φαίην ἂν ἢ ἐνθυμητέον ἢ ἄλλου τοιούτου. — τούτῳ] ἀντὶ τῷδε = τῷ ἑξῆς. — ταυτὶ τὰ δικαστήρια] τὰ πλεῖστα τῶν δικαστηρίων ἔκειντο ἐν τῇ ἀγορᾷ· πρβλ. Λυσ. ὑ. τ. Ἀριστοφ. χρημ. §. 55. ὅθεν καὶ τὸ δεικτικὸν ταυτί. — ἀπὸ τῶν ἰδίων] ἀπὸ τῶν ἰδιαιτέρων ἡμῶν προσωπικῶν ἐρίδων καὶ ἀντιπαθειῶν. ἡ δ' ἀπὸ ἀφορμὴν δηλοῖ. — κακῶς λέγωμεν] = κακολογῶμεν. — τὰ ἀπόρρητα] «ἀπόρρητα τὰ ἀπειρημένα ἐν τοῖς νόμοις. — τίνα δὲ ἦν ἅπερ ἀπείρηται λέγειν εἰς ἀλλήλους δεδήλωκε Λυσίας ἐν τῷ κ. Θεομνήστου [§. 6 κ. ἑ.].» Ἁρποκρ. ὅθεν καὶ κακηγορίας δίκη, καὶ νόμος περὶ τῆς κακηγορίας «ὃς κελεύει τοὺς λέγοντάς τι τῶν ἀπορρήτων πεντακοσίας δραχμὰς ὀφείλειν.» Ἰσοκρ. κ. Λοχίτου §. 3. — ἀλλήλους] ἀντικείμ. τοῦ κακῶς λέγωμεν, ὡς καὶ τὸ τὰ ἀπόρρητα (οἷον καὶ τὸ τοῦ Εὐριπίδου (Φοιν. 200.) «ἡδονὴ δέ τις γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλας λέγειν.»)· αἰνίττεται δὲ διὰ τούτων ὁ Δημ. τὰ τοῦ Αἰσχίνου κ. Κτησ. §. 171. κ. ἑ. W.

124. ταῦτα — εἵλετο] ἡ σύνταξις· καίτοι εἰδὼς ταῦτα Αἰσχίνης οὐδὲν ἧττον εἵλετο ἀντὶ τοῦ κατηγορεῖν ἐμοῦ πομπεύειν. — πομπεύειν] «ἐν Ἀθήναις τοῖς Διονυσίοις — διελοιδοροῦντο ἀλλήλοις, καὶ τοῦτο ἐκαλεῖτο πομπεύειν.» Ἑρμογ. π. μεθ. δεινότ. σ. 403. ἴδ. καὶ §. 11. σημ. — ἐνταῦθα] ἐν τῷ κακῶς λέγειν ἀπὸ τῶν ἰδίων. B. κ. P. — ἔλαττον ἔχων] ὀλιγώτε-

ὅς ἐστιν ἀπελθεῖν. ἤδη δ' ἐπὶ ταῦτα πορεύσομαι, τοσοῦτον αὐτὸν ἐρωτήσας. πότερόν σέ τις, Αἰσχίνη, τῆς πόλεως ἐχθρὸν ἢ ἐμὸν εἶναι φῇ; ἐμὸν δῆλον ὅτι. εἶτα, οὗ μὲν ἦν παρ'* ἐμοῦ δίκην κατὰ τοὺς νόμους ὑπὲρ τούτων λαβεῖν, εἴπερ ἠδίκουν, ἐξέλειπες, ἐν ταῖς εὐθύναις, ἐν ταῖς γραφαῖς, ἐν ταῖς ἄλλαις κρίσεσιν· οὗ δ' 125
ἐγὼ μὲν ἀθῶος ἅπασι, τοῖς νόμοις, τῷ χρόνῳ, τῇ προθεσμίᾳ, τῷ κεκρίσθαι περὶ πάντων πολλάκις πρότερον, τῷ μηδεπώποτε ἐξελεγχθῆναι μηδὲν ὑμᾶς ἀδικῶν, τῇ πόλει δ' ἡ πλέον ἢ ἔλαττον ἀνάγκη τῶν γε δημοσίᾳ πεπραγμένων μετεῖναι τῆς δόξης,

ρον μερίδιον[λοιδοριῶν] ἔχων, ἠδικημένος. B. — ἐπὶ ταῦτα] τὰ λοιδορήματα. — πορεύσομαι] ὅπερ ἐν §. 38. εἶπε βαδιοῦμαι. ἴδ. καὶ §. 4. σημ. — τοσοῦτον ἐρωτήσας] ὅμοιον τῷ ἐν §. 60. «τοσοῦτον ὑπειπών.» — πότερόν σέ τις — προσποιῇ] ἔντεχνος τῷ ὄντι ἀποστροφή, δι' ἧς περαίνει ὁ ῥήτωρ τὸ β'. γενικὸν κεφάλαιον τοῦ λόγου αὐτοῦ (ἴδ. §. 11. σημ. πρβλ. §. 52. σημ.). ὁ δ' Οὐλπιανὸς σημειοῖ· «μέλλων τὰς λοιδορίας ἐργάσασθαι (κατασκευάσαι) προοδοποιεῖ ἑαυτῷ τὴν παρὰ τῶν καθημένων εὐμένειαν, ἐχθρὸν ἀποφαίνων τῆς πόλεως οὐχ ἑαυτοῦ τὸν Αἰσχίνην, ἵν' οὕτως ὅπερ ἂν εἴπῃ βλασφημιῶν αὐτὸν ἡδέως ἀκούσωσιν, ὡς ἐχθροῦ κοινοῦ βαλλομένου.» ἐχθρὸν τῆς πατρίδος παριστᾷ τὸν Αἰσχίνην ὁ ῥήτωρ καὶ κατωτέρω πολλαχοῦ· οἷον ἐν §§. 131—140. 197—198. 263—266. κ. ἀ. μάλιστα δὲ ἀπὸ §. 281. κ. ἑ. μέχρι τέλους ἀντιπαραβάλλων τῇ δυσμενείᾳ αὐτοῦ τὴν ἑαυτοῦ εὔνοιαν. — οὗ μὲν — οὗ δ'] ἔνθα μὲν — ἔνθα δέ. — ὑπὲρ τούτων] τῶν παρόντων ὡς ἀντιπροσώπων ὅλων τῶν πολιτῶν. — ἐξέλειπες] ἱστορικὸς παρατατικὸς ἀντὶ ἀορίστου = ἀφῆκες τοῦτο τὸ παρ' ἐμοῦ δίκην λαβεῖν. — ἐν ταῖς εὐθύναις — κρίσεσιν] ἐπεξήγησις τοῦ οὗ μέν· καὶ «εὔθυνα μὲν ἦν [ὁ λογισμὸς] ὧν δημοσίᾳ τις ἐπιστεύθη, γραφὴ δὲ κυρίως ἡ ἐπὶ τῶν παρανόμων [οὕτω σημειοῖ καὶ ὁ B. κ. P.], κρίσις δὲ ἡ ἐπὶ ἐγκλήματος.» Σχολ.

125. ἀθῶος] ἐννοεῖται κατ' ἀναλογίαν τὸ εἰμί. — τοῖς νόμοις — ἐξελεγχθῆναι] ἐπεξήγησις τοῦ «ἅπασι.» — τῷ χρόνῳ, τῇ προθεσμίᾳ] ἡ προθεσμία ὑπάγεται εἰς τὸ γενικώτερον χρόνῳ, = διὰ τοῦ ἐπὶ τούτοις παρελθόντος χρόνου, καὶ (ὁριστικώτερον) διὰ τῆς περὶ τούτων ὡρισμένης προθεσμίας. ὁ προτείνας νόμον εἴτε ψήφισμά τι ἐπὶ ἓν μόνον ἔτος ἦν ὑπεύθυνος περὶ αὐτοῦ· μετὰ ταῦτα δὲ ἀκίνδυνος ἦν ὁ ἀγών (Δημ. πρ. Λεπτ. §. 144.). — τῷ κεκρίσθαι — πρότερον] ἴδ. §. 249. καὶ 224. πρβλ. πρ. Λεπτ. §. 147. — ὑμᾶς ἀδικῶν] οὐχὶ τοὺς περὶ τὸν Αἰσχίνην, πρὸς ὃν ἐν τούτοις ἀποτείνεται, ἀλλὰ τοὺς παρόντας καὶ ἀκροωμένους Ἀθηναίους· τοιαύτη δ' ἔξαφνος ἀλλαγὴ προσώπων συνήθης τῷ Δημ. οὕτως ἐν Ὀλυνθ. Α. §. 8. «ὅπερ — πρότερον πεπόνθατε. εἰ γάρ, ὃθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες —, τὴν αὐτὴν παρείχόμεθ' ἡμεῖς ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν —, εἶχετ' ἂν Ἀμφίπολιν.» ἴδ. καὶ §§. 17. 27. κ. ἀ. — τῇ πόλει — μετεῖναι τῆς δόξης] μέτεστί μοί τινος, ἢ ὡς ἐν §. 128. ἔξιμοι μετουσία τινὸς = μετέχω τινός. — ἐνταῦθα ἀπήντηκας] πάλιν τῷ Αἰσχίνῃ ἀποτείνεται (= ἐνταῦθα παρουσιάσθης κατήγορος; πρβλ. §. 13. «οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπήντηκώς ἐμοί,» καὶ τὴν αὐτόθι σημ.). — τῇ πόλει δ' ἀνάγκη — μετεῖναι τῆς δόξης] ἡ πόλις ἔμελλε κατὰ τὸ μᾶλλον καὶ ἧττον

ἐνταῦθα ἀπήντηκας; ὅρα μὴ τούτων μὲν ἐχθρὸς ἦς, ἐμοὶ δὲ προσποιῇ.

126 Ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι δέδεικται, δεῖ δέ με, ὡς ἔοικε, καίπερ οὐ φιλολοίδορον ὄντα, διὰ τὰς ὑπὸ τούτου βλασφημίας εἰρημένας ἀντὶ πολλῶν καὶ ψευδῶν αὐτὰ τἀναγκαιότατ' εἰπεῖν περὶ αὐτοῦ, καὶ δεῖξαι τίς ὢν καὶ τίνων ῥᾳδίως οὕτως ἄρχει τοῦ κακῶς λέγειν καὶ λόγους τινὰς διασύρει, αὐτὸς εἰρηκὼς ἃ τίς οὐκ ἂν ὤκνησε τῶν μετρίων ἀνθρώπων
127 φθέγξασθαι; εἰ γὰρ Αἰακὸς ἢ Ῥαδάμανθυς ἢ Μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος

μετασχεῖν τῆς τῶν δημοσίᾳ πεπραγμένων δόξης στεφανοῦσα τὸν Δημ., καθότι οὕτως ἐφαίνετο ὅτι ἀμείβει τοὺς ἀγαθοὺς ἄνδρας. πρβλ. §. 120. καὶ τὴν αὐτ. σημ.— τ ο ύ τ ω ν μ ὲ ν] «οὐκέτι λέγει τὴν πόλιν, ἀλλὰ τοὺς δικαστάς—.αὐτῶν γὰρ ἐδεῖτο τῆς εὐνοίας, ἵνα θηράσῃ μὲν τὴν ψῆφον οὕτως, ἐγείρῃ δὲ τῷ ἀντιδίκῳ τὸν πόλεμον (=τὴν ἔχθραν). διὸ καὶ θαρρῶν εὐθὺς ἐπάγει· ἐ π ε ι δ ὴ — ἡ μ ὲ ν ε ὐ σ ε β ὴ ς κτλ.» Οὐλπ. — π ρ ο σ π ο ι ῇ] = προσποιῇ δὲ εἶναι ἐχθρὸς ἐμοί.

126. ἐ π ε ι δ ὴ —] «ἔστι δὲ—ἑτέρα τις μέθοδος ἐνδιαθέτου λόγου καὶ μάλιστα τοῦ δοκοῦντος σὺν ὀργῇ προϊέναι τὸ μηδὲ τὰς ἀκολουθίας σώζειν τῶν τοῦ λόγου σχημάτων, ἀλλ' οἷον ἐξίστασθαι δοκεῖν ὑπὸ τοῦ πάθους, οἷόν ἐστι καὶ τὸ ἐ π ε ι δ ὴ τ ο ί ν υ ν — ὄ ν τ α καὶ τὰ ἑξῆς πάντα μέχρι τοῦ ο ὐ κ ἀ π ο ρ ῶ ν [§. 129.]. οὐδαμοῦ γὰρ ἀποδέδοται τὸ ἀκόλουθον τῷ σχήματι, ἀλλ' ἐπιπολὺ τὸ οἷον ἀκρόχολον. διὸ καὶ μᾶλλον ἔμψυχος καὶ ἀληθὴς ὁ λόγος εἶναι δοκεῖ.» Ἑρμογ. π. ἰδ. σ. 342. — ἡ μ ὲ ν ε ὐ σ ε β ὴ ς — ἅ π α σ ι] δέδεικται ἅπασιν ἐκ τῶν εἰρημένων ποία ἐστὶν ἡ εὐσυνείδητος καὶ δικαία ψῆφος, ἣν ὀφείλουσιν οἱ δικασταὶ διδόναι. — δ ε ῖ δ έ μ ε, ὡ ς ἔ ο ι κ ε,] «αἱ μετ' ἐνδοιάσεως ἐπικρίσεις (εἰσὶν) ἠθικαὶ (= ἦθος ἐμποιοῦσαι), καὶ ὅλως πᾶσα ἐνδοίασις ἠθικώτερον ποιεῖ τὸν λόγον.» Ἑρμογ. π. ἰδ. σ. 228. — β λ α σ φ η μ ί α ς ε ἰ ρ η μ έ ν α ς] ἴδ. §. 33. «οἱ παρὰ τούτου λόγοι—ῥηθέντες» καὶ τὴν αὐτ. σημ. — ἀ ν τ ὶ π ο λ λ ῶ ν κ α ὶ ψ ε υ δ ῶ ν] ἃ οὗτος ἐξέφρασε κατ' ἐμοῦ.— α ὐ τ ὰ] αὐτὰ καθ' ἑαυτά, αὐτὰ καὶ μόνα. ἡ αὐτὴ φράσις καὶ ἐν §. 168. πρβλ. καὶ §. 192. «ἡ δὲ προαίρεσις αὐτή.» — ἄ ρ χ ε ι τ ο ῦ κ α κ ῶ ς λ έ γ ε ι ν] = πρῶτος αὐτὸς κακολογεῖ.—κ α ὶ λ ό γ ο υ ς — δ ι α σ ύ ρ ε ι] ἐν τῷ κ. Κτησ. §. 72. καὶ 166. W.— α ὐ τ ὸ ς] ἐπιταγματικῶς· = οὗτος αὐτὸς (ἀτός του).—τ ῶ ν μ ε τ ρ ί ω ν] τῶν τὸ ἀπαιτούμενον (σωστὸν) μέτρον ἀρετῆς ἐχόντων. πρβλ. καὶ §. 10. σημ.

127. Α ἰ α κ ὸ ς ἢ Ῥ α δ ά μ α ν θ υ ς ἢ Μ ί ν ω ς] παροιμιωδῶς, ἤτοι ἀνὴρ δικαιότατος, ἐποῖοι φημίζονται οὗτοι. — σ π ε ρ μ ο λ ό γ ο ς] «εἰδός ἐστιν ὀρνέου λωβώμενον τὰ σπέρματα· ἐξ οὗ οἱ Ἀττικοὶ σ π ε ρ μ ο λ ό γ ο υ ς ἐκάλουν τοὺς περὶ ἐμπόρια καὶ ἀγορὰς διατρίβοντας, διὰ τὸ ἀναλέγεσθαι τὰ ἐκ τῶν φορτίων, φασίν, ἀναρρηγνύοντα καὶ διαζῆν. ἐκ τούτων δὲ τὴν αὐτὴν ἐλάγχανον κλῆσιν καὶ οἱ οὐδενὸς λόγου ἄξιοι.» Εὐστάθ. εἰς Οδύσσ. σ. 1847.—π ε ρ ί τ ρ ι μ μ α ἀ γ ο ρ ᾶ ς] οὕτω καὶ παρ' Ἀριστοφάνει (Νεφ. 447.) «περίτριμμα δικῶν.» καὶ ἐν τοῖς παρὰ Βεκκέρῳ Ἀνεκδότοις (39,32.) «περίτριμμα πραγμάτων, οἷον τετριμμένον ἱκανῶς πράγμασιν.» κατὰ τοῦτο ἄρα π ε ρ ί τ ρ ι μ μ α ἀ γ ο ρ ᾶ ς = περιτετριμμένος ἐν ἀγορᾷ (συκοφάντης). — ὄ λ ε θ ρ ο ς] ἐπέχει τόπον ἐπιθέτου· οὕτως ἐν τῷ κ. Φιλ. Γ'. §. 31. «ὁ λέ-

γραμματεύς, οὐκ ἂν αὐτὸν οἶμαι ταῦτ' εἰπεῖν, οὐδ' ἂν οὕτως ἐπαχθεῖς λόγους πορίσασθαι, ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα ὦγῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ τὰ τοιαῦτα, καὶ πάλιν σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον, ἢ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διαγιγνώσκεται· ταῦτα γὰρ δήπουθεν ἠκούετ' αὐτοῦ λέγοντος. σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ 128
τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων τίς διάγνωσις; πόθεν ἢ πῶς ἀξιωθέντι; ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι, ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς εἴποι περὶ αὐτοῦ τοιοῦτον οὐδέν, ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυθριάσειε, τοῖς δ' ἀπολειφθεῖσι μὲν ὥσπερ σύ, προσποιουμένοις δ' ὑπ' ἀναισθησίας τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν, ὅταν λέγωσιν, οὐ τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν.

Οὐκ ἀπορῶν δ' ὅτι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπο- 129
ρῶ τοῦ πρώτου μνησθῶ, πότερ' ὡς ὁ πατήρ σου Τρόμης

θρου Μακεδόνος.» καὶ ἐν τῷ κ. Ἀριστοκρ. §. 202. «ἀνθρώπους οὐδ' ἐλευθέρους, ὀλέθρους.» καὶ παρ' Ἀριστοφάνει «ὄλεθρος γυνή.» — γραμματεὺς—ἐν τραγῳδίᾳ] διὰ τούτων ὀνειδίζει τῷ Αἰσχίνῃ τὰ πρότερα αὐτοῦ ἐπιτηδεύματα. πρβλ. §. 13. σημ. — ὦ γῆ καὶ ἥλιε—διαγιγνώσκεται] οὕτως ἐπισφραγίζει ὁ Αἰσχίνης τὸν κ. Κτησ. λόγον αὐτοῦ. «ἐγὼ μὲν ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ—καὶ παιδεία, κτλ.»

128. κάθαρμα] οὕτω καὶ Αἰσχίνης (κ. Κτησ. §. 211.) «κάθαρμα ζηλοτυποῦν ἀρετήν» καλεῖ τὸν Δημ. καθάρματα ἔλεγον τοὺς κακούργους, οὓς ἐν δεινοῖς ἔθυον πρὸς καθαρισμὸν τῆς πόλεως, τοῦθ' ὅπερ ὁ Ἡρόδοτος (Ζ', 197.) ἐξέφρασε διὰ τοῦ καθαρμός. «καθαρμὸν τῆς χώρας ποιευμένων Ἀχαιῶν — Ἀθάμαντα τὸν Αἰόλου, καὶ μελλόντων μιν θύειν.» — παιδείας] ὁ Αἰσχίνης (κ. Κτησ. §. 211.) λέγει «ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν (Δημοσθένους καὶ Κτησιφῶντος) θεωρῆσαι» [καὶ ἐν §. 130. περὶ Δημοσθένους «ἀπαίδευτος ὤν»], καὶ φαίνεται ὅτι ἀνωτέρας παιδείας κάτοχον θεωρεῖ ἑαυτόν. ΓΜ. — κἂν ἑτέρου λέγοντος ἐρυθριάσειε] μετοιφροσύνης ἀποτέλεσμα χαρακτηριστικώτατον ὅλων τῶν ὡς ἀληθῶς ἐξόχων καὶ μεγάλας ἀρετὰς ἐχόντων ἀνδρῶν. — κἂν] συναπτέον τῷ ἐρυθριάσειε. — λέγοντος] ὑποθετικὴ ἢ χρονικὴ μετοχή. — τοῖς δ' ἀπολειφθεῖσι] αὐτῆς τῆς παιδείας. — προσποιουμένοις] τετυχηκέναι αὐτῆς. — ὑπ' ἀναισθησίας] ποιητικὸν αἴτιον συναπτέον τῷ προσποιουμένοις. — τὸ τοὺς—περίεστιν] περίεστι τὸ ποιεῖν τοὺς ἀκούοντας ἀλγεῖν, ὅταν [οὗτοι ταῦτα] λέγωσι [περὶ ἑαυτῶν], οὐ τὸ κτλ. — τοιούτοις] κατὰ συνεφέλκυσιν τῷ προσποιουμένοις.

129. οὐκ ἀπορῶν—ἀπορῶ] «διαπόρησις· ὅταν ὡς διαπορῶν τις ἃ δεῖ εἰπεῖν, κἀκεῖνα καὶ ἔτι πλείω λέγῃ.» Τιβέρ. π. Σχημ. σ. 333. — τοῦ πρώτου] κατ' ἔμφασιν ἀναγνωστέον τὴν ἐρωτημ. ἀντωνυμίαν τοῦ πρὸς ἀντιδιαστολὴν ἀπὸ τοῦ ἄρθρου. — Τρόμης] ὁ Β. κ. Ρ. σημειοῖ ὄνομα καταλληλον δοῦλῳ = τρέμων (τρομαγμένος), ὅστις ἔπειτα ἐλευθερωθεὶς κατέστη Λ τρόμητος. ἀλλὰ καὶ ὡς Λ φόβητος ἐκαλεῖτο ὁ νεώτατος ἀδελφὸς τοῦ Αἰσχίνου (π. παραπρ. §. 149.), ἐπίσης καὶ ὁ πατὴρ αὐτοῦ ἠ-

ἐδούλευε παρ' Ἐλπίᾳ τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι γράμματα, χοίνικας παχείας ἔχων καὶ ξύλον, ἢ ὡς ἡ μήτηρ τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλεισίῳ τῷ πρὸς τῷ καλαμίτῃ ἥρωι χρωμένη τὸν καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον ἐξέθρεψέ σε; ἀλλ' ὡς ὁ τριηράρχης Φορμίων, ὁ Δίωνος τοῦ Φρεαρρίου δοῦλος, ἀνέστησεν αὐτὴν ἀπὸ ταύτης τῆς καλῆς ἐργασίας; ἀλλὰ νὴ τὸν Δία καὶ τοὺς θεοὺς ὀκνῶ μὴ περὶ σοῦ τὰ

δύνατο ἀνέκαθεν καλεῖσθαι Ἀτρόμητος, εἰμὴ ὑποθετέον ὅτι καὶ τὸ Ἀφόβητος ἦν μετωνυμία τις. πρβλ. §. 130. σημ. — ἀδούλευε] ἐπιεικέστερα λέγει ὁ Δημ. ἐν τῷ ἧττον ἐμπαθεῖ λόγῳ αὐτοῦ (π. παραπρ. §. 249·)· « διδάσκων δ' ὁ πατὴρ (τοῦ Αἰσχίνου) γράμματα — πρὸς τῷ τοῦ ἥρω τοῦ ἰατροῦ» [τοῦ αὐτοῦ ἄρα τῷ καλαμίτῃ ἥρωι;] « ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γε ἔζη.» ἔτι δ' ὀλιγώτερον συμβιβάζονται τὰ ἐνταῦθα τοῖς τοῦ Αἰσχίνου (π. παραπρ. §. 147.) « οὑτοσὶ μέν μοί ἐστι πατὴρ —, καὶ συμβέβηκεν αὐτῷ νέῳ μὲν ὄντι, πρὶν τὴν οὐσίαν ἀπολέσαι διὰ τὸν πόλεμον, ἀθλεῖν τῷ σώματι, ἐκπεσόντι δὲ ὑπὸ τῶν λ' στρατεύεσθαι μὲν ἐν τῇ Ἀσίᾳ, ἀριστεύειν δ' ἐν τοῖς κινδύνοις, — συγκατάγειν δὲ τὸν δῆμον.» ὥστε δύσκολον νὰ ὁρισθῇ τὸ ἀληθὲς ἀπὸ τοῦ ψευδοῦς. — χοίνικας — ξύλον] «χοίνιξ» εἶδος ποδοκάκης, ὡς παρ' Ἀριστοφάνει (Πλοῦτ. στ. 275—276.) «αἱ κνῆμαί δέ σου βοῶσιν — τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.» ἐπίσης κολαστήριον ὄργανον ἦν καὶ τὸ ξύλον, δι' οὗ ἔδεον τὰς τε χεῖρας καὶ τοὺς πόδας καὶ τὸν αὐχένα τῶν τιμωρουμένων (« εἶτα φιμώσητε τούτου τῷ ξύλῳ τὸν αὐχένα.» Ἀριστοφ. Νεφ. σ. 592.). — μεθημερινοῖς] πρὸς μεῖζον ὄνειδος = μεθ' ἡμέραν, ἐν πλήρει μεσημβρίᾳ. Οὐόλφ. — ἐν τῷ κλεισίῳ] «κλείσιον [ταὐτὸν τῷ «κλισίᾳ»] δουλικὸν εὐτελὲς οἴκημα.» Εὐστάθ. εἰς Ἰλ. Α. σ. 78. — πρὸς τῷ καλαμίτῃ ἥρωι] ἀσαφῆ ἡμῖν ταῦτα, οὐδενὸς τῶν ἐκδοτῶν οὐδὲν βέβαιον σημειοῦντος περὶ αὐτῶν. ἀπίθανά μοι δοκεῖ καὶ ὅσα ὑπὸ τῶν ἡμετέρων ἐγράφησαν περὶ αὐτῶν. — τὸν καλὸν ἀνδριάντα] «ὡς ἐν τῇ συνηθείᾳ λέγουσιν αἱ μητέρες περὶ τῶν υἱῶν ὁ καλός μου ἀνδριάς μου.» Ἀνέκδ. παρὰ Βεκκέρῳ 394, 29. — τριταγωνιστὴν] οἱ τριταγωνισταὶ ἦσαν οἱ ἀδοκιμώτατοι τῶν ὑποκριτῶν παριστῶντες τὰ ἧττον σπουδαῖα πρόσωπα ἐν τοῖς δράμασι τοῖς τραγικοῖς, καὶ ἰδίως « τοὺς τυράννους καὶ τοὺς τὰ σκῆπτρα ἔχοντας » (Δημ. π. παραπρ. §. 247.). πρβλ. καὶ τὴν ἐν §. 180. σημ. ὁ Αἰσχίνης ὡς ὑποκριτὴς δὲν ἠδυνήθη προβῆναι πέραν τοῦ βαθμοῦ τούτου, ὅθεν καὶ συνεχῶς ὀνειδίζεται ὑπὸ Δημοσθένους, ὡς ἐν §§. 209. 262. 265. καὶ π. παραπρ. §. 246. 337. — ἄκρον] εἰρωνικῶς. — ἀλλ' ὡς] ὁ ἀλλὰ χρησιμεύει ἐνταῦθα εἰς ἄρνησιν μὲν τῆς προηγουμένης εἰσαγωγῆς δὲ ἑτέρας ἐρωτήσεως, = ἢ ταῦτα μὲν μὴ εἴπω, ἀλλὰ μνησθῶ ὡς. ἐν τοῖς ἧττον καλοῖς χειρογράφοις προτάσσεται τοῦ ἀλλὰ τὸ «ἀλλὰ πάντες ἴσασι ταῦτα, κἂν ἐγὼ μὴ λέγω.» — ὁ τριηράρχης] ὑπῆρχον ἐν ταῖς τριήρεσιν αὐληταὶ ἐμψυχοῦντες τὸ πλήρωμα δι' αὐλήσεως καὶ ῥυθμίζοντες τὴν κωπηλασίαν. ἦσαν δὲ καθὼς καὶ οἱ ἀρέται ὅλοι ὡς ἐπιτοπλεῖστον δοῦλοι. τοιοῦτός τις ἦν καὶ ὁ Φορμίων. Β. κ. Ρ. — ἀνέστησεν — ἐργασίας] κατάλληλα τῇ τοῖς Ἕλλησι περὶ τοῦ τοιούτου αἴσχους βίου συνηθείᾳ φράσει « ἐπ' ἐργαστηρίου καθῆσθαι.» [Δημ.] κ. Νεαιρ. §. 67. W. — φαίνεται δ' ὅτι ὁ Φορμίων ἐλευθερώσας αὐτὴν ἀπὸ τοῦ βίου ἐκείνου παρέλαβεν αὐτὴν εἰς τὰ ἴδια. Β. κ. Ρ. — ὀκνῶ μὴ — λόγους] « δύο ἀνύει, καὶ τὸ δοκεῖν εἶναι σώφρων, καὶ

προσήκοντα λέγων αὐτὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω προ-
ρῆσθαι λόγους. ταῦτα μὲν οὖν ἐάσω, ἀπ' αὐτῶν δὲ ὧν αὐτὸς 130
βεβίωκεν ἄρξομαι. οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν, ἀλλ' οἷς ὁ δῆμος
καταρᾶται. ὀψὲ γάρ ποτε —, ὀψὲ λέγω; χθὲς μὲν οὖν καὶ
πρώην ἅμ' Ἀθηναῖος καὶ ῥήτωρ γέγονε, καὶ δύο συλλαβὰς
προσθεὶς τὸν μὲν πατέρα ἀντὶ Τρόμητος ἐποίησεν Ἀτρόμητον,
τὴν δὲ μητέρα σεμνῶς πάνυ Γλαυκοθέαν, ἣν Ἔμπουσαν ἅπαν-

τὸ φεύγειν τὰς λοιδορίας, κἂν ὦσιν ἀ-
ληθεῖς. » Οὐλπ. — αὐτὸς] ἐπιταγ-
ματικῶς = ἐγὼ αὐτός.

130. ταῦτα μὲν] τὰ περὶ τῶν
γονέων αὐτοῦ. — αὐτὸς] = αὐτὸς
οὗτος. — βεβίωκεν] ἔπραξεν ἐν
τῷ βίῳ αὐτοῦ. — οὐδὲ γὰρ ὧν
ἔτυχεν ἦν] τῷ χωρίῳ τούτῳ προσ-
έκρουσαν καὶ ἐπίσημοι ἄνδρες, καίτοι
ἐπιεικῶς εὐλήπτῳ τοῖς γε ἀναγινώ-
σκουσιν αὐτὸ ἐν συνδέσει τοῖς ἑπομέ-
νοις «ὀψὲ γάρ ποτε — ἅμ' Ἀθηναῖος καὶ
ῥήτωρ γέγονε.» κατ' ἐμὲ ὑποκείμ. τοῦ
ἦν εἶναι ὁ Αἰσχίνης, κατηγορουμένου
δὲ τόπον ἐπέχει ἡ ὧν ἔτυχεν. (πρβλ. τὴν ἀνωτέρω §. 64. περὶ τοῦ ἧς
σημ.). ἡ δ' ἔννοια· οὐδὲ γὰρ ἦν [εἰς
τούτων] ὧν ἔτυχεν [ὢν]· ἤτοι ὁ Αἰσχί-
νης ὅτε ἐξεφωνεῖτο ὁ λόγος οὗτος ἔτυ-
χεν ὢν Ἀθηναῖος καὶ ῥήτωρ, ἐν ἄλλαις λέξεσιν εἷς τῶν τότε ἐπισήμων
ἀνδρῶν, ἐν ᾧ ἀπ' ἀρχῆς ἦν, ὡς δ.τυχρίζεται ὁ Δημ., εἷς τῶν οἷς ὁ δῆ-
μος καταρᾶται, ἤγουν δοῦ-
λος παρεισφρήσας τοῖς πολίταις. κατ'
Οὐλπιανὸν ὅμως « ἔστι τὸ παρ' ὑ-
πόνοιαν καλούμενον, ἐπειδὴ παρ' ὃ
προσεδόκων οἱ ἀκροαταὶ τὸ ῥητὸν ἐπή-
γαγεν.» καὶ δὴ καὶ Ἑρμογένης (π.μεθ.
δεινότ. σ. 442.) τοῦτὶ τὸ χωρίον φέρει
ὡς παράδειγμα τοῦ παρὰ προσ-
δοκίαν. — οἷς ὁ δῆμος κατα-
ρᾶται] καθ' ἑκάστην ἐκκλησίαν «πλὴν
ἄλλο τι χρηματίζειν» (Ἰσοκρ. Πανηγ.
§. 157.) κατηρᾶτο ὁ κήρυξ τοῖς μηδίζουσι καὶ τοῖς ἐκ ξένων ἢ δούλων πα-
ρεισφρήσασι τοῖς πολίταις, ὡς καὶ τοῖς
κατὰ τῆς πατρίδος δωροδοκοῦσι (Δειν-
αρχ. κ. Ἀριστογ. §. 16. — πρβλ. τὰ ἀ-
νωτέρω (§. 89.) «καὶ μετάσχοιεν ὧν ὑ-
μεῖς — τοὺς θεοὺς αἰτεῖτε»), καὶ
πᾶσι τοῖς ἐξαπατῶσι τὸν δῆμον. πρβλ.
§. 282. — κ. Ἀριστοκρ. §. 97. καὶ π.
παραπρ. §. 70. «ταῦθ' ὑπὲρ ὑμῶν —
καθ' ἑκάστην τὴν ἐκκλησίαν ὁ κήρυξ
εὔχεται νόμῳ προστεταγμένα.» ἔνθα
τὸ εὔχεται (ὡς καὶ τὸ ἐν τῷ κ.
Κτησ. §. 111. ἐπεύχεται) εἶναι
ταὐτὸν τῷ ἐνταῦθα καταρᾶται
κατ' ἔθος τῶν ἀρχαίων τοὺς αὐτοὺς ὅ-
ρους μεταχειρίζεσθαι ἐπ' ἀγαθοῦ τε καὶ
κακοῦ καθὸ εὐχερῶς διαστελλομένους
ἐκ τῆς ὑφῆς τοῦ λόγου ἢ καὶ ἐξ ἀν-
τιθέτων προσδιορισμῶν· οἷον τὸ « ἀγα-
θῇ τύχῃ. κακῇ τύχῃ. » κτλ. — ὀ-
ψὲ λέγω; χθὲς — πρώην] « ἐπιδιόρθωσις· ὅταν τὸ εἰρη-
μένον ὡς ἐνδεέστερον διορθούμενός τις
ἄλλο ἐπενέγκῃ. » Τιβέρ. π. Σχημ.
σ. 533. πρβλ. καὶ τὴν ἐν §. 59. σημ.
— Ἀτρόμητος — Γλαυκοθέαν] τοιαῦται μετωνυμίαι δὲν ἦσαν
σπάνιαι παρὰ τοῖς ὀψιπλούτοις. οὕτω
παρὰ Λουκιανῷ (Ὀνειρ. 14.) ὁ τὰ ῥά-
κια τὰ πιναρὰ φορῶν Σίμων κληρο-
νομήσας τὸν ἐς ὑπερβολὴν πλούσιον
ἀνεψιὸν αὐτῷ μετονομάζεται Σιμω-
νίδης, καὶ ὁ παρὰ Νικάρχῳ πτωχὸς
Στέφανος (Ἀνθολ. ΙΑ΄. 17.) Φιλο-
στέφανος, ὡς καὶ ὁ παρὰ Παλλα-
δᾷ Ῥοῦφος (Ἀνθολ. ΙΑ΄, 358.) μετο-
νομάζεται Ῥοῦφος Ῥουφινια-
νός. πρβλ. Λουκ. Τίμων 22. «ἀντὶ
τοῦ τέως Πυρρίου ἢ Δρόμωνος ἢ Τι-
βίου Μεγακλῆς ἢ Μεγάβυζος ἢ Πρώ-
ταρχος μετονομασθείς.» J. — Ἔμπουσαν] Γλαυκὶς ἐκαλεῖτο ἡ Αἰσχίνου
μήτηρ κατ' Ἀπολλώνιον (ἐν βίῳ Αἰσχ.
σ. 247. R.), σκωπτικῶς δ' ἐπικαλεῖ-
ται Ἔμπουσα, ἥτις ἦν φάσμα τι
τῆς Ἑκάτης παντεδαπὸν γιγνόμενον.
οὕτως ἐν τῷ παρ' Ἀριστοφάνει (Βάτραχ. σ. 288. κ. ἑ.) διαλόγῳ λέγεται·
« Ξ. καὶ μὴν ὁρῶ νὴ τὸν Δία θηρίον

τες ἴσασι καλουμένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ πάσχειν καὶ γίγνεσθαι δηλονότι ταύτης τῆς ἐπωνυμίας τυχοῦσαν· πόθεν γὰρ
131 ἄλλοθεν; ἀλλ' ὅμως οὕτως ἀχάριστος εἶ καὶ πονηρὸς φύσει, ὥστ' ἐλεύθερος ἐκ δούλου καὶ πλούσιος ἐκ* πτωχοῦ διὰ τουτουσὶ γεγονὼς οὐχ' ὅπως χάριν αὐτοῖς ἔχεις, ἀλλὰ μισθώσας σαυτὸν κατὰ τουτωνὶ πολιτεύῃ. καὶ περὶ ὧν μέν ἐστί τις ἀμφισβήτησις, ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐχθρῶν φανερῶς ἀπεδείχθη πράττων, ταῦτα ἀναμνήσω.
132 Τίς γὰρ ὑμῶν οὐκ οἶδε τὸν ἀποψηφισθέντα Ἀντιφῶντα, ὃς ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν εἰς τὴν πόλιν ἦλθεν; ὃν λαβόντος ἐμοῦ κεκρυμμένον ἐν Πειραιεῖ καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν βοῶν ὁ βάσκανος οὗτος καὶ κεκραγώς, ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ τοὺς ἠτυχηκότας τῶν πολιτῶν ὑβρίζων καὶ ἐπ' οἰκίας βαδίζων ἄνευ ψηφίσματος,

μέγα. Δ. Ποῖόν τι; Ξ. δεινόν· παντοδαπὸν γοῦν γίγνεται, ποτὲ μέγγε βοῦς, νυνὶ δ' ὀρεύς, ποτὲ δὲ γυνὴ ὡραιοτάτη τις. Δ. ποῦ 'στι; . . . . . Ξ. ἀλλ' οὐκέτ' αὖ γυνή 'στιν, ἀλλ' ἤδη κύων. Δ. Ἐμπουσα τοίνυν ἐστί.»

131. ἐκ πτωχοῦ] πτωχὸς ὁ οὐδὲν ἔχων· πένης δὲ ὁ μέτρια ἢ μικρὰ κεκτημένος. Β. κ. Ρ. — διὰ τουτουσὶ] τοὺς παρόντας Ἀθηναίους. — οὐχ ὅπως — ἔχεις] = οὐ μόνον οὐκ ἔχεις. — καὶ περὶ ὧν — ἀναμνήσω] «ἐπιδείκνυσιν ἐν τούτοις ὅτι οὐχ ὡς ἐχθρὸς ἀκριβολογεῖται πάντα ἐξετάζων ἃ ἥμαρτεν, ἀλλὰ πλεῖστα καὶ παραπέμπεται· διηγεῖται δὲ τὰ σαφέστερα.» Οὐλπ. ὅσα δηλ. πρὸ τοῦ πολεμεῖν (§. 139.) ἤτοι ἐν διαστήματι τῆς φιλοκρ. εἰρήνης (346—340 π. Χ.) ἔπραξεν ὑπὲρ Φιλίππου, ἤγουν τὰ περὶ Ἀντιφῶντος, τὸ συναγωνίζεσθαι Πύθωνι, καὶ τὴν Ἀναξίνῳ τῷ κατασκόπῳ συνέντευξιν αὐτοῦ· μεθ' ἃ μεταβαίνει εἰς τὰ ἐν πολέμῳ κατὰ τῆς πατρίδος ἔργα αὐτοῦ (§. 139. κ.ἑ.). A. Schaef.

132. ἀποψηφισθέντα] κατὰ καιροὺς ἐγίνετο ἐν Ἀθήναις ἐξέτασις τῆς γνησιότητος ἢ μὴ τῶν πολιτῶν (διαψήφισις). ἐν τοιαύτῃ τινὶ διαψηφίσει (ἀναμφιβόλως τῇ ὑπὸ Αἰσχίνου κ. Τιμάρχ. §. 77. καὶ π. παραπρ. §. 182. μνημονευομένῃ, τῇ ἐπὶ Ἀρχίου ἄρχοντος Ολ. ρή, γ'. 346.) ἐξελαθεὶς ὡς παρέγγραπτος (ἀποψηφισθεὶς) καὶ Ἀντιφῶν τις ὑπεσχέθη Φιλίππῳ πρὸς ἐκδίκησιν ἐμπρήσειν κτλ. Boehn. — Ἀντιφῶντα] ἕτερος οὗτος τοῦ παρὰ Θεοπόμπῳ (ἐν Φωτίου Λεξικῷ 588.)· «καὶ πέμπουσι πρὸς Φίλιππον πρεσβευτὰς Ἀντιφῶντα καὶ Χαρίδημον.» A. Schaef. πρβλ. Ὀλυνθ. Β'. §. 6. σημ. — λαβόντος ἐμοῦ] ὁ Δημ. συνέλαβε τοῦτον ἤτοι ὡς εἷς τῶν κατ' ἔτος ἐπὶ τῶν ναυπηγίων διοριζομένων ἐπιστατῶν ἤ, πιθανώτερον, κατ' ἐντολὴν τῆς βουλῆς τῶν φ'. A. Schaef. — καταστήσαντος] σαφέστερον ἔλεγεν ἂν παραστήσαντος. — ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ] οὕτω καὶ Πλούταρχος (Δημ. 14.)· «σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ πολίτευμα καὶ τὸ περὶ Ἀντιφῶντος· ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν ἐπὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἀνήγαγε — παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος.» — ἄνευ ψηφίσματος] ἡ οἰκία παρ' Ἀθηναίοις ἦν ἄσυλον ἀπαραβίαστον, εἰς ὃ οὐδεὶς ἕτερος

ἀφεθῆναι ἐποίησεν. καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τὸ 133
πρᾶγμα αἰσθομένη καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι
συμβεβηκυῖαν ἰδοῦσα ἐπεζήτησε τὸν ἄνθρωπον καὶ συλλαβοῦ-
σα ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος καὶ τὸ δί-
κην δοῦναι διαδὺς ἐξεπέμπετ' ἂν ὑπὸ τοῦ σεμνολόγου τουτουί.
νῦν δ' ὑμεῖς στρεβλώσαντες αὐτὸν ἀπεκτείνατε, ὡς ἔδει γε καὶ
τοῦτον. τοιγαροῦν εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου 134
τότε τούτῳ πεπραγμένα, χειροτονησάντων αὐτὸν ὑμῶν σύν-
δικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ ἀπὸ τῆς αὐτῆς ἀγνοίας

παρὰ τοὺς ἄρχοντας ἀρχήν τινα ἠδύ-
νατο ἐχθρικῶς εἰσελθεῖν, εἰμὴ κατὰ
προηγηθεῖσαν ἄδειαν (ψήφισμα)
τοῦ δήμου· παράδειγμα κατ' οἶκον ἐ-
ρεύνης κεῖται παρὰ Πλουτάρχῳ (Δημ.
25.)· «δεδιότες δέ, μὴ λόγον ἀπαιτῶν-
ται χρημάτων ὧν διηρπάκεσαν οἱ ῥή-
τορες, ζήτησιν ἐποιοῦντο νεανικὴν καὶ
τὰς οἰκίας ἐπιόντες ἠρεύνων πλὴν τῆς
Καλλικλέους τοῦ Ἀρρενίδου· μόνην γὰρ
τὴν τούτου — οὐκ εἴασαν ἐλεγχθῆναι,
νύμφης ἔνδον οὔσης.» W.

133. ἡ βουλὴ — πάγου] οὐχὶ
ὡς δικαστικὴ ἀρχή, διότι πλὴν τῶν
φονικῶν κυρίως οὐδεμία ἄλλη δίκη ὑ-
πήγετο εἰς τὴν δικαιοδοσίαν αὐτῆς,
ἀλλ' ὡς φύλαξ τῆς δημοσίου ἀσφα-
λείας δυναμένη πρᾶξαι πάνθ' ὅσα ἔκρι-
νεν ἀναγκαῖα πρὸς προφύλαξιν ἢ τιμω-
ρίαν πάσης κατὰ τοῦ δήμου τεκταινο-
μένης ἐπιβουλῆς, καὶ εἰσαγαγεῖν δί-
κην εἰς τὴν Ἡλιαίαν διά τινος αὐτῆς
ὑπομνήματος (ἀποφάσεως)· πρβλ.
Δειν. κ. Δημ. §. 63. («ἐστρέβλωσαν Ἀντι-
φῶντα καὶ ἀπέκτειναν οὗτοι τῇ τῆς
βουλῆς ἀποφάσει πεισθέντες.»).
W. — ὡς ὑμᾶς] τοὺς Ἡλιαστὰς
ἵνα δικασθῇ. ἡ δὲ ὡς = τῇ πρὸς
εὔχρηστος ἰδίως ἐπὶ προσώπων· οὕτω
καὶ ἐν §. 169. «ὡς τοὺς πρυτάνεις.»
— νῦν] ἐκληπτέον ἐπὶ τῆς τότε ἐ-
ποχῆς καὶ οὐχὶ τῆς ἐν ᾗ ἐξεφωνεῖ-
το ὁ λόγος οὗτος. πρβλ. §. 42. σημ.
π. τ. νυνί. — στρεβλώσαντες] ἀκρίτως ἐστρέβλουν τοὺς δού-
λους μόνον ἐξαναγκάζοντες ὁμολογεῖν,
ἢ ἐπαυξάνοντες τὴν τιμωρίαν· ἐπὶ δὲ
στρεβλώσει πολιτῶν ἐξεδίδετο ψήφισμα
δήμου. W. — ἀπεκτείνατε] ἴσως ἐν Ὀλ. ρή, δ'. A. Schaef. — τοῦ-
τον] τὸν Αἰσχίνην.

134. χειροτονησάντων — τοῦ ἐν Δήλῳ] οἱ Ἀθηναῖοι θεὸν
πατρῷον ἔχοντες τὸν Ἀπόλλω (πρβλ. κατωτ. §. 141.) ἀνέκαθεν ἤσκουν ἐ-
πιστασίαν ἐπί τε τῆς Δήλου καὶ τοῦ ἐν αὐτῇ ἱεροῦ, διότι «ἀπ' ἄκρας τῆς
Ἀττικῆς ἡ Λητὼ ἐπέβη τῆς νήσου» (Ὑπερείδ. Ἀποσπ. Δηλιακοῦ 1.). ἐν δὲ
Ολ. πθ', ε — γ'. 422. «ἐγκαλοῦντες τοῖς Δηλίοις ὅτι λάθρα πρὸς Λακε-
δαιμονίους συντίθενται συμμαχίαν ἐξ-
έβαλον αὐτοὺς ἐκ τῆς νήσου καὶ τὴν
πόλιν αὐτοὶ κατέσχον» (Διόδ. ΙΒ', 73.
ἐπ' ἄλλῃ δ' αἰτίᾳ κατὰ Θουκυδίδην
Ε', 1. πρβλ. Γ', 104.). «κατήγαγον
δὲ αὐτοὺς πάλιν εἰς Δῆλον [τὸ ἀκόλου-
θον ἔτος] ἐνθυμούμενοι τάς τε ἐν ταῖς
μάχαις ξυμφορὰς καὶ τοῦ ἐν Δελφοῖς
θεοῦ χρήσαντος» (Θουκ. Ε', 32.). ἐν
τούτοις αὐτοὶ κατεῖχον τὸ ἱερόν· οἱ δὲ
Δήλιοι μέχρι μέν τινος ἠρκοῦντο δια-
φιλονεικεῖν Ἀθηναίοις τὴν τοῦ ἱεροῦ
κατοχήν, μετὰ δὲ τὴν καταστροφὴν
τῶν Φωκέων ἐλπίζοντες τῇ συνδρομῇ
Φιλίππου μετασχόντος ἤδη τῆς Ἀμ-
φικτυονίας, ἢ καὶ ὑπ' αὐτοῦ τούτου
ὑποκινηθέντες ἀνέφερον τὰ ἐπὶ τοῦ ἱε-
ροῦ δικαιώματα αὐτῶν πρὸς τὸ ἐν Δελ-
φοῖς Ἀμφικτυονικὸν συνέδριον συνήγο-
ρον διορίσαντες Εὐθυκράτη τὸν Ὀλύν-
θιον (Ὑπερείδ. Ἀποσπ. κ. Δημάδ. 1.
«ὅτι ἀντέπραξε τῇ πόλει ὑπὲρ τοῦ ἱε-
ροῦ τοῦ Δηλίων.»). ἀπὸ δὲ τῶν Ἀθη-
ναίων συνήγορος διορισθεὶς ὁ Ὑπερεί-
δης ἀντὶ τοῦ Αἰσχίνου ἐδικαίωσε τὰς

ἥσπερ πολλὰ προίεσθε τῶν κοινῶν, ὡς προσείλεσθε κἀκείνην καὶ τοῦ πράγματος κυρίαν ἐποιήσατε, τοῦτον μὲν εὐθὺς ἀπήλασεν ὡς προδότην, Ὑπερείδῃ δὲ λέγειν προσέταξεν· καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆφον ἔπραξε, καὶ οὐδεμία* ψῆφος
135 ἠνέχθη τῷ μιαρῷ τούτῳ. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ. [Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων οἵδε, Καλλίας Σουνιεύς, Ζήνων Φλυεύς, Κλέων Φαληρεύς, Δημόνικος Μαραθώνιος, ὅτι τοῦ δήμου ποτὲ χειροτονήσαντος Αἰσχίνην σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ εἰς τοὺς Ἀμφικτύονας συνεδρεύσαντες ἡμεῖς ἐκρίναμεν Ὑπερείδην ἄξιον εἶναι μᾶλλον ὑπὲρ τῆς πόλεως λέγειν, καὶ ἀπεστάλη Ὑπερείδης.]

Οὐκοῦν ὅτε τούτου μέλλοντος λέγειν ἀπήλασεν ἡ βουλὴ καὶ προσέταξεν ἑτέρῳ, τότε καὶ προδότην εἶναι καὶ κακόνουν ὑμῖν ἀπέφηνεν.

136 Ἓν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου, ὁμοιόν γε, οὐ γάρ; οἷς ἐμοῦ κατηγορεῖ· ἕτερον δὲ ἀνα-

ἐλπίδας τῆς πατριωτικῆς μερίδος κερδήσας, ὡς φαίνεται, τὴν δίκην διὰ τοῦ Δηλιακοῦ ἐπιγεγραμμένου λόγου αὐτοῦ· καθότι καὶ μετὰ ταῦτα ἀναφέρονται οἱ Ἀθηναῖοι κύριοι τοῦ ἐν Δήλῳ ἱεροῦ (πρβλ. Corp. inscr. gr. 139.). — ἥ σ π ε ρ] ἐννοητέον καὶ ἐνταῦθα τὴν ἀπὸ κατὰ συνεφέλκυσιν. Β. κ. Ρ. — π ρ ο σ ε ί λ ε σ θ ε] = προσελάβετε εἰς τὴν περὶ τούτου σύσκεψιν. — κ υ ρ ί α ν ἐ π ο ι ή σ α τ ε] = ἀνεθήκατε αὐτῇ τὴν ἐπικύρωσιν. ἄλλως δὲν ἠδύνατο αὕτη ἀκυρῶσαι τὴν ἐκλογὴν τοῦ δήμου. — τ ο ῦ τ ο ν μ ὲ ν — π ρ ο σ έ τ α ξ ε] τὸ ἔαρ τῆς Ολ. ρθ', ά. 344. A. Schaef. — ἀ π ὸ τ ο ῦ β ω μ ο ῦ — τ ὴ ν ψ ῆ φ ο ν] τοιαύτης ἐπισήμου ψηφοφορίας (ἤτοι τοῦ λαβεῖν τὰς ψήφους ἀπὸ τοῦ βωμοῦ οἱονεὶ καθηγιασμένας καὶ θείναι αὐτὰς ἀπροσωπολήπτως) παραδείγματα βλέπομεν πολλαχοῦ· οἷον παρὰ Δημοσθένει (πρ. Μακάρτ. §. 14.), Πλουτάρχῳ (Θεμιστ. ΙΖ'. — Περικλ. ΛΒ'.) καὶ Ἡροδότῳ (Η', 223.). — λ έ γ ε ι ν] συνηγορεῖν ὑπὲρ τῆς πόλεως ἐν Δελφοῖς. — τ ῷ μ ι α ρ ῷ τ ο ύ τ ῳ] ἠθικὴ δοτικὴ = ὑπὲρ τούτου (τοῦ Αἰσχίνου).

135. τ ο ύ τ ο υ μ έ λ λ ο ν τ ο ς λ έ γ ε ι ν] κατὰ γενικὴν ἀπόλυτον ἀντὶ τοῦ τ ο ῦ τ ο ν μ έ λ λ ο ν τ α λ έ γ ε ι ν ἀ π ή λ α σ ε ν· — «ἡ δὲ σύνταξις ἐπικίνδυνος καὶ σολοικοφανής τισιν ἐνομίσθη.» Οὐλπ.

136. τ ο ι ο ῦ τ ο] ἤτοι κακόνουν τῇ πόλει. — τ ο ῦ ν ε α ν ί ο υ] ν ε α ν ί α ν καλεῖ αὐτὸν οὐχὶ διὰ τὴν ἡλικίαν, διότι ὁ Αἰσχίνης πρὸ χρόνων (ἀπὸ Ολ. ρή, γ'. 346.) εἶχε πολιὰς τριχὰς «πέμπτον καὶ τεσσαρακοστὸν ἔτος» ἄγων (κ. Τιμάρχ. §. 49.), ἀλλὰ διὰ τὸ νεανικὸν θράσος αὐτοῦ. — ὅ μ ο ι ό ν γ ε, ο ὐ γ ά ρ;] φράσις συνήθης τῷ Δημ. πρβλ. κ. Τιμοκρ. §. 181. — κ. Ἀνδροτ. §. 73. — κ. Μειδ. §. 209. καὶ κ. Ἀριστοκρ. §. 162. 186. καὶ ὁ μὲν γὲ εἶναι βεβαιωτικὸς μετ' εἰρωνείας, τὸ δὲ ο ὐ γ ά ρ; ταὐτὸ τῷ Γαλλικῷ

μιμνήσκεσθε. ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον καὶ παρὰ τῶν αὐτοῦ συμμάχων πάντων συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν καὶ δείξων ἀδικοῦσαν, τότε ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐχ ὑπεχώρησα, ἀλλ' ἀναστὰς ἀντεῖπον καὶ τὰ τῆς πόλεως δίκαια οὐχὶ προὔδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν· οὗτος δὲ συνηγωνίζετο καὶ τἀναντία ἐμαρτύρει τῇ πατρίδι, καὶ ταῦτα ψευδῆ.

Καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλὰ πάλιν μετὰ ταῦθ' ὕστερον Ἀνα- 137
ξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. καίτοι ὅστις τῷ ὑπὸ τῶν πολεμίων * πεμφθέντι μόνος μόνῳ συνῆει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

n'est ce pas? — Πύθωνα] Πύθων ὁ Αἴνιος (Δημ. κ. Ἀριστοκρ. §§. 119. 127. 163.), ὕστερον δὲ Βυζάντιος πολιτογραφηθεὶς κατὰ Reisk., «ἄνθρωπος περὶ τὸ γράφειν λόγους μέγα φρονῶν» (Αἰσχ. π. παραπρ. §. 125.). τοῦτον Φίλιππος Ἀθηναίους καθησυχάσαι βουλόμενος πρεσβευομένους κατ' αὐτοῦ εἰς Πελοπόννησον (πρβλ. ἀνωτ. §. 45. σημ.) ἀπέστειλε πρεσβευτὴν εἰς Ἀθήνας τὸ θέρος τῆς Ὀλ. ρθ'. ά. (κατὰ Boeckh, Boehm., A. Schaef. κ. ἄ.), ὥστε ἐπανορθώσασθαι τὴν εἰρήνην (π. Ἀλονν. §. 18.). «ἐν τῇ αὐτῇ ἐκκλησίᾳ ἐγράφη» (αὐτ. §. 19.) καὶ τὸ περὶ τούτου ψήφισμα τοῦ Ἡγησίππου, καθ' ὃ ἀπεστάλη ἡ πρὸς Φίλιππον γ'. πρεσβεία. ἀφοῦ δ' αὕτη ἄπρακτος ἐπέστρεψεν (πρβλ. ἀνωτ. §. 73. σημ.), ὁ δὲ Φίλ. δι' ἐπιστολῆς (π. Ἀλονν. §§. 20. 34.) ἐμέμφετο Ἀθηναίοις ὅτι ἀπιστοῦσιν αὐτῷ προηρημένῳ εὐεργέτῃ εἶναι, τότε ὁ Ἡγήσιππος ἐξεφώνησε τὸν περὶ Ἀλοννήσου λόγον (Ὀλ. ρθ', 6'. 343.), ἐν ᾧ μέμνηται τῆς Πύθωνος πρεσβείας καὶ τῶν λόγων αὐτοῦ. «καὶ γὰρ εὐδοκίμησεν ὁ Πύθων παρ' ὑμῖν ἐν τῇ δημηγορίᾳ ὁ τότε πρεσβεύων» κ. τ. ἑ. §. 20 — 23. πρβλ. καὶ τὰ τοῦ Δημ. ἐν τῷ περὶ παραπρεσβείας (Ὀλ. ρθ'. δ'.) μνημονεύοντος ὅτι ψηφίζονται ἐπανορθώσασθαι τὴν εἰρήνην (§. 181.). ὁ δὲ Διόδωρος (ΙΣΤ', 85.) συγχέει μετὰ τῆς ἐνταῦθα τὴν ἐν Ὀλ. ρί, γ'. 338. εἰς Θήβας ἀποστολὴν τοῦ Πύθωνος. — τῶν αὐτοῦ συμμάχων] Ἀργείων καὶ Μεσσηνίων καθὰ εἰκάζουσιν ἐκ τῶν ἐν τῷ κ. Φιλίππου Β'. ἐκφωνηθέντι κατὰ ταύτην τὴν ἐποχήν. ἴδ. καὶ ὑπόθ. τοῦ λόγου τούτου. — δείξων ἀδικοῦσαν] πρβλ. τὰ ἐν τῷ π. Ἀλονν. §. 23. — πολλῷ ῥέοντι] πολὺς ῥέων = καταφερόμενος μετὰ πολλῆς ἁρμῆς χειμάρρου δίκην.

137. μετὰ ταῦθ' ὕστερον] ὁ Β. κ. Ρ. σημειοῖ· «σχῆμα ἐκ παραλλήλου [ὅταν δύο λέξεις ἐπάλληλοι τεθῶσι τὸ αὐτὸ σημαίνουσαι.» Ἡρωδ. π. Σχημ. σ. 607.]· ἀλλ' ὀρθότερον ἴσως ἐκλαβεῖν τὸ ὕστερον ὡς προσδιορισμὸν τοῦ μετὰ ταῦτα = μετὰ ταῦτα ἐν ὑστερωτέρῳ χρόνῳ βραδύτερον δηλ. ἀντιθέτως τοῦ ἐν §. 132. «μετὰ ταῦτ' εὐθέως.» — Ἀναξίνῳ — ἐλήφθη] Ὀλ. ρθ', δ'.

ΜΑΡΤΥΡΕΣ. [Τελέδημος Κλέωνος, Ὑπερείδης Καλλαίσχρου, Νικόμαχος Διοφάντου μαρτυροῦσι Δημοσθένει καὶ ἐπωμόσαντο ἐπὶ τῶν στρατηγῶν, εἰδέναι Αἰσχίνην Ἀτρομήτου Κοθωκίδην συνερχόμενον νυκτὸς εἰς τὴν Θράσωνος οἰκίαν καὶ κοινολογούμενον Ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος παρὰ Φιλίππου. αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι ἐπὶ Νικίου, ἑκατομβαιῶνος τρίτῃ ἱσταμένου.]

138 Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ παραλείπω. καὶ γὰρ οὕτω πως ἔχει. πολλὰ ἂν ἐγὼ ἔτι τούτων ἔχοιμι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους τοῖς μὲν ἐχθροῖς ὑπηρετῶν, ἐμοὶ δ' ἐπηρεάζων εὑρέθη. ἀλλ' οὐ τίθεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην οὐδ' ἣν προσῆκεν ὀργήν, ἀλλὰ δεδώκατε ἔθει τινὶ φαύλῳ πολλὴν ἐξουσίαν τῷ βουλομένῳ τὸν λέγοντά τι τῶν ὑμῖν συμφερόντων ὑποσκελίζειν καὶ συκοφαντεῖν, τῆς ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον ἀνταλλαττόμενοι· διόπερ ῥᾴδιόν ἐστι καὶ ἀσφαλέστερον ἀεὶ τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν ἢ τὴν ὑπὲρ ὑμῶν ἑλόμενον τάξιν πολιτεύεσθαι.

139 Καὶ τὸ μὲν δὴ πρὸ τοῦ πολεμεῖν φανερῶς συναγωνίζεσθαι Φιλίππῳ δεινὸν μέν, ὦ γῆ καὶ θεοί, πῶς γὰρ οὔ;* κατὰ τῆς πατρίδος· δότε δ', εἰ βούλεσθε, δότε αὐτῷ τοῦτο. ἀλλ' ἐπει-

311. πρὸ τῆς ἐπ' Ὠρεὸν ἐξόδου (§. 79.). ὁ Αἰσχίνης ὅμως (κ. Κτησ. §. 223. κ. ἑ.). ὀνειδίζει τῷ Δημ. ὅτι « μέλλων εἰσαγγέλλεσθαι ὑπ' αὐτοῦ κατεσκεύασε τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου, καὶ διαστρεβλώσας αὐτὸν ἄνδρα φίλον καὶ ξένον τῇ αὑτοῦ χειρὶ ἔγραψεν αὐτὸν θανάτῳ ζημιῶσαι. »

138. οὕτω πως ἔχει] ὑποκείμενον ἐννοεῖται τὸ πρᾶγμα ἢ τοιοῦτόν τι. τὸ δ' οὕτω συνεχῶς κεῖται ἀντὶ τοῦ ὧδε, ἤτοι προσδοποιοῦν ἔννοιαν ῥηθησομένην. — ὧν] ἀντικείμ. τοῦ ὑπηρετῶν καὶ ἐπηρεάζων ὁμοιοπτώτως τῷ τούτων κατὰ συνεφέλκυσιν, ἀντὶ ἃ. πρβλ. κ. Ἀριστοκρ. §. 16. « τούτων — ὧν λέγω. » — πρ. Ονήτ. Α. §. 31. — ἐμοὶ δ' ἐπηρεάζων] ἴδε ὅπως ἀναδέχεται ἐν ἑαυτῷ ὅλης πόλεως προστασίαν. Δ. — ἔθει τινὶ φαύλῳ] = κατά τι φαῦλον ἔθος. — τῆς ἐπὶ ταῖς λοιδορ. ἡδονῆς] ἀντὶ τῆς ἡδονῆς ἣν λαμβάνετε ἀκούοντες λοιδορίας.

139. πρὸ τοῦ πολεμεῖν] ὅρα τὴν χρῆσιν τοῦ ὀνοματικοῦ ἀπαρεμφάτου ἀντὶ τοῦ ἁπλοῦ ὀνόματος. — φανερῶς] συναπτέον τῷ πολεμεῖν, καὶ οὐχὶ τῷ συναγωνίζεσθαι, κατὰ τὸ ἐν §. 286. « ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τότε γεγενῆσθαι. » — ὦ γῆ καὶ θεοί] τοῦ ἐπιφωνήματος τούτου συνεχὴς ἡ χρῆσις παρὰ Δημοσθένει· πρβλ. §§. 138. 294. — κατὰ τῆς πατρίδος] πολλήν τινα ἔμφασιν ἔχει οὕτως ἀπολύτως ἐπιφερόμενον. — δότε — δότε] « συγχώρησις. » ἴδ. §. 72. σημ.

δὴ φανερῶς ἤδη τὰ πλοῖα ἐσεσύλητο, Χερρόνησος ἐπορθεῖτο, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύεθ' ἄνθρωπος, οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματα ἦν, ἀλλ' ἐνειστήκει πόλεμος, ὅ τι μὲν πώποτ' ἔπραξεν ὑπὲρ ὑμῶν ὁ βάσκανος οὗτος ἰαμβειοφάγος, οὐκ ἂν ἔχοι δεῖξαι, οὐδ' ἔστιν οὔτε μεῖζον οὐτ' ἔλαττον ψήφισμα οὐδὲν Αἰσχίνῃ ὑπὲρ τῶν συμφερόντων τῇ πόλει. εἰ δέ φησι, νῦν δειξάτω ἐν τῷ ἐμῷ ὕδατι. ἀλλ' οὐκ ἔστιν οὐδέν. καίτοι δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντ' ἐγκαλεῖν μὴ γράφειν παρὰ ταῦθ' ἕτερα, ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω.

πρβλ. καὶ τὴν ἐν §. 208. περὶ τοῦ οὐκ ἔστιν σημ. — ἐπειδή] χρονικόν. — τὰ πλοῖα] τὰ περὶ ὧν ἐν §. 73. ἐγένετο λόγος. — Χερρόνησος ἐπορθεῖτο] ἴδ. ὑπόθ. τοῦ π. τ. ἐν Χερρον. τὸ δὲ σχῆμα Ἀσύνδετον. πρβλ. §. 69. σημ. — ἐπὶ τὴν Ἀττικὴν ἐπορεύεθ'] ἐννοεῖ τὴν εἰς Λοκρίδα εἴσοδον τοῦ Φιλίππου ὡς στρατηγοῦ τῶν Ἀμφικτυόνων. πρβλ. §. 152. σημ. — ἄνθρωπος] κατὰ κρᾶσιν = ὁ ἄνθρωπος, ὅθεν καὶ δασύνεται ὡς ὁ ἐν §. 97. ἄ. ν. ὁ CH. σημειοῖ ὅτι τὸ ἄνθρωπος τοῦτο ἀντὶ τοῦ «ὁ Φίλιππος» κεῖται περιφρονητικῶς (ταὐτὸν δηλ. τῷ τουρκικῷ «ὁ χερίφης,») ἀλλ' ἴσως καὶ ὡς γνωστὸν πρόσωπον ἐκλαμβάνεται. — ἐνειστήκει] οὕτω καὶ ἐν §. 89. «ὁ τότε ἐνστὰς πόλεμος.» — πώποτ'] ἄνευ προηγουμένης ἀρνήσεως ἀντὶ τοῦ ἁπλοῦ ποτέ. — ἰαμβειοφάγος] κατὰ δὲ διάφορον γραφὴν ἰαμβειογράφος. οἱ ἀρχαῖοι γραμματικοὶ ὡς ἐπιτοπολὺ ἐξηγοῦσιν αὐτὸ διὰ τοῦ «λοίδορος, ὑβριστής» καθὸ εὐχρήστων ἰδίως τῶν ἰάμβων εἰς σκώμματα, ἀλλ' ἐν τοῖς παρὰ Βεκκέρῳ Ἑλλ. ἀνεκδότοις (190,9.) κεῖται «ἰαμβοφάγον τὸν πταίοντα λέγουσιν,» ἤτοι (σχετικῶς τῷ ἐν §. 267. «τὰς ῥήσεις ἃς ἐλυμαίνου») τὸν κακῶς προφέροντα εἴτε καταπίνοντα συλλαβάς τινας ἰάμβων. — οὐκ ἄν — οὐδέν] ὅρα καὶ ἐνταῦθα τὴν ἐπισώρευσιν τῶν ἀρνητικῶν μορίων πρὸς ἔμφασιν βεβαίως. — Αἰσχίνῃ] ἐννοητέον τὸ «γεγραμμένον» ἢ = οὐδὲν ψήφ. ἔχει Αἰσχίνης, κατὰ τὴν ἀττικὴν φράσιν «ἔστι μοί τι,,» — ἐν τῷ ἐμῷ ὕδατι] οὕτω καὶ ἐν τῷ π. παραπρ. (§. 57.) «ἀναξὰς ἐν τῷ ἐμῷ ὕδατι εἰπάτω.» καὶ ἐν τῷ πρ. Πολυκλ. §. 2. ταὐτὸ τῷ παρ' Ἀνδοκίδῃ (π. τ. Μυστ. §. 55.) καὶ παρ' Αἰσχίνῃ (π. παραπρ. §. 39.) «ἐν τῷ ἐμῷ λόγῳ.» W. ἐν πλείσταις δίκαις ὁ χρόνος τοῦ λέγειν ἐμετρεῖτο πρὸς ὕδωρ ῥέον ἐκ κλεψύδρας, μεθ' οὗ ἅμα ἐκρεύσαντος ὤφειλε παύσασθαι καὶ ὁ ῥήτωρ· ἐπειδὴ δὲ πολύτιμός τις ἦν ὁ χρόνος οὗτος, ὑπῆρχεν ἰδίως ὑπηρέτης (ὁ ἐφ' ὕδωρ) ἵνα κρατήσῃ τὸ ὕδωρ («σὺ δ' ἐπίλαβε τὸ ὕδωρ» Δημ. κ. Κόνων. §. 36.) ἀναγινωσκομένων μαρτυριῶν ἢ ἄλλων ἐγγράφων· ὅτε δ' ὁ ῥήτωρ βέβαιος ἦν περὶ τῆς ἀληθείας τῶν λεγομένων προὐκαλεῖτο τὸν ἀντίδικον, εἴ τι ἔχει ἀντιτάξαι αὐτοῖς, εἰπεῖν καὶ ῥέοντος τοῦ ὕδατος αὐτοῦ. — δυοῖν θάτερον] κατ' οὐδέτερον γένος, εἶτ' ἐπιρρηματικῶς· ἔστι δὲ κατηγορούμενον τοῦ αὐτὸν παραλειπομένου τοῦ εἶναι. Β. κ. Ρ. πρβλ. καὶ τὸ ἐν §. 171. «τοὺς ἀμφότερα ταῦτα» καὶ τὴν αὐτόθι σημ. — ἢ μηδὲν — ἀμείνω] παραπλήσια τούτοις ἐκφράζει πλατύτερον ὁ ῥήτωρ καὶ ἐν §. 217. — μὴ γράφειν — μὴ φέρειν] ταῦτα ἐξηγητέα διὰ παρατατικοῦ (ὅτι δὲν ἔγραφεν), ὡς καὶ τὰς αἰτιολογικὰς μετοχὰς ἔχοντα, ζητοῦντα. — παρὰ ταῦθ'] τὰ ἐμὰ ψηφίσματα· τὸ δ' ἕτερος συνήθως συντάσσεται οὕτω μετὰ τῆς παρά.

140 Ἆρ' οὖν οὐδ' ἔλεγεν, ὥσπερ οὐδ' ἔγραφεν, ἡνίκα ἐργάσασθαί τι δέοι κακόν; οὐ μὲν οὖν ἦν εἰπεῖν ἑτέρῳ. καὶ τὰ μὲν ἄλλα καὶ φέρειν ἠδύναθ', ὡς ἔοικεν, ἡ πόλις καὶ ποιῶν οὗτος λανθάνειν, ἓν δ' ἐπεξειργάσατο, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ὃ πᾶσι τοῖς προτέροις ἐπέθηκε τέλος· περὶ οὗ τοὺς πολλοὺς ἀνήλωσε λόγους, τὰ τῶν Ἀμφισσέων τῶν Λοκρῶν διεξιὼν δόγματα, ὡς διαστρέψων τἀληθές. τὸ δ' οὐ τοιοῦτόν ἐστι· πόθεν; οὐδέποτ' ἐκνίψῃ σὺ τἀκεῖ πεπραγμένα σαυτῷ· οὐχ οὕτω πολλὰ ἐρεῖς.

141 Καλῶ δ' ἐναντίον ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς ἅπαντας καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, ὃς πατρῷός ἐστι τῇ πόλει, καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς εἶποιμι καὶ εἶπον καὶ τότ' εὐθὺς ἐν τῷ δήμῳ, ὅτε* πρῶτον εἶδον τουτονὶ τὸν μιαρὸν τούτου τοῦ πράγματος ἀπτόμενον (ἔγνων γάρ,

140. Ἆρ' οὖν οὐδ' ἔλεγεν — ἔγραφεν] ὁ B. κ. P. ἐξηγεῖ· = ἆρ' οὖν καὶ οὐκ ἔλεγεν, ὥσπερ καὶ οὐκ ἔγραφεν· ἀλλ' ἰδίως χρήζει διασαφήσεως τὸ ὥσπερ οὐδ' ἔγραφεν, ὅπερ κεῖται, νομίζω, ἄνευ ἐρωτήσεως ὡς ἔστιν εἰκάσαι ἐκ τοῦ ἀνωτέρω «οὐδ' ἔστιν οὔτε μεῖζον οὔτ' ἔλαττον ψήφισμα Αἰσχίνῃ.» ἡ δ' ἔννοια· καθὼς καὶ δὲν ἔγραφεν ὑπὲρ τῶν συμφερόντων τῇ πόλει, ἤτοι δὲν ἀνεδέχετο τὴν εὐθύνην οὐδεμιᾶς προτάσεως συμφερούσης τῇ πόλει, οὕτως ἄρα καὶ τότε δὲν ἔλεγεν, ὅτε εἶχε χρείαν νὰ ἐνεργήσῃ τι κακὸν τῇ πόλει; («οὐ μὲν οὖν ἦν εἰπεῖν ἑτέρῳ» =) τοὐναντίον οὐδεὶς ἕτερος παρ' αὐτὸν ἠδύνατο ὁμιλῆσαι τότε. — τὰ μὲν ἄλλα] τὰ μὲν ἄλλα ἃ εἰργάσατο κακά. — οὗτος] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ ἠδύνατο. — ἐπεξειργάσατο] ὅρα καὶ ἐνταῦθα τὸ σημαινόμενον τῶν προθέσεων ἐπὶ καὶ ἐξ (= ἐντελῶς), = ἐπὶ πᾶσι τοῖς ἄλλοις ἐξετέλεσεν. — ἐπέθηκε τέλος] ἐπεσφράγισεν. — τοὺς πολλοὺς — λόγους] ἀπὸ §. 107—130. τοῦ κ. Κτησ. — τῶν Ἀμφισσέων τῶν Λοκρῶν] γενικὴ «ἐξ ἀντικειμένου» (ἴδ. §. 99. σημ.)· = τὰ περὶ τῶν ἐξ Ἀμφίσσης (ὡς ἐν §. 153.) Λοκρῶν δόγματα τῶν Ἀμφικτυόνων· οὕτω καὶ ἐν τῷ πρ. Λεπτ. §. 113. «καὶ τούτων ψήφισμά ἐστιν Ἀλκιβιάδου.» πρβλ. Θουκ. Α', 140. «τὸ Μεγαρέων ψήφισμα.» W. — τὸ δ'] δεικτικὴ ἀντωνυμία (= τοῦτο δέ), ὅθεν καὶ κατ' ἔμφασιν ἀναγνωστέον πρὸς διαστολὴν ἀπὸ τοῦ ἄρθρου. — οὐ τοιοῦτόν ἐστιν] = οὐκ ἐστὶ τοιοῦτον οἷον διαστραφῆναι ὑπὸ τῶν λόγων τοῦ Αἰσχίνου· ἢ καὶ γενικῶς (= δὲν εἶναι ἕτσι). — ἐκνίψῃ] ὡς τινα ῥύπον ἠθικόν. ἀποτείνεται δὲ πάλιν τῷ Αἰσχίνῃ. — οὐχ οὕτω — ἐρεῖς] οὐκ ἐρεῖς οὕτω πολλά, ὥστε ἐκνίψασθαι τὰ ἐκεῖ πεπραγμένα.

141. ἔχουσι] κατέχουσι (ὡς ἐν §. 184.), κατοικοῦσιν ἐν τοῖς ἐν τῇ Ἀττικῇ ναοῖς αὐτῶν. — τὸν Πύθιον] τοῦτον ἐπικαλεῖται ἐνταῦθα ὀνομαστί, διότι πρόκειται περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ αὐτοῦ. — ὃς — τῇ πόλει] «τὸν Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος· τούτου γὰρ οἰκίσαντος τὴν Ἀττικήν, ὡς Ἀριστοτέλης φησί, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι καὶ Ἀπόλλω πατρῷον αὐτοῖς ὀνομασθῆναι.» Ἁρποκρ. — εἰ ποιμι] κατ' εὐκτικὴν πρὸς δήλωσιν τοῦ «ἐν-

εὐθέως ἔγνων), εὐτυχίαν μοι δοῦναι καὶ σωτηρίαν, εἰ δὲ πρὸς ἔχθραν ἢ φιλονεικίας ἰδίας ἕνεκ' αἰτίαν ἐπάγω τούτῳ ψευδῆ, πάντων τῶν ἀγαθῶν ἀνόνητόν με ποιῆσαι.

Τί οὖν ταῦτ' ἐπήραμαι καὶ διετεινάμην οὕτωσὶ σφοδρῶς; ὅτι 142
γράμματ' ἔχων ἐν τῷ δημοσίῳ κείμενα, ἐξ ὧν ταῦτ' ἐπιδείξω σαφῶς, καὶ ὑμᾶς εἰδὼς τὰ πεπραγμένα μνημονεύσοντας, ἐκεῖνο φοβοῦμαι, μὴ τῶν εἰργασμένων αὐτῷ κακῶν ὑποληφθῇ οὗτος ἐλάττων· ὅπερ πρότερον συνέβη, ὅτε τοὺς ταλαιπώρους Φωκέας ἐποίησεν ἀπολέσθαι τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας. τὸν γὰρ ἐν 143
Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν ἦλθε Φίλιππος καὶ δι' ὃν ἠρέθη τῶν Ἀμφικτυόνων ἡγεμών, ὃς ἅπαντ' ἀνέτρεψε τὰ τῶν Ἑλλήνων, οὗτός ἐστιν ὁ συγκατασκευάσας καὶ πάντων εἷς ἀνὴρ τῶν μεγίστων αἴτιος κακῶν. καὶ τότ' εὐθὺς ἐμοῦ διαμαρτυρομένου καὶ βοῶντος ἐν τῇ ἐκκλησίᾳ «πόλεμον εἰς τὴν Ἀττικὴν

δεχομένως» ἢ τοῦ «τυχόν.» — σωτηρίαν] κινδυνεύει γὰρ περὶ τῶν ἅλων, ὡς εἴρηται ἐν §. 3. (ὥστε σωτηρίαν = ἀθῴωσιν).

142. γράμματα] = ἔγγραφα. — ἔχων — εἰδὼς] ἐναντιωματικαὶ μετοχαὶ « καίτοι ἔχων καὶ εἰδώς.» — ἐν τῷ δημοσίῳ] ἐν τῷ δημ. οἴκῳ, ἐν τῷ Μητρῴῳ.— ἐπιδείξω] ἐνταῦθα = σχεδὸν τῷ ἀποδείξω.— μὴ τῶν εἰργ. — ἐλάττων] μὴ ὑποληφθῇ ἀσημότερός τις, ἢ τοιοῦτος ὥστε ἀποδοῦναι αὐτῷ ἃ ἔπραξε μεγάλα κακά. W. — ταὐτὰ σχεδὸν λέγει καὶ ἐν τῷ π. παραπρ. §. 29. « δεῖ δὲ μηδένα ὑμῶν — εἰς τὸ τῶν πραγμάτων μέγεθος ἀποβλέψαντα μείζους τὰς κατηγορίας καὶ τὰς αἰτίας τῆς τούτου δόξης νομίσαι. » ΓΜ. — πρότερον συνέβη] ἐν τῇ περὶ παραπρεσβείας δίκῃ Ολ. ρθ', β'., ὅτε ὁ Αἰσχίνης ἀπέφυγε δι' ἀσημάντου τινὸς ὑπεροχῆς ψήφων. W.— τὰ ψευδῆ — ἀπαγγείλας] οἷα τὰ ἀνωτέρω (ἐν §. 33.).

143. τὸν γὰρ — Ἐλάτειαν] οἱ παλαιοὶ ὡς πρὸς τὸν ῥυθμὸν παρατηρήσαντες ἐν τούτοις τὸν ἑξάμετρον εἶπον πολλὰ διὰ τὸ μεγαλοπρεπὲς τῆς ἐκφράσεως· ἀλλὰ τοῦτο συνέβη μᾶλλον ἐκ τύχης· ἄλλως δὲ ἐν τῇ εἰς τὸ πεζὸν συνθέσει καὶ προφορᾷ χάνεται ὁ ῥυθμός. B. κ. P. — Ἀμφίσσῃ] Ἀμφισσα πόλις τῆς Οζολίδος Λοκρίδος « προσεχὴς τῇ Φωκίδι » (Παυσ. Φωκ. 38, 1.) « ξ' στάδια ἄπωθεν Δελφῶν » (κ. Κτησ. §. 123.), τανῦν Σάλωνας μετ' ὀλίγων ἐρειπίων. — Ἐλάτειαν] ἴδ. §. 132. σημ. — ὃς] συναπτέον τῷ πόλεμον, αἱ δ' ἕτεραι δύο ἀναφορικαὶ προτάσεις κεῖνται παρενθετικῶς. αἱ παρ' ἡμῖν ἐκδόσεις ἔχουσι, κατὰ διόρθωσιν ἴσως, ὅ (= τὸ Φίλιππον ἡγεμόνα αἱρεθῆναι), ἀλλὰ τοιοῦτόν τι δὲν ὑπάρχει ἐν ταῖς διαφόροις γραφαῖς. — ὁ συγκατασκευάσας] σὺν τοῖς ἄλλοις (τοῖς «πάλαι πονηροῖς τῶν Θετταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν» §. 131.) κατασκευάσας. — τότ' εὐθὺς — ἐν τῇ ἐκκλησίᾳ] ὅτε δηλ. ὁ Αἰσχίνης ὡς πυλάγορος (§. 149.) ἐπανελθὼν εἰς Ἀθήνας ἀπήγγελλε τὰ δόξαντα τοῖς Ἀμφικτύοσι περὶ τῶν Ἀμφισσέων. — διαμαρτυρομένου] τοῦτο διαβεβαιοῖ καὶ Αἰσχίνης (κ. Κτησ. §. 125.). «τοῦ δόγματος τούτου ἀποδοθέντος ὑφ' ἡμῶν ἐν τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ, — καὶ Δημοσθένους — ἀντιλέγοντος.» — πόλεμον — εἰσάγεις] μέ-

εἰσάγεις, Αἰσχίνη, πόλεμον Ἀμφικτυονικόν,» οἱ μὲν ἐκ παρακλήσεως συγκαθήμενοι οὐκ εἴων με λέγειν, οἱ δ' ἐθαύμαζον, καὶ κενὴν αἰτίαν διὰ τὴν ἰδίαν ἔχθραν ἐπάγειν με ὑπελάμβα-
144 νον αὐτῷ. ἥτις δ' ἡ φύσις, ὦ ἄνδρες Ἀθηναῖοι, γέγονε τούτων τῶν πραγμάτων, καὶ τίνος εἵνεκα ταῦτα συνεσκευάσθη καὶ πῶς ἐπράχθη, νῦν ἀκούσατε, ἐπειδὴ τότε ἐκωλύθητε· καὶ γὰρ εὖ πρᾶγμα συντεθὲν ὄψεσθε, καὶ μεγάλα ὠφελήσεσθε πρὸς ἱστορίαν τῶν κοινῶν, καὶ ὅση δεινότης ἦν ἐν τῷ Φιλίππῳ θεάσεσθε.
145 Οὐκ ἦν τοῦ πρὸς ὑμᾶς πολέμου πέρας οὐδ' ἀπαλλαγὴ Φιλίππῳ,* εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ ὅμως ὑπ' αὐτοῦ τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρία ἔπασχε κακά· οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς

χρι τοῦδε αἱ προσβολαὶ τοῦ Φιλίππου περιωρίζοντο εἰς τὰς βορείους χώρας τῶν Ἀθηναίων· τώρα ὅμως, ὅτε ἐνηργεῖτο ὁ πρὸς Ἀμφισσεῖς πόλεμος καὶ εὔκολον ἦν ὑποθέσθαι ὅτι ὁ Φίλιππος ἔμελλε νὰ αἱρεθῇ στρατηγός, εὐλόγως ἐφοβεῖτο ὁ ῥήτωρ μὴ προσβάλῃ οὗτος καὶ αὐτὴν τὴν Ἀττικήν. W. — εἰσάγεις] = ζητεῖς, ἐπιχειρεῖς εἰσάγειν. ἴδ. τὴν ἐν §. 247. σημ.. — ἐκ παρακλήσεως συγκαθήμενοι] ἐπειδὴ αἱ ἐκκλησίαι τοῦ δήμου ἦσαν ἀνοικταὶ εἰς πάντα πολίτην, ἠδύναντο οἱ μέλλοντες προτεῖναί τι πολλοὺς παρακαλέσαι περὶ αὐτοῦ ἐλπίζοντες διὰ τῆς ψήφου αὐτῶν τε καὶ τῶν φίλων αὐτῶν κατορθῶσαι τὴν ἐπικύρωσιν.

144. συνεσκευάσθη] παρεσκευάσθη ὑπὸ τοῦ Αἰσχίνου σὺν τοῖς ἄλλοις πονηροῖς. — εὖ] συναπτέον τῷ συντεθέν. — καὶ μεγάλα ὠφελ. — τῶν κοινῶν] ταὐτὸ σχεδὸν ἐκφράζει διὰ τοῦ ἐν §. 173. «πολλῷ πρὸς τὰ λοιπὰ τῆς πάσης πολιτείας ἔσεσθε ἐμπειρότεροι.» — πρὸς ἱστορίαν] πρὸς γνῶσιν.

145. οὐκ ἦν — ἐδεῖτ' αὐτῷ κτλ.] «ὑποδιήγησις· ὅταν μετὰ τῶν πραγμάτων καὶ τὰς γνώμας τῶν πραξάντων ἑκάστου καὶ τὰς αἰτίας λέγωμεν.» Ρούφου Τέχν. Ῥητορ. σ. 454. — οὐκ ἦν πέρας οὐδ' ἀπαλλαγὴ Φιλίππῳ] τούτοις ἀντιφάσκει προφανῶς τὸ τοῦ Διοδώρου (ΙΣΤ', 77.) ὅτι ὁ Φίλιππος λύσας τὴν πολιορκίαν τοῦ Βυζαντίου «καὶ πρὸς Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας συνέθετο τὴν εἰρήνην.» ὅπερ ὑπ' οὐδενὸς ἄλλου ἀναφερόμενον δίδει ὑπόνοιαν ὅτι ὁ ἱστορικὸς οὗτος ἐννοεῖ διὰ τούτων πιθανῶς κατὰ συγκεχυμένην χρονολογίαν τὴν φιλοκράτειον εἰρήνην, ἧς οὐδαμοῦ μνείαν ποιεῖται οὗτος. ἴδ. περὶ τούτου καὶ τὰ ἐν τῷ παραρτήματι περὶ τοῦ ἐν §. 29. ψηφίσματος. — εἰ μὴ Θηβαίους — τῇ πόλει] κατὰ τοῦτο ἄρα οἱ Θηβαῖοι καὶ οἱ Θετταλοὶ τότε ἦσαν φίλοι τοῖς Ἀθηναίοις. καὶ πραγματικῶς μετὰ τὸν Φωκικὸν πόλεμον φαίνεται ὅτι κατανοήσαντες οὗτοι τοὺς ἰδιοτελεῖς σκοποὺς τοῦ Φιλίππου ἔκλινον πρὸς Ἀθηναίους, οἱ Θηβαῖοι τοὐλάχιστον, ὡς ἔστιν εἰκάσαι ἐκ τοῦ ἐν §. 151. «οἱ μὲν οὐκ ἦλθον» (ἴδ. καὶ τὴν αὐτ. σημ.), καὶ τοῦ ἐν §. 161. «ὅπως τοῦτο μὴ γένοιτο παρατηρῶν διετέλουν. » — τῶν στρατηγῶν] ἐκληπτέον γενικῶς καὶ οὐχὶ ἐπὶ ὡρισμένων προσώπων, ὡς ὑπέθεσάν τινες· διότι ὅλοι σχεδὸν οἱ τότε στρατηγοὶ τῶν Ἀθηναίων, ἐξαιρουμένου τοῦ Φωκίωνος, μικροῦ λόγου ἄξιοι ἦσαν. — τῶν λῃστῶν] λῃστὰς λέγει ἐνταῦθα τοὺς ἐκ τοῦ στρατοῦ ἀ-

χώρας γιγνομένων οὐδέν, οὔτ' εἰσήγετο ὧν ἐδεῖτ' αὐτῷ· ἦν δὲ 146
οὔτ' ἐν τῇ θαλάττῃ τότε κρείττων ὑμῶν, οὔτ' εἰς τὴν Ἀττικὴν
ἐλθεῖν δυνατὸς μήτε Θετταλῶν ἀκολουθούντων μήτε Θηβαίων
διιέντων· συνέβαινε δὲ αὐτῷ τῷ πολέμῳ κρατοῦντι τοὺς ὁποτ-
ουσδήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγοὺς (ἐῶ γὰρ τοῦτό γε)
αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόντων ἑκατέροις κα-
κοπαθεῖν. εἰ μὲν οὖν τῆς ἰδίας ἕνεκ' ἔχθρας ἢ τοὺς Θετταλοὺς 147
ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδέν' ἂν ἡγεῖτο
προσέξειν αὐτῷ τὸν νοῦν· ἐὰν δὲ τὰς ἐκείνων κοινὰς προφάσεις
λαβὼν ἡγεμὼν αἱρεθῇ, ῥᾷον ἤλπιζε τὰ μὲν παρακρούσεσθαι,
τὰ δὲ πείσειν. τί οὖν; ἐπιχειρεῖ, θεάσασθ' ὡς εὖ, πόλεμον
ποιῆσαι τοῖς Ἀμφικτύοσι καὶ περὶ τὴν Πυλαίαν ταραχήν.
εἰς γὰρ ταῦτ' εὐθὺς αὐτοὺς ὑπελάμβανεν αὐτοῦ δεήσεσθαι.

ποσπωμένους καί, ὡς οἱ Γουερίλλαι τῆς Ἱσπανίας, τὸν μικροπόλεμον μετερχομένους. πρβλ. Ξενοφ. Ἑλλην. Δ', 8, 35. «Ἀναξίβιος καὶ Ἰφικράτης ληστὰς διαπέμποντες ἐπολεμοῦντο ἀλλήλοις.» καὶ Ε', 1, 15. οὕτω καὶ ἐν τῷ κ. Φιλ. Α', §. 23. «ληστεύειν ἀνάγκη καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρῆσθαι τὴν πρώτην.» W.

146. οὔτε—μήτε] ὅρα τὴν χρῆσιν τοῦ οὔτε καὶ τοῦ μήτε κατὰ τὸ θετικὸν ἢ μὴ τῶν μεθ' ὧν συνάπτονται ἐννοιῶν. αἱ δὲ μετοχαὶ ὑποθετικῶς ἐξηγητέαι. — διιέντων] ἀφιέντων διὰ τῆς χώρας αὐτῶν. ταὐτὸ κατ' ἀόριστον ἐν §. 213. «ἢ διέντας αὐτοὺς ἐφ' ὑμᾶς.» — αὐτῷ] τῷ Φιλίππῳ. — κρατοῦντι] ἐναντιωματικὴ μετοχή. — αὐτῇ τῇ φύσει τοῦ τόπου] ἕνεκα αὐτῆς τῆς τοποθεσίας τῆς ἑκατέρων χώρας (τῆς τε Ἀττικῆς δηλ. καὶ τῆς Μακεδονίας). — καὶ τῶν ὑπαρχόντων ἑκατέροις] Ἀθηναίοις μὲν ὑπῆρχον ναυτικαὶ δυνάμεις, Φιλίππῳ δὲ στρατοὶ τῆς ξηρᾶς, οὓς δὲν ἠδύνατο εἰσαγαγεῖν εἰς τὴν Ἀττικὴν οὔτε διὰ θαλάσσης ἕνεκα τοῦ ἰσχυροῦ στόλου τῶν Ἀθηναίων, οὔτε διὰ ξηρᾶς, εἰ μὴ παρεῖχον αὐτῷ δίοδον μήτε Θετταλοὶ μήτε Θηβαῖοι.

147. συμπείθοι] ἐπεχείρει πείθειν. ἰδ. τὴν ἐν §. 247. σημ. ἡ δὲ σὺν συναπτέα τῷ βαδίζειν. — σύνηθες τοῖς Ἕλλησι τὴν ἑτέρῳ τινὶ ἀνήκουσαν πρόθεσιν συντιθέναι τῷ ῥήματι. Β. κ. Ρ. — ἂν] συναπτέον τῷ προσέξειν. — παρακρούσεσθαι] «ἀντὶ τοῦ ἐξαπατήσειν· πολὺ δὲ ἔστι — παρὰ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς. μετῆκται δὲ — ἀπὸ τοῦ τοὺς ἱστάντας τι ἢ μετροῦντας κρούειν τὰ μέτρα καὶ διασείειν ἕνεκα τοῦ πλεονεκτεῖν.» Ἁρποκρ. — εὖ] = εἰκότως, καταλλήλως τοῖς σκοποῖς αὐτοῦ. — τοῖς Ἀμφικτύοσι] ἐν τοῖς Ἀμφικτύοσι, διότι καὶ οἱ Λοκροὶ ἦσαν ἐκ τῶν λαῶν τῶν συγκροτούντων τὸ Ἀμφικτυονικὸν συνέδριον. ὅθεν καὶ ἐπιφέρεται καὶ ταραχὴν περὶ τὴν Πυλαίαν (συνεδρίασιν). περὶ δὲ τῶν Ἀμφικτυόνων ἰδ. Λεξικὸν τῆς Ἑλλ. Ἀρχαιολ. μεταφρ. Δ. Π. σ. 36—41. — περὶ τὴν Πυλαίαν] οἱ Ἀμφικτύονες συνήρχοντο τακτικῶς δὶς τοῦ ἔτους, τὸ φθινόπωρον μὲν ἐν Ἀνθήλῃ κώμῃ τῆς Φωκίδος πλησίον τῶν Θερμοπυλῶν παρὰ τῷ ναῷ τῆς Δήμητρος, τὸ δ' ἔαρ ἐν Δελφοῖς. ἐκ τῆς πρώτης θέσεως καθὸ ἀρχαιοτέρας, ὡς φαίνεται, ἐκαλεῖτο ἡ τε συνεδρίασις (καὶ ἡ ἐν Δελφοῖς ἔτι) καὶ οἱ πυλάγοροι. W. — εἰς ταῦτα] εἰς κατάπαυσιν τούτων ἤτοι τοῦ πολέμου καὶ τῆς περὶ τὴν Πυλαίαν ταραχῆς.

148 εἰ μὲν τοίνυν τοῦτο ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων ἱερομνημόνων ἢ τῶν ἐκείνου συμμάχων εἰσηγοῖτό τις, ὑπόψεσθαι τὸ πρᾶγμα ἐνόμιζε καὶ τοὺς Θηβαίους καὶ τοὺς Θετταλοὺς καὶ πάντας φυλάξεσθαι, ἂν δ' Ἀθηναῖος ἢ καὶ παρ' ὑμῶν τῶν ὑπεναντίων ὁ τοῦτο ποιῶν, εὐπόρως λήσειν· ἅπερ συνέβη. πῶς οὖν ταῦτ' ἐποίησεν;
149 μισθοῦται τουτονί. οὐδενὸς δὲ προειδότος, οἶμαι, τὸ πρᾶγμα οὐδὲ φυλάττοντος, ὥσπερ εἴωθε τὰ τοιαῦτα παρ' ὑμῖν* γίγνεσθαι, προβληθεὶς πυλάγορος οὗτος καὶ τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτὸν ἀνερρήθη. ὡς δὲ τὸ τῆς πόλεως ἀξίωμα

148. εἰ μὲν — εἰσηγοῖτό τις — ἂν δ' Ἀθηναῖος ἢ] ὅρα τὴν διαφορὰν τῶν ἐγκλίσεων, τῆς μὲν εὐκτικῆς δηλούσης τὸ ὁσάκις τύχοι, εἴτε οἱανδήποτε περίστασιν γενικῶς, τῆς δ' ὑποτακτικῆς τοὐναντίον μίαν μόνην ἐκ τῶν πολλῶν καὶ προσδοκωμένων περιστάσεων. οὕτω καὶ ἀνωτέρω· «εἰ μὲν — συμπείθοι — ἐὰν δὲ — αἱρεθῇ.» ἐξηγητέον δὲ τὰς εὐκτικὰς ταύτας διὰ παρατατικοῦ, καθ' ὃν χρόνον εἶναι καὶ αἱ ἀποδόσεις τῶν ὑποθετικῶν τούτων λόγων. — τοῦτο] τὸ πολεμεῖν. — ἱερομνημόνων] οἱ εἰς τὸ Ἀμφικτυονικὸν συνέδριον ἀποστελλόμενοι ἑκαλοῦντο οἱ μὲν ἱερομνήμονες, οἱ δὲ πυλάγοροι. ἐκ τῶν παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 117. «τῶν ἄλλων πυλαγόρων μεθεστηκότων,» καὶ «ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων» §. 122.) εἰκάζουσιν ὅτι οἱ ἱερομνήμονες ἦσαν οἱ εἰδικώτερον τὰς τὴν Ἀμφικτυονίαν συγκροτούσας πολιτείας ἐκπροσωποῦντες ὡσεὶ διαρκής τις ἐπιτροπή, ἐν ᾧ οἱ πυλάγοροι, φαίνεται, ἦσαν μόνον σύμβουλοι ὀφείλοντες ὑπερασπίζειν τὰ συμφέροντα τῆς ἑαυτῶν πατρίδος. — ἐκείνου] διὰ τῆς ἀντωνυμίας ταύτης ὡς καὶ διὰ τῆς ἑαυτοῦ ἐννοεῖται ὁ Φίλιππος. τοιαύτη δὲ μεταλλαγὴ τῶν ἀντωνυμιῶν κατὰ τὰ διάφορα πρόσωπα, ἀφ' ὧν θεωρεῖται τὸ περὶ οὗ ὁ λόγος πρόσωπον ἢ πρᾶγμα εἶναι συνήθης τοῖς ἀρχαίοις. — ὁ τοῦτο ποιῶν] ὁ εἰσηγούμενος τὸ πολεμεῖν. — λήσειν] ὑποκείμ. ἐννοεῖται τὸ ὁ Φίλιππος, καὶ οὐχὶ τὸ προσεχὲς ὁ τοῦτο ποιῶν. Β. κ. Ρ.

149. οἶμαι] ἀσχέτως τοῖς ἑπομένοις πρὸς περιορισμὸν τῆς ἀπολύτου ἐννοίας τοῦ οὐδενὸς — προειδότος (ἴδ. καὶ τὴν ἐν §. 49. σημ.). — φυλάττοντος] = παραφυλάττοντος. — ὥσπερ — γίγνεσθαι] οὕτω καὶ ἐν τῷ πρὸς Λεπτίνην (§. 3.) «διὰ τὸ ῥᾳδίως ἐξαπατᾶσθαι τὸν δῆμον» καὶ «οὐ γάρ ἐστιν ἐφ' ὅτου τοῦτο οὐ πεπόνθατε τῶν πάντων, ἀλλὰ καὶ ψηφίσματα πολλὰ πολλάκις ἐξαπατηθέντες κεχειροτονήκατε — καὶ ὅλως ἐν — πολλοῖς οἷς πράττετε καὶ τοιοῦτό τι συμβαίνειν ἀνάγκη.» — προβληθεὶς — χειροτονησάντων] οὕτω καὶ κατωτ. (§. 284) «οὐ σὲ ἐχειροτόνησε προβληθέντα», οἱ πυλάγοροι προβαλλόμενοι τῷ δήμῳ διά τινος ἐπὶ τούτῳ γραφομένου ψηφίσματος ἐξελέγοντο ὑπ' αὐτοῦ διὰ χειροτονίας, ὡς καὶ ὅλοι οἱ ἐν τέλει, ὧν ἡ ὑπηρεσία ἔχρῃζεν ἀτομικῆς τινος ἱκανότητος. W. — πυλάγορος] ἐν Ολ. ριʹ. ά. 339. μετὰ Μειδίου καὶ Θρασυκλέους (Αἰσχ. κατὰ Κτησ. §. 115.). παρ' Αἰσχίνῃ ἀπαντᾶται καὶ τύπος πυλαγόρας (κ. Κτησ. §. 114.), συνηθέστερος ὅμως ὁ κατὰ τὴν βʹ. κλίσιν. — καὶ τριῶν] ὅρα μὴ ἡ καὶ ἐλαττωτικὸς (= καὶ μάλις τρεῖς τέσσαρες). — τριῶν ἢ τεττάρων] ἔκφρασις ὑπεροπτικὴ μᾶλλον ἢ ὑπερβολική· παρομοίαν τινὰ ἐξ ἐφόδου ψηφοφορίαν χάριν τοῦ Δημοσθένους ἀναφέρει καὶ Αἰσχίνης (κ. Κτησ. §. 129.). W. — ἀνερρήθη] τὸ ἀποτέλεσμα τῶν ἐκλογῶν ἀπηγγέλλετο εὐθὺς τῷ δήμῳ ὑπὸ τοῦ

λαβὼν ἀφίκετο εἰς τοὺς Ἀμφικτύονας, πάντα τἄλλ' ἀρεὶς καὶ παριδὼν ἐπέραινεν ἐφ' οἷς ἐμισθώθη, καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ Κιρραία χώρα καθιερώθη, συνθεὶς καὶ διεξελθὼν ἀνθρώπους ἀπείρους λόγων καὶ τὸ μέλλον οὐ προορωμένους, τοὺς ἱερομνήμονας, πείθει ψηφίσασθαι περιελθεῖν τὴν 150
χώραν, ἣν οἱ μὲν Ἀμφισσεῖς σφῶν αὐτῶν οὖσαν γεωργεῖν ἔφασαν, οὗτος δὲ τῆς ἱερᾶς χώρας ἠτιᾶτο εἶναι, οὐδεμίαν δίκην τῶν Λοκρῶν ἐπαγόντων ἡμῖν, οὐδ' ἃ νῦν οὗτος προφασίζεται λέγων οὐκ ἀληθῆ. γνώσεσθε δ' ἐκεῖθεν. οὐκ ἐνῆν ἄνευ τοῦ προσκαλέσασθαι δήπου τοῖς Λοκροῖς δίκην κατὰ τῆς πόλεως τελέσασθαι. τίς οὖν ἐκλήτευσεν ἡμᾶς; ἀπὸ ποίας ἀρχῆς; εἰπὲ τὸν

προέδρου. τοῦτο ἐννοητέον διὰ τοῦ ἀνερρήθη. — εἰς Ἀμφικτύονας] ἤτοι εἰς τὸ Ἀμφικτυονικὸν συνέδριον. — λόγους — καὶ μύθους] οἷοι οἱ ἐν §. 119—122. τοῦ κ. Κτησ. — εὐπροσώπους] εὐσχήμους. — ἡ Κιρραία — καθιερώθη] ἴδ. κ. Κτησ. §. 107—112. — ἀνθρώπους — ἱερομνήμονας] ἀντιθέτως τῶν πυλαγόρων. οἱ ἱερομνήμονες ἐξελέγοντο, ἐν Ἀθήναις τοὐλάχιστον, ἐκ πάντων Ἀθηναίων (πρβλ. τὴν ἐν §. 248. περὶ τοῦ σιτώνην σημ.) ἄνευ διακρίσεως προσώπων, ἱκανότητος κλπ.

150. οὐδεμίαν δίκην — ἡμῖν] ἀναιρεῖ τὰ τοῦ Αἰσχίνου (κ. Κτησ. §. 116.) « ὅτι οἱ Ἀμφισσεῖς — θεραπεύοντες τοὺς Θηβαίους εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τῶν Ἀθηναίων, ὅτι χρυσᾶς ἀσπίδας ἀνέθηκεν πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξαράσασθαι, καὶ ἐπεγράψαμεν τὸ — ἐπίγραμμα Ἀθηναῖοι ἀπὸ Μήδων καὶ Θηβαίων, ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο. » — οὐδ'] ἐννοητέον τὴν μετοχὴν λεγόντων. — νῦν] τώρα ἐν τῷ κ. Κτησ. λόγῳ αὐτοῦ δηλ. ἀντιθέτως τοῖς ἄλλοις, ἃ τότε ἀπὸ τῆς Ἀμφικτυονίας ἐπανελθὼν ἀπήγγειλε τῇ βουλῇ καὶ τῷ δήμῳ (κ. Κτησ. §. 125.). ταῦτα δὲ ἃ νῦν προφασίζεται Αἰσχίνης οὐκ ἀληθῆ ἐνδέχεται εἶναι τὰ ἐν τῷ κ. Κτησ. §. 117. « ἀρχομένου δέ μου λέγειν — ἀναβοήσας τις τῶν Ἀμφισσέων, — ἀρχὴν δέ γε, ἔφη, ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ' ἂν ὠνομάζετο τοὔνομα τοῦ δήμου τῶν Ἀθηναίων ἐν ταῖς δε ταῖς ἡμέραις, ἀλλ' ὡς ἐναγεῖς ἐξήγετε ἐκ τοῦ ἱεροῦ. ἅμα δὲ ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας, — καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῆει. » — ἐκεῖθεν] ἐκ τοῦ ἑξῆς. — οὐκ ἐνῆν — τελέσασθαι] οὐκ ἐνῆν δήπου τοῖς Λοκροῖς τελέσασθαι δίκην κατὰ τῆς πόλεως ἄνευ τοῦ προσκαλέσασθαι. — ἐν ταῖς δίκαις ταῖς ὑπό τινος τῶν Ἀμφικτυονίδων πόλεων κατ' ἄλλης τινὸς ἐπαγομέναις διετηροῦντο οἱ αὐτοὶ τύποι οἵ καὶ ἐν ταῖς ἰδιωτικαῖς· ἤτοι ἐξεδίδετο πρῶτον τυπικὴ πρόσκλησις, ἥτις ἀπεστέλλετο εἰς τὴν ἐναγομένην πόλιν καὶ ἐδίδετο τῇ βουλῇ ἢ τῷ δήμῳ ἐνώπιον μαρτύρων· τοῦτο ἐλέγετο κλητεύειν, κλήτορες δ' ἐκαλοῦντο οἱ μάρτυρες ἐκεῖνοι (πρβλ. ἀνωτ. §. 55.). — τίς — ἐκλήτευσεν ἡμᾶς] ὁ A. Schaefer παρατηρεῖ ὅτι οὐδεμία πρόσκλησις ἐσταλη τοῖς Ἀθηναίοις ἀπὸ τῶν Λοκρῶν, διότι ἡ δίκη ἐπνίγη ὑπὸ τοῦ Αἰσχίνου ἔτι τεκταινομένη. — ἀπὸ ποίας ἀρχῆς] ἀπὸ ποίας ἀφορμῆς; ὁ Δημ. δὲν παραδέχεται τὴν ὑπ' Αἰσχίνου ῥηθεῖσαν ὡς ψευδῆ. ἡ ἐν τοῖς ἥττον καλοῖς χειρογράφ. διάφορος γραφὴ ἐπὶ ποίας ἀρχῆς (= ταχα τῷ « ἐπὶ

εἰδότα, δεῖξον. ἀλλ' οὐκ ἂν ἔχοις, ἀλλὰ κενῇ προφάσει ταύτῃ
151 κατεχρῶ καὶ ψευδεῖ. περιιόντων τοίνυν τὴν χώραν τῶν Ἀμφικτυόνων κατὰ τὴν ὑφήγησιν τὴν τούτου, προσπεσόντες οἱ Λοκροὶ μικροῦ κατηκόντισαν ἅπαντας, τινὰς δὲ καὶ συνήρπασαν τῶν ἱερομνημόνων. ὡς δ' ἅπαξ ἐκ τούτων ἐγκλήματα καὶ πόλεμος πρὸς τοὺς Ἀμφισσεῖς ἐταράχθη, τὸ μὲν πρῶτον ὁ Κόττυφος αὐτῶν τῶν Ἀμφικτυόνων ἦγε στρατιάν, ὡς δ' οἱ μὲν οὐκ ἦλθον, οἱ δ' ἐλθόντες οὐδὲν ἐποίουν, εἰς τὴν ἐπιοῦσαν Πυλαίαν ἐπὶ τὸν Φίλιππον εὐθὺς ἡγεμόνα ἦγον οἱ κατεσκευασμένοι
152 καὶ πάλαι πονηροὶ τῶν Θετταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν. καὶ προφάσεις εὐλόγους εἰλήφεσαν· ἦ γὰρ αὐτοὺς εἰσφέρειν καὶ ξένους τρέφειν* ἔφασαν δεῖν καὶ ζημιοῦν τοὺς μὴ ταῦτα ποιοῦντας, ἢ ἐκεῖνον αἱρεῖσθαι. τί δεῖ τὰ πολλὰ λέγειν; ἠρέθη γὰρ

τίνος ἄρχοντος») ἀπάδει ὅλως τῷ Ἕλληνι λόγῳ. W. — κενῇ καὶ ψευδεῖ] κατηγορούμενα τοῦ «προφάσει.»

151. περιιόντων — ἱερομνημόνων] παράβαλε τούτοις τὰ τοῦ Αἰσχίνου (κ. Κτησ. §. 123.). — μικροῦ] κατ' ἔλλειψιν τοῦ δεῖν. ἀποδοτέον δὲ τῷ κατηκόντισαν μόνον. — ἐκ τούτων] τῶν εἰρημένων. — Κόττυφος] «ἱερομνήμων ἦν Θετταλὸς — πάντα πράττων ὑπὲρ Φιλίππου,» Σχολ. ὁ τότε πρόεδρος («ὁ Φαρσάλιος ὁ τότε τὰς γνώμας ἐπιψηφίζων.» Αἰσχ. κ. Κτησ. §. 128.). — αὐτῶν τῶν Ἀμφικτυόνων] κατ' ἀντιδιαστολὴν τῆς Φιλίππου στρατιᾶς. — οἱ μὲν οὐκ ἦλθον] οἷον οἱ Ἀθηναῖοι καὶ οἱ Θηβαῖοι (κ. Κτησ. §. 128.), οἱ μὲν κατὰ ψήφισμα Δημοσθένους «οὗ τὸ κεφάλαιόν ἐστι· τὸν ἱερομνήμονα — τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων» (κ. Κτησ. §. 126. καὶ 127.), οἱ δὲ ὑποβλέποντες τὸν Φίλιππον, καὶ ἀσφαλέστερον κρίνοντες, ὡς μετ' οὐ πολὺ ἐδείχθη, ἔπεσθαι Ἀθηναίοις ἢ συγκατατάσσεσθαι Θετταλοῖς, ὡς μέχρι τοῦδε. πρβλ. §§. 36. 43. καὶ 143 — 148. — οὐδὲν ἐποίουν] πρβλ. καὶ τὰ τοῦ Αἰσχίνου· «ἐπειδὴ δὲ οὔτε τὰ χρήματα ἐξέτινον τῷ θεῷ, τούς τε ἐναγεῖς κατήγαγον κτλ.» κ. Κτησ. §. 129. — εἰς τὴν ἐπιοῦσαν] τὴν φθινοπωρινήν· ἡ δὲ εἰς = τῷ ἕως, ῥητὴν προθεσμίαν δηλοῦσα. οὕτω κεῖται καὶ ἐν §. 36. καὶ παρ' Αἰσχίνῃ κ. Κτησ. §. 98. «πραχθήσεσθαι δὲ ταῦτα οὐκ εἰς μακράν, ἀλλ' εἰς τὴν ἕκτην ἐπὶ δέκα — καὶ παρηγγέλθαι πάντας ἥκειν — εἰς τὴν πανσέληνον.» κ. ἀ. συνεχῶς. — εὐθὺς] κατ' Αἰσχίνην δὲ «πολλῷ χρόνῳ ὕστερον» (κ. Κτησ. §. 129.)· ἀλλὰ συνέφερε βεβαίως τῷ Αἰσχίνῃ αἰτιολογοῦντι τὴν Φιλίππου στρατηγίαν (αὐτόθι) ὡς οἷόν τε πλεῖστον ἀναδεῖξαι τὸν μεταξὺ τῆς Κοττύφου καὶ τῆς Φιλίππου στρατηγίας χρόνον πρὸς ἀποφυγὴν τῆς κατηγορίας, ὡς αὐτὸς ἐπήγαγε τὸν Φίλιππον ἐπὶ τοὺς Ἕλληνας (κ. Κτησ. §. 128.). — ἡγεμόνα] ὡς ἐφ' ἡγεμόνα. — ἦγον] ἦγον τὰ πράγματα, ὡς ἐν τῷ κ. Φιλ. Γ', §. 57. «οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον.» Schaef. — οἱ κατεσκευασμένοι] οἱ ἐπὶ τούτῳ παρεσκευασμένοι.

152. αὐτοὺς] = αὐτοὺς τούτους τοὺς πρὸς Ἀμφισσεῖς πολεμοῦντας Ἀμφικτύονας. — ταῦτα] τὸ εἰσφέρειν καὶ ξένους τρέφειν. — γὰρ] συμπλη-

ἐκ τούτων ἠγεμών. καὶ μετὰ ταῦτ' εὐθέως δύναμιν συλλέξας καὶ παρελθὼν ὡς ἐπὶ τὴν Κιρραίαν, ἐρρῶσθαι φράσας πολλὰ Κιρραίοις καὶ Λοκροῖς, τὴν Ἐλάτειαν καταλαμβάνει. εἰ 153
μὲν οὖν μὴ μετέγνωσαν εὐθέως, ὡς τοῦτ' εἶδον, οἱ Θηβαῖοι καὶ μεθ' ἡμῶν ἐγένοντο, ὥσπερ χειμάρρους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμα εἰς τὴν πόλιν εἰσέπεσεν· νῦν δὲ τό γ' ἐξαίφνης ἐπέσχον αὐτὸν ἐκεῖνοι, μάλιστα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, θεῶν τινος εὐνοίᾳ πρὸς ὑμᾶς, εἶτα μέντοι καὶ ὅσον καθ' ἕνα ἄνδρα, καὶ δι' ἐμέ. δὸς δέ μοι τὰ δόγματα ταῦτα καὶ τοὺς χρόνους, ἐν οἷς ἕκαστα πέπρακται, ἵν' εἰδῆτε ἡλίκα πράγματα ἡ μιαρὰ κεφα-

ρωτέον διά τινος ῥήματος, οἷον, ἀρκεῖ γὰρ λέγειν ὡς ἠρέθη. — ἐκ τούτων] ἕνεκα τούτων τῶν εἰρημένων προφάσεων. — μετὰ ταῦτ' εὐθέως] κατὰ τοῦτο διαφώνοῦσιν οἱ ἐκδόται, οἱ μὲν παραδεχόμενοι ὅτι ὁ Φίλιππος μόλις τὸν ὄγδοον μῆνα ἀφ' ἧς ἠρέθη στρατηγὸς τῶν Ἀμφικτυόνων (ἤτοι τὸν Ἐλαφηβολιῶνα) εἰσῆλθεν εἰς τὴν Λοκρίδα, καὶ τρεῖς μῆνας ὑστερώτερον, ἤτοι δύο περίπου μῆνας πρὸ τῆς ἐν Χαιρωνείᾳ μάχης κατέλαβε τὴν Ἐλάτειαν, οἱ δὲ ὡς ἀπίθανον τὸ ἐν οὕτω βραχεῖ χρόνῳ ἐμπεριληφθῆναι τὰ ἐν §. 211 — 223 γεγονότα, εἰκάζοντες ὅτι πολὺ πρότερον κατὰ τὸν χειμῶνα ἤτοι τὸν τελευταῖον μῆνα τοῦ 339 συνέβη ἡ κατάληψις τῆς Ἐλατείας. οὕτω φαίνεται καὶ κατὰ τὰ ἐν §. 216. π. τ. χ. ειμερινὴν σημειωθέντα. — ὡς ἐπὶ τὴν Κιρρ.] ὁρᾶ τὴν χρῆσιν τοῦ ὁμοιωματικοῦ ὡς ἐπὶ ψευδοῦς αἰτίας. — ἐρρῶσθαι φράσας] φράσις συνήθης τοῖς ἀρχαίοις = καταφρονήσας καὶ Λοκροὺς καὶ Κιρραίους. κατὰ Πλούταρχον ὅμως (Δημ. ΙΗ΄.) « Φίλιππος ὑπὸ τῆς περὶ τὴν Ἀμφισσαν εὐτυχίας ἐπαιρόμενος εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε καὶ τὴν Φωκίδα κατέσχεν, » ὥστε ἐξετέλεσε πρῶτον τὸ ἀνατεθὲν αὐτῷ ἔργον. πρβλ. καὶ τὰ Αἰσχίνου (κ. Κτησ. §. 146—147.)· « μισθοφορῶν δὲ (ὁ Δημ.) ἐν τῷ ξενικῷ — καὶ τοὺς μιρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι — προσέμιξε φέρων ἀναρπασθέντων τῶν ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει. τί γὰρ ἂν οἰεσθε Φίλιππον — τότε — εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν, χωρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι; » — πολλὰ] προσδιορισμὸς τοῦ ἐρρῶσθαι. — τὴν Ἐλάτειαν] ἡ Ἐλάτεια ἦν « ἡ μεγίστη τῶν ἐν Φωκεῦσι πόλεων καὶ ἐπικαιριωτάτη διὰ τὸ ἐπικεῖσθαι τοῖς στενοῖς καὶ τὸν ἔχοντα ταύτην ἔχειν τὰς εἰσβολὰς τὰς εἰς τὴν Φωκίδα καὶ τὴν Βοιωτίαν. » Στράβ. Θ΄, 418. μετὰ δὲ τὸν β΄. ἱερὸν πόλεμον εἶχε καταστραφῇ καὶ αὕτη μετὰ τῶν λοιπῶν Φωκικῶν πόλεων. « ἀνὰ χρόνον μέντοι » (Παυσ. Φωκ. Γ΄, 3.) « ἀνῳκίσθησαν αἱ πόλεις τοῖς Φωκεῦσι —, πλὴν εἰμὴ ἀνοικισθῆναί τινας ἐκώλυσεν ἀσθενειά τε ἡ ἐξ ἀρχῆς καὶ ἡ τῶν χρημάτων τότε ἔνδεια. Ἀθηναῖοι δὲ καὶ Θηβαῖοι σφᾶς ἦσαν οἱ κατάγοντες, πρὶν ἢ τὸ ἐν Χαιρωνείᾳ συμβῆναι πταῖσμα Ἕλλησιν. » — καταλαμβάνει] ἤδη ἀπὸ Ολ. ρθ΄, ά. 344. ἐλογοποίουν τινὲς ὡς Φίλιππος Ἐλάτειαν τειχιεῖ· ὁ δὲ Δημ. ἔκρινεν ὅτι ταῦτα μέλλει (ὁ Φίλιππος) καὶ μελλήσει (κ. Φιλ. Β΄, §. 14—15), ἀλλὰ τώρα « τελευταῖον καταλαβὼν αὐτὴν ἐχαράκωσε καὶ φρουρὰν εἰσήγαγεν » (κ. Κτησ. §. 140.).

153. νῦν δὲ] ὡς τὸ ἐν §. 133. ἴδε τὴν αὐτόθι σημ. — τοὺς χρόνους] διὰ τούτου συντόμως ἐννοεῖ ὁ ῥήτωρ τὴν ἐκ τῶν δημοσίων ἐγγράφων πιθανῶς ἐπὶ τούτῳ ἐξηγμένην καὶ ἀξιόπιστον σημείωσιν τῶν χρόνων, ἐν οἷς ταῦτα ἐπράχθη. — ἡ μιαρὰ κε-

154 λὴ ταράξασα αὕτη δίκην οὐκ ἔδωκεν. λέγε μοι τὰ δόγματα.

ΔΟΓΜΑΤΑ ΑΜΦΙΚΤΥΟΝΩΝ. [Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων, ἐπειδὴ Ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν καὶ σπείρουσι καὶ βοσκήμασι κατανέμουσιν, ἐπελθεῖν τοὺς πυλαγόρους καὶ τοὺς συνέδρους, καὶ στήλαις διαλαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς Ἀμφισσεῦσι τοῦ λοιποῦ μὴ ἐπιβαίνειν.

155 ΕΤΕΡΟΝ ΔΟΓΜΑ. Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων* καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων, ἐπειδὴ οἱ ἐξ Ἀμφίσσης τὴν ἱερὰν χώραν κατανειμάμενοι γεωργοῦσι καὶ βοσκήματα νέμουσι, καὶ κωλυόμενοι τοῦτο ποιεῖν, ἐν τοῖς ὅπλοις παραγενόμενοι τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον κεκωλύκασι μετὰ βίας, τινὰς δὲ καὶ τετραυματίκασιν, τὸν στρατηγὸν τὸν ἡρημένον τῶν Ἀμφικτυόνων Κόττυφον τὸν Ἀρκάδα πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακεδόνα, καὶ ἀξιοῦν ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς Ἀμφικτύοσιν, ὅπως μὴ περιίδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν θεὸν πλημμελούμενον· καὶ διότι αὐτὸν στρατηγὸν αὐτοκράτορα αἱροῦνται οἱ Ἕλληνες οἱ μετέχοντες τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων.]

Λέγε δὴ καὶ τοὺς χρόνους, ἐν οἷς ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ καθ' οὓς ἐπυλαγόρησεν οὗτος. λέγε.

φαλὴ] ὁ Αἰσχίνης. φράσις ἐναντία τῇ « ἡ φίλη κεφαλή. » B. κ. Ρ.

154. ἐπὶ ἱερέως] ὁ κατὰ ταύτην τὴν σύνοδον ἐπώνυμος ἄρχων τῶν Ἀμφικτυόνων ἦν φαίνεται ἱερεύς τις. B. κ. Ρ.— τῷ κοινῷ τῶν Ἀμφικτυόνων] κοινὸν τῶν Ἀμφικτυόνων εἶναι, ἴσως, ἡ παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 124.) ἐκκλησία λεγομένη· « ἐκκλησίαν γὰρ ὀνομάζουσιν, ὅταν μὴ μόνον τοὺς πυλαγόρους καὶ τοὺς ἱερομνήμονας συγκαλέσωσιν, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ θεῷ. » B. κ. Ρ.

155. καὶ διότι] διότι ἀντὶ τοῦ ὅτι συνεχῶς κεῖται ἐν τοῖς ἐγγράφοις, οἷον ἐν §. 167. « πυνθάνομαι — διότι. » καὶ §. 184. « διότι περὶ πλείονος ἐποιοῦντο. » ἐκ δὲ τοῦ προηγουμένου ἀξιοῦν ἐννοητέον πρὸς τὸ σημαινόμενον τὸ ῥῆμα λέγειν (= καὶ λέγειν ὅτι). B. κ. Ρ. — ἐπυλαγόρησεν] ἐγένετο πυλαγόρας.

ΧΡΟΝΟΙ. [Ἄρχων Μνησιθείδης, μηνὸς ἀνθεστηριῶνος ἕκτῃ ἐπὶ δεκάτῃ.]

Δὸς δὴ τὴν ἐπιστολήν, ὡς οὐχ ὑπήκουον οἱ Θηβαῖοι, 156
πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμάχους ὁ Φίλιππος, ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς, ὅτι τὴν μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλλάδα καὶ τοὺς Θηβαίους καὶ ὑμᾶς πράττειν, ἀπεκρύπτετο, κοινὰ δὲ καὶ τοῖς Ἀμφικτύοσι δόξαντα ποιεῖν προσεποιεῖτο· ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις αὐτῷ παρασχὼν οὗτος ἦν. λέγε.*

ΕΠΙΣΤΟΛΗ. [Βασιλεὺς Μακεδόνων Φίλιππος Πελοποννησίων 157
τῶν ἐν τῇ συμμαχίᾳ τοῖς δημιουργοῖς καὶ τοῖς συνέδροις καὶ τοῖς ἄλλοις συμμάχοις πᾶσι χαίρειν. ἐπειδὴ Λοκροὶ οἱ καλούμενοι Ὀζόλαι, κατοικοῦντες ἐν Ἀμφίσσῃ, πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Δελφοῖς καὶ τὴν ἱερὰν χώραν ἐρχόμενοι μεθ' ὅπλων λεηλατοῦσι, βούλομαι τῷ θεῷ μεθ' ὑμῶν βοηθεῖν καὶ ἀμύνασθαι τοὺς παραβαίνοντάς τι τῶν ἐν ἀνθρώποις εὐσεβῶν· ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκίδα, ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τεσσαράκοντα, τοῦ ἐνεστῶτος μηνὸς λῴου, ὡς ἡμεῖς ἄγομεν, ὡς δὲ Ἀθηναῖοι, βοηδρομιῶνος, ὡς δὲ Κορίνθιοι, πανήμου· τοῖς δὲ μὴ συναντήσασι πανδημεὶ χρησόμεθα, τοῖς δὲ συμβούλοις ἡμῖν κειμένοις ἐπιζημίοις. εὐτυχεῖτε.]

Ὁρᾶθ' ὅτι φεύγει μὲν τὰς ἰδίας προφάσεις, εἰς δὲ τὰς Ἀμ- 158
φικτυονικὰς καταφεύγει. τίς οὖν ὁ ταῦτα συμπαρασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς; τίς ὁ τῶν κακῶν

156. τοὺς ἐν Πελοποννήσῳ συμμάχους] Ἀρκάδας, Ἠλείους, Μεσσηνίους καὶ Ἀργείους. — ἀφορμὰς] ἀφορμὴ λέγεται κυρίως ἐπὶ τῆς ἐξόδου τῶν νεῶν ἀπὸ τοῦ ὅρμου· ἔπειτα δὲ γενικῶς ἐπὶ πάσης ἀρχῆς, αἰτίας, ἀφ' ἧς προέρχεται πρᾶξίς τις, καθὼς καὶ ἐπὶ χρηματικοῦ κεφαλαίου. B. κ. P.

157. τοῖς δημιουργοῖς] δημιουργοὶ ἐλέγοντο ἐν Μαντινείᾳ, Ἤλιδι, Ἄργει καὶ Ἀχαΐᾳ οἱ παρὰ τοῖς ἄλλοις Ἕλλησιν ἄρχοντες καλούμενοι. B. κ. P.—τοῖς δὲ μὴ —ἐπιζημίοις] τὸ χωρίον τοῦτο γενικῶς θεωρεῖται διεφθαρμένον· ἐκ δὲ τῶν διαφόρων περὶ τούτου εἰκασιῶν πιθανωτέρα φαίνεται ἡ τοῦ Bochnecke· «τοῖς δὲ μὴ συναντήσασι πανδημεί, χρησόμεθα τοῖς διὰ συμβόλων ἡμῖν κειμένοις ἐπιζημίοις,»=εἰς δὲ τοὺς μὴ συναντήσαντας πανστρατιᾷ θέλομεν μεταχειρισθῆ (ἐπιβάλῃ) τὰ διὰ συνθηκῶν ὡρισμένα ὑφ' ἡμῶν πρόστιμα.

τῶν γεγενημένων μάλιστα αἴτιος; οὐχ οὗτος; μὴ τοίνυν λέγετε, ὦ ἄνδρες Ἀθηναῖοι, περιιόντες, ὡς ὑφ' ἑνὸς τοιαῦτα πέπονθεν ἡ Ἑλλὰς ἀνθρώπου. οὐχ ὑφ' ἑνός, ἀλλ' ὑπὸ πολλῶν
159 καὶ πονηρῶν τῶν παρ' ἑκάστοις, ὧ γῆ καὶ θεοί· ὧν εἷς οὑτοσί, ὃν, εἰ μηδὲν εὐλαβηθέντα τἀληθὲς εἰπεῖν δέοι, οὐκ ἂν ὀκνήσαιμι ἔγωγε κοινὸν ἀλιτήριον τῶν μετὰ ταῦτα ἀπολωλότων ἁπάντων εἰπεῖν, ἀνθρώπων, τόπων, πόλεων· ὁ γὰρ τὸ σπέρμα παρασχών, οὗτος τῶν φύντων αἴτιος. ὃν ὅπως ποτὲ οὐκ εὐθὺς* ἰδόντες ἀπεστράφητε, θαυμάζω· πλὴν πολύ τι σκότος, ὡς ἔοικεν, ἐστὶ παρ' ὑμῖν πρὸ τῆς ἀληθείας.

160 Συμβέβηκε τοίνυν μοι τῶν κατὰ τῆς πατρίδος τούτῳ πεπραγμένων ἀψαμένῳ εἰς ἃ τούτοις ἐναντιούμενος αὐτὸς πεπολίτευμαι ἀφῖχθαι· ἃ πολλῶν μὲν ἕνεκ' ἂν εἰκότως ἀκούσαιτέ μου, μάλιστα δ' ὅτι αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ
161 τοὺς λόγους αὐτῶν ἀνέξεσθε. ὁρῶν γὰρ ἐγὼ Θηβαίους, σχεδὸν

138. περιιόντες] περιερχόμενοι ἐν τῇ ἀγορᾷ, ὡς λέγει κατωτ. ἐν §. 323. πρβλ. κ. Φιλ. Α', §§. 10. 48. Β', §. 14. «περιιόντες τινές.» καὶ π. παραπρ. §. 288. «νῦν δὲ — περιερχόμεθ' ἡμεῖς.» — ὑφ' ἑνὸς — ἀνθρώπου] τοῦ Φιλίππου. — καὶ πονηρῶν] = καὶ τούτων πονηρῶν· ἴδ. §. 285. σημ.

159. κοινὸν — ἀλιτήριον πόλεων] ὁ δὲ Αἰσχίνης (κ. Κτησ. §§. 131. 137.) «τῆς Ἑλλάδος ἀλιτήριον» ἐκάλεσε τὸν Δημ. — ἀλιτήριος = κακοποιὸς δαίμων· οὕτω Καλλίας ὁ Ἱππονίκου λέγεται παρ' Ἀνδοκίδῃ (π. τ. Μυς. §. 130—131.) ἀλιτήριος τοῦ πατρὸς αὐτοῦ. Β. κ. Ρ. — τῶν φύντων] ἐκληπτέον γενικῶς κατὰ τὸ «ὅ τι σπείρει τις, τοῦτο καὶ θερίζει,» ἑπομένως περιττὴ ἡ προσθήκη τοῦ «κακῶν.» Β. κ. Ρ. — εὐθὺς ἰδόντες ἀπεστράφητε] ὁ Β. κ. Ρ. ἐκλαμβάνων ταῦτα ἐπὶ τῆς προκειμένης δίκης ἐξηγεῖ· εὐθὺς ὅτε εἰσῆλθεν εἰς τὸ δικαστήριον ἔπρεπεν ἀποστραφῆναι αὐτόν (= νὰ τοῦ γυρίσουν ταῖς πλάταις), ἀλλὰ τὸ προηγούμενον ποτὲ (= καμμιᾷ φορᾷ) προφανῶς δηλοῖ ὅτι ὁ ῥήτωρ ἀορίστως ὁμιλεῖ. — πρὸ τῆς ἀληθείας] = ἔμπροσθεν τῆς ἀληθείας.

160. συμβέβηκε — ἀφῖχθαι] ὅρα πῶς τεχνηέντως εἰσάγει ὁ ῥήτωρ τοὺς ἑαυτοῦ ἐπαίνους ὡς τι συμβεβηκὸς καὶ οὐχὶ προεσκεμμένον, ἐπιφέρων καὶ τὸν λόγον, δι' ὃν εἰκότως ἤθελεν ἀκούσει αὐτοὺς οἱ Ἀθηναῖοι. ἴδ. καὶ Ἑρμογένην π. μεθ. δεινότ. σ. 422. «αὐτὸ — τοῦτό ἐστι — τεχνίτου ῥήτορος τὸ δοκεῖν αὐτόθεν λέγειν, ἵνα καὶ οὕτως ὁ δικαστὴς παραχθῇ.» — ἀψαμένῳ] ψαύσαντι. — αὐτὸς] ἐγὼ αὐτός. — τὰ ἔργα τῶν — πόνων] ἀντιθέτως τῷ ἑπομένῳ τοὺς λόγους αὐτῶν· οὕτω καὶ παρὰ Θουκυδίδῃ (Α', 22.) «καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι — τὰ δὲ ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ.» — τοὺς λόγους αὐτῶν] = τοὺς περὶ αὐτῶν λόγους (ὡς κεῖται κατωτέρω ἐν §. 214. «τοὺς περὶ τούτων λόγους.»). πρβλ. τὴν ἐν §. 140. περὶ τῆς «ἐξ ἀντικειμένου» γενικῆς σημ. οὕτω καὶ ἐν τῷ [Δημ.] πρ. Λεωχ. §. 31. «ὁ τοῦ πράγματος λόγος.»

δὲ καὶ ὑμᾶς ὑπὸ τῶν τὰ Φιλίππου φρονούντων καὶ διεφθαρμένων παρ' ἑκατέροις, ὃ μὲν ἦν ἀμφοτέροις φοβερὸν καὶ φυλακῆς πολλῆς δεόμενον, τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι, παρορῶντας καὶ οὐδὲ καθ' ἓν φυλαττομένους, εἰς ἔχθραν δὲ καὶ τὸ προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως τοῦτο μὴ γένοιτο παρατηρῶν διετέλουν, οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώμης μόνον ταῦτα 162
συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς Ἀριστοφῶντα καὶ πάλιν Εὔβουλον πάντα τὸν χρόνον βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν, καὶ περὶ τῶν ἄλλων πολλάκις ἀντιλέγοντας ἑαυτοῖς τοῦθ' ὁμογνωμονοῦντας ἀεί. οὓς σὺ ζῶντας μέν, ὦ κίναδος, κολακεύων παρηκολούθεις, τεθνεώτων δ' οὐκ αἰσθάνει κατηγορῶν· ἃ γὰρ περὶ Θηβαίων ἐπιτιμᾷς ἐμοί, ἐκείνων πολὺ μᾶλλον ἢ ἐμοῦ κατηγορεῖς, τῶν πρότερον ἢ ἐγὼ ταύτην τὴν συμ-

161. ἑκατέροις] Ἀθηναίοις καὶ Θηβαίοις. — ἀμφοτέροις] ὅρα τὴν διαφορὰν τῆς ἀμφότεροι ἀπὸ τῆς ἑκάτεροι.—οὐδὲ καθ' ἕν] ἀντὶ «κατ' οὐδὲν» πρὸς ἔμφασιν· οὕτω καὶ ἐν §. 112. «οὐδὲ εἷς·» ἐμφαντικώτερον βέβαια τοῦ «οὐδείς.»— ὅπως — διετέλουν] διετέλουν παρατηρῶν ὅπως μὴ γένοιτο τοῦτο τὸ προσκρούειν ἀλλήλοις. πρβλ. τὴν ἐν §. 143. π.τ. εἰ μὴ Θηβαίους σημ.

162. Ἀριστοφῶντα] οὗ μέμνηται ὁ ῥήτωρ καὶ ἐν §. 219. ἔῳ δὲ ὁ Ἀζηνιεύς, δημαγωγὸς Ἀθηναίων ὑπὲρ τὰ ν' ἔτη, ὁ κατ' Αἰσχίνην σεμνυνόμενος «ὅτι γραφὰς παρανόμων πέφευγεν ὁ καὶ ε'» (κ. Κτησ. §. 194). —Εὔβουλον] τὸν Ἀναφλύστιον, τὸν προσφιλῆ τῷ δήμῳ καθὸ κολακεύοντα αὐτὸν διὰ θεωρικῶν [πρβλ. Ὀλυνθ. Γ', §. 11. σημ.], καὶ προτείνοντα πάντοτε τὴν εἰρήνην. Β. κ. Ρ. ἴδ. καὶ τὴν ἐν §. 21. σημ. —ταύτην] τὴν πρὸς Θηβαίους. — καὶ περὶ τῶν ἄλλων] ὁ καὶ συνδέει τὰς εἰδικὰς μετοχὰς «βουλομένους» καὶ «ὁμογνωμονοῦντας·» ἡ δὲ παρεμπίπτουσα «ἀντιλέγοντας» εἶναι ἐναντιωματικήν. —ἀντιλέγοντας ἑαυτοῖς] δείγματα τῆς πρὸς ἀλλήλους ἔχθρας τούτων βλέπομεν παρὰ Δημοσθένει ἐν τῷ π. παραπρ. §. 291. καὶ ἐν τῷ κ. Μειδ. §. 218. ἔνθα ὁ Σχολ. σημειοῖ· «οὗτος (ὁ Ἀριστοφῶν) φορολόγος ὢν κατέσχε παρ' αὐτῷ τὰς δεκάτας τῆς θεοῦ, — κατηγορηθεὶς δὲ ὑπὸ Εὐβούλου κτλ.»— ζῶντας — τεθνεώτων] χρονικαὶ μετοχαὶ = ἐν ᾧ ἔζων—τώρα δ' ἀφοῦ ἀπέθανον. — ὦ κίναδος] ταὐτὸ ὕβρισε τὸν Δημ. καὶ Αἰσχίνης (κ. Κτησ. §.167.).— κίναδος ξένη λέξις αὕτη ἐκ τῶν Σικελῶν οὕτω καλούντων τὴν ἀλώπεκα. Β.κ. Ρ. —κολακεύων παρηκολούθεις] ἀμφοτέροις τούτοις ἐγραμμάτευσεν ὁ Αἰσχίνης, ὡς λέγεται ἐν τῷ βίῳ αὐτοῦ τῷ ἐν τῇ στερεοτ. ἐκδόσει προτασσομένῳ. ὅτι δὲ μετὰ ταῦτα τοῖς περὶ τὸν Εὔβουλον ἀνῆκε φαίνεται ἐκ τῶν ἐν τῷ περὶ παραπρεσβείας λόγῳ αὐτοῦ· «παρακαλῶ δὲ Εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν — ἀνδρῶν συνήγορον κτλ.» W. — οὐκ αἰσθάνει] ἡ κοινοτέρα γραφὴ οὐκ αἰσχύνει εἶναι προφανῶς ἐσφαλμένη καθὸ ἀσύμφωνος τῇ ἐννοίᾳ καὶ ἰδίως τῇ ἐξῆς αἰτιολογικῇ προτάσει. CH.— ἃ γὰρ — ἐπιτιμᾷς ἐμοί] ἐν τῷ κ. Κτησ. §. 137. κ. ἑ. ἐν τούτοις ὁ Αἰσχίνης ἐμέμφθη οὐχὶ τόσῳ τὴν συμμαχίαν αὐτήν, ὅσῳ τὸν τρόπον, καθ' ὃν ἐξεπέρανεν αὐτὴν ὁ Δημ. — τῶν πρό-

163 μαχίαν δοκιμασάντων. ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι τὸν ἐν Ἀμφίσσῃ πόλεμον τούτου μὲν ποιήσαντος, συμπεραναμένων δὲ τῶν ἄλλων τῶν συνεργῶν αὐτῷ τὴν πρὸς Θηβαίους ἔχθραν, συνέβη τὸν Φίλιππον ἐλθεῖν ἐφ'* ἡμᾶς, οὗπερ ἕνεκα τὰς πόλεις οὗτοι συνέκρουον, καὶ εἰ μὴ προεξανέστημεν μικρόν, οὐδ' ἀναλαβεῖν ἂν ἠδυνήθημεν· οὕτω μέχρι πόρρω προήγαγον οὗτοι τὸ πρᾶγμα. ἐν οἷς δ' ἦτε ἤδη τὰ πρὸς ἀλλήλους, τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων εἴσεσθε. καί μοι λέγε ταῦτα λαβών.

164 ΨΗΦΙΣΜΑΤΑ. [Ἐπὶ ἄρχοντος Ἱροπύθου, μηνὸς ἐλαφηβολιῶνος ἕκτῃ φθίνοντος, φυλῆς πρυτανευούσης Ἐρεχθηίδος, βουλῆς καὶ στρατηγῶν γνώμῃ, ἐπειδὴ Φίλιππος ἃς μὲν κατείληφε πόλεις τῶν ἀστυγειτόνων, τινὰς δὲ πορθεῖ, κεφαλαίῳ δὲ ἐπὶ τὴν Ἀττικὴν παρασκευάζεται παραγίγνεσθαι, παρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν ἐπιβάλλεται καὶ τὴν εἰρήνην, παραβαίνων τὰς κοινὰς πίστεις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ πέμπειν πρὸς αὐτὸν πρέ-

τερον ἢ ἐγὼ — δοκιμασάντων] τοῦτο ἐπικυροῦσι καὶ τὰ τοῦ Αἰσχίνου· «καίτοι πολλὰς μὲν πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα εἰκείως ἐκείνοις διακείμενοι —, Ἀριστοφῶν ὁ Ἀζηνιεὺς πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν αἰτίαν ὑπομείνας κτλ.» κ. Κτησ. §. 138—139.

163. ποιήσαντος] ἐνεργήσαντος, ὑφηγησαμένου (Ἰδ. §. 151.). — συμπεραναμένων δὲ — τὴν πρὸς Θηβαίους ἔχθραν] διὰ τὰ καθ' ἕκαστα τῆς ἔχθρας ταύτης, ἣν Δημοσθένης καίτοι «παρατηρῶν ὅπως μὴ — γένοιτο» (§. 161.) δὲν ἠδυνήθη, φαίνεται, κωλῦσαι, παραπέμπει ὁ ῥήτωρ εἰς τὰ περὶ τούτων ψηφίσματα (ἐν οἷς δ' ἦτε ἤδη τὰ πρὸς ἀλλήλους, τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων εἴσεσθε»), τὰ ἐνταῦθα ὅμως παρεντεθειμένα ἔγγραφα οὕτω πάνυ βραχέα καὶ γενικά τινα διαλαμβάνουσι περὶ τούτων, ὥστε καὶ μετὰ τὴν ἀνάγνωσιν αὐτῶν ἐν τῇ αὐτῇ ἢ καὶ πρότερον εὑρισκόμεθα ἀγνοίᾳ· οἱ δ' οὓς ὑπ' ὄψιν ἔχω ἐκδόται οὐδένα ποιοῦνται λόγον τούτων, πλὴν εἴ τίς τι περὶ λέξεων θέσεως παρατήρησεν. — προεξανέστημεν μικρόν] μικρὸν πρότερον ἐξανέστημεν. — ἀναλαβεῖν] ἀμεταβάτως ἄνευ τῆς ἔν τισι χειρογράφοις αὐτούς. οὕτω καὶ παρὰ Πλάτωνι (Πολ. Ε', 467.) «ποιῆσαι καὶ τὴν ἄλλην πόλιν ἀδύνατον ἀναλαβεῖν.» W. — οὕτω] προσδιορίζει τὸ πόρρω, καίτοι ἑτέρας λέξεως παρεμπιπτούσης (= μέχρι οὕτω πόρρω). οὕτω καὶ §. 220. «οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν — κίνδυνον» = ἐπεπείσμην οὕτω μέγαν εἶναι κτλ. — ἤδη] τότε πλέον. — τὰ πρὸς ἀλλήλους] προσδιορισμὸς τοῦ κατά τι. — ἀλλήλους = ὑμεῖς πρὸς Θηβαίους καὶ Θηβαῖοι πρὸς ὑμᾶς.

164. ἕκτῃ φθίνοντος] τῇ κδ'. — καὶ τοὺς ὅρκους — λύειν — παραβαίνων] ταῦτα πάντα ἄπορα καὶ ἀσυμβίβαστα τοῖς

σβεις, οἵτινες αὐτῷ δικλέξονται, καὶ παρακαλέσουσιν αὐτόν, μάλιστα μὲν τὴν πρὸς ἡμᾶς ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας, εἰ δὲ μή, πρὸς τὸ βουλεύσασθαι δοῦναι χρόνον τῇ πόλει καὶ τὰς ἀνοχὰς ποιήσασθαι μέχρι τοῦ θαργηλιῶνος μηνός. ἠρέθησαν ἐκ βουλῆς Σίμος Ἀναγυράσιος, Εὐθύδημος Φλυάσιος, Βουλαγόρας Ἀλωπεκῆθεν.

ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ. Ἐπὶ ἄρχοντος Ἱροπύθου, μηνὸς μουνυ- 165
χιῶνος ἕνῃ καὶ νέᾳ, πολεμάρχου γνώμῃ, ἐπειδὴ Φίλιππος εἰς ἀλλοτριότητα Θηβαίους πρὸς ἡμᾶς ἐπιβάλλεται καταστῆσαι, παρεσκεύασται δὲ καὶ παντὶ τῷ στρατεύματι πρὸς τοὺς ἔγγιστα τῆς Ἀττικῆς παραγίγνεσθαι* τόπους, παραβαίνων τὰς πρὸς ἡμᾶς ὑπαρχούσας αὐτῷ συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ, πέμψαι πρὸς αὐτὸν κήρυκα καὶ πρέσβεις, οἵτινες ἀξιώσουσι καὶ παρακαλέσουσιν αὐτὸν ποιήσασθαι τὰς ἀνοχάς, ὅπως ἐνδεχομένως ὁ δῆμος βουλεύσηται· καὶ γὰρ νῦν οὐ κέκρικε βοηθεῖν ἐν οὐδενὶ τῶν μετρίων. ἠρέθησαν ἐκ βουλῆς Νέαρχος Σωσινόμου, Πολυκράτης Ἐπίφρονος, καὶ κήρυξ Εὔνομος Ἀναφλύστιος ἐκ τοῦ δήμου.]

Λέγε δὴ καὶ τὰς ἀποκρίσεις. 166

ΑΠΟΚΡΙΣΕΙΣ. [ΑΘΗΝΑΙΟΙΣ. Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἦν μὲν ἀπ' ἀρχῆς εἴχετε πρὸς ἡμᾶς αἵρεσιν, οὐκ ἀγνοῶ, καὶ τίνα σπουδὴν ποιεῖσθε, προσκαλέσασθαι βουλόμενοι Θετταλοὺς καὶ Θηβαίους, ἔτι δὲ καὶ Βοιωτούς· βέλτιον δ' αὐτῶν φρονούντων καὶ μὴ βουλομένων, ἐφ' ὑμῖν ποιήσασθαι τὴν ἑαυτῶν αἵρεσιν, ἀλλὰ κατὰ τὸ συμφέρον ἱσταμένων, νῦν ἐξ ὑποστροφῆς ἀποστείλαντες ὑμεῖς πρός με πρέσβεις καὶ κήρυκα συνθηκῶν

μέχρι τοῦδε ὑπὸ τοῦ ῥήτορος εἰρημένοις, καὶ εἰμὴ νόθα ὅλως (ἴδ. τὸ παράρτημα) ἀκατάλληλα τοὐλάχιστον ἐνταῦθα καὶ πάντῃ ξένα τοῦ προκειμένου.

165. εἰς ἀλλοτριότητα] = δυσμένειαν, ἔχθραν. — ἐνδεχομένως] ὅσον ἐνδέχεται. — οὐ κέκρικε — ἐν οὐδενὶ τῶν μετρίων] δὶν ἔκρινεν οὐδόλως καλόν. — βοηθεῖν] ἐκστρατεύειν πρὸς ἄμυναν.

166. αἵρεσιν] = προαίρεσιν, γνώμην κατ' ἐκλογήν. — ἐφ' ὑμῖν ποιήσασθαι τὴν — αἵρεσιν] ἐπὶ σοὶ ποιοῦμαί τι, περίφρασις ἀντὶ τοῦ [ἀφήνω εἰς τὴν ἐξουσίαν σου] «ὑπείκω τῇ σῇ γνώμῃ.» Β. — ἐξ ὑποστροφῆς] ὑποστρα-

μνημονεύετε καὶ τὰς ἀνοχὰς αἰτεῖσθε, κατ' οὐδὲν ὑφ' ἡμῶν πεπλημμεληκότες. ἐγὼ μέντοι ἀκούσας τῶν πρεσβευτῶν συγκατατίθεμαι τοῖς παρακαλουμένοις καὶ ἕτοιμός εἰμι ποιεῖσθαι τὰς ἀνοχάς, ἅνπερ τοὺς οὐκ ὀρθῶς συμβουλεύοντας ὑμῖν παραπέμψαντες τῆς προσηκούσης ἀτιμίας ἀξιώσητε. ἔρρωσθε.

167 ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΟΙΣ. Βασιλεὺς Μακεδόνων Φίλιππος Θηβαίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἐκομισάμην τὴν παρ' ὑμῶν ἐπιστολήν, δι' ἧς μοι τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην ἀνανεοῦσθε. πυνθάνομαι μέντοι, διότι πᾶσαν ὑμῖν Ἀθηναῖοι προσφέρονται φιλοτιμίαν, βουλόμενοι ὑμᾶς συγκαταίνους γενέσθαι τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις. πρότερον μὲν οὖν ὑμῶν κατεγίγνωσκον ἐπὶ τῷ μέλλειν πείθεσθαι ταῖς ἐκείνων ἐλπίσι καὶ ἑπακολουθεῖν αὐτῶν τῇ προαιρέσει. νῦν δ' ἐπιγνοὺς ὑμᾶς τὰ πρὸς ἡμᾶς ἐζητηκότας ἔχειν εἰρήνην μᾶλλον ἢ ταῖς ἑτέρων ἑπακολουθεῖν γνώμαις, ἥσθην καὶ μᾶλλον ὑμᾶς ἐπαινῶ κατὰ πολλά, μάλιστα δ' ἐπὶ τῷ βουλεύσασθαι περὶ τούτων ἀσφαλέστερον καὶ τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ· ὅπερ οὐ μικρὰν ὑμῖν οἴσειν ἐλπίζω ῥοπήν, ἐάνπερ ἐπὶ ταύτης μένητε τῆς προθέσεως. ἔρρωσθε.]

168 Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἦκεν ἔχων τὴν δύναμιν καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς

φέντες, μεταβαλόντες γνώμην. B. — πεπλημμεληκότες] ἠδικημένοι. — τῶν πρεσβευτῶν] οὕτω καὶ ἐν ἄλλῃ Φιλίππου δῆθεν ἐπιστολῇ (§. 77.) «οἱ παρ' ὑμῶν πρεσβευταί,» εἰ καὶ ὁ πληθυντικὸς αὐτοῦ σχηματίζεται ἀττικῶς οἱ πρέσβεις τῶν πρέσβεων. — τοῖς παρακαλουμένοις] τοῖς περὶ ὧν μὲ παρακαλεῖτε (κατὰ τὸ ἐν §. 165. καὶ παρακαλέσουσιν αὐτόν).

167. συγκαταίνους] συμφώνους. B. — ῥοπήν] κυρίως σημαίνει κλίσιν τινὸς σώματος (οἷον τῆς πλάστιγγος κλπ.) πρὸς τὰ κάτω, μεταφορικῶς δὲ ὅ τι φέρει μεταβολὴν εἰς καλόν (ὡς ἐνταῦθα), ἢ εἰς κακόν. B.

168. οὕτω διαθεὶς] δυσμενῶς δηλ. — τὰς πόλεις] Θήβας καὶ Ἀθήνας. — διὰ τούτων] τῶν περὶ τὸν Αἰσχίνην. — ταῖς ἀποκρίσεσιν] οὐχὶ ταῖς ἰδίαις ἑαυτοῦ, ἀλλὰ ταῖς μεταξὺ Ἀθηναίων καὶ Θηβαίων, αἱ ὁποῖαι δὴν ἦσαν βεβαίως φιλικαί. ὅτι δὲ εἶχε περὶ τούτων ὁ Φίλιππος ἀκριβεῖς πληροφορίας ἐννο-

οὐδ' ἂν εἴ τι γένοιτο ἔτι συμπνευσάντων ἂν ἡμῶν καὶ τῶν Θηβαίων. ἀλλὰ μὴν τὸν τότε συμβάντα ἐν τῇ πόλει θόρυβον ἴστε μὲν ἅπαντες, μικρὰ δ' ἀκούσατε ὅμως, αὐτὰ τἀναγκαιότατα.

Ἑσπέρα μὲν γὰρ ἦν, ἦκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις 169
ὡς Ἐλάτεια κατείληπται. καὶ μετὰ ταῦτα οἱ μὲν εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες τούς τ' ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον καὶ τὰ γέρρα ἐνεπίμπρασαν, οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο καὶ τὸν σαλπιγκτὴν ἐκάλουν, καὶ θορύβου πλήρης ἦν ἡ πόλις. τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ οἱ μὲν πρυτάνεις τὴν βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον, ὑμεῖς δ' εἰς τὴν ἐκκλησίαν* ἐπορεύεσθε, καὶ πρὶν ἐκείνην χρηματίσαι καὶ προβουλεῦσαι πᾶς ὁ δῆμος ἄνω καθῆτο. καὶ μετὰ ταῦτα 170

εἶται εὐκόλως. W. — οὐδ ἂν εἴ τι γένοιτο] ἡ αὐτὴ φράσις καὶ ἐν τῷ πρὸς Λεπτίνην (§. 134.)= ὅ τι δήποτε καὶ ἂν συνέβαινε (ἐν οὐδεμιᾷ περιπτώσει). ἐννοητέον δὲ τὸ οὐ καὶ εἰς τὸ συμπνευσάντων ἂν (=ὡς οὐκέτι συμπνευσάντων ἂν ἡμῶν οὐδ' ἂν εἴτι γένοιτο). — τότε] μετὰ τὴν κατάληψιν τῆς Ἐλατείας.

169. γὰρ] ἀφηγηματικός. — ἦκε δ'—ὡς τοὺς πρυτάνεις] εἰς τοὺς πρυτάνεις ἀπ' εὐθείας ἤρχετο πᾶσα ἐπίσημος ἀγγελία, καθότι οὗτοι ἦσαν ἰδίως τὰ ἐν ὑπηρεσίᾳ μέλη τῆς ἀνωτάτης διοικούσης ἀρχῆς, ἤτοι τῆς βουλῆς. W. — οἱ μὲν] τῶν πρυτάνεων. — μεταξὺ δειπνοῦντες] =ἐν ᾧ ἔτι ἐδείπνουν, ἤτοι ἀφέντες τὸ δεῖπνον εὐθὺς ἐξανέστησαν. οἱ πρυτάνεις διαρκούσης τῆς πρυτανείας αὐτῶν εἱστιῶντο δημοσίᾳ δαπάνῃ ἐν τῇ θόλῳ (οἰκήματί τινι πλησίον τοῦ βουλευτηρίου). — τούς τ' ἐκ τῶν σκηνῶν] κατὰ βραχυλογίαν· =τοὺς ἐν ταῖς σκηναῖς ἐκ τῶν σκηνῶν (ἐξεῖργον). πρβλ. §. 38. σημ. — τὰ γέρρα] «τὰ τῶν [ἐν τῇ ἀγορᾷ] σκηνῶν σκεπάσματα καὶ παρακαλύμματα.» Ἁρποκρ. ἐνέπρησαν δὲ αὐτὰ «ὑπὲρ τοῦ μὴ συνεστάναι [τὸν δῆμον] περὶ τὰ ὤνια ἐπὶ τῆς ἀγορᾶς, μηδὲ πρὸς ἄλλοις τισὶ τὰς διατριβὰς ἔχειν.» Ἁρποκρ. κατὰ δὲ τὸν West. εἰς σημεῖον τοῦ ἐν τῇ πόλει θορύβου, ἵνα διὰ τῶν πυρῶν τούτων παρορμήσωσι τοὺς ἐν τοῖς ἀγροῖς ὁπλίζεσθαι ταχέως καὶ σπεύδειν εἰς τὴν πόλιν πρὸς τὸ ἐκκλησιάζειν τῇ ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ. — τὸν σαλπιγκτὴν ἐκάλουν] αἱ σύγκλητοι ἐκκλησίαι συνεκαλοῦντο ὑπὸ τῶν στρατηγῶν διὰ τοῦ σαλπιγκτοῦ. B. κ. P. — χρηματίσαι καὶ προβουλεῦσαι] τυπικαὶ φράσεις, ἡ μὲν ἐπὶ συζητήσεως ἀντικειμένου τινός, ἡ δὲ ἐπὶ παραδοχῆς ἀποφάσεώς τινος (προβουλεύματος) προταθησομένης τῷ δήμῳ πρὸς περαιτέρω σκέψιν καὶ ἐπικύρωσιν. W. — ἄνω καθῆτο] ἡ ἐκκλησία τοῦ δήμου συνεκροτεῖτο συνήθως ἐπὶ τοῦ λόφου τῆς Πυκνός, ὅθεν καὶ ἡ φράσις «ἀναβαίνειν εἰς τὴν ἐκκλησίαν» (Δημ. κ. Ἀριστογ. Α', §§. 9. 20. — προοίμ. 6. καὶ 14.). — συνήθως ὑπῆρχε μεγάλη δυσκολία εἰς συνάθροισιν τοῦ λαοῦ [Ἀριστοφ. Ἀχαρν. 22.], ὅθεν καὶ μικρά τις χρηματικὴ ἀμοιβὴ (τρεῖς ὀβολοὶ) ἐδίδετο τοῖς συνερχομένοις προθύμως, εἰ δὲ καθυστεροῦντες ἐστεροῦντο τοῦ ἐκκλησιαστικοῦ τούτου μισθοῦ. τότε ὅμως τοσαύτη ἦν ἡ ἀνησυχία τῶν Ἀθηναίων, ὥστε πᾶς ὁ δῆμος καθῆτο περιμένων τὴν ἀπόφασιν τῆς βουλῆς. CH. πρβλ. Διόδ. ΙΣΤ', 84. «ὁ δὲ δῆμος ἅπας ἅμ' ἡμέρᾳ συνέδραμεν εἰς τὸ θέατρον πρὸ τοῦ συγκαλέσαι τοὺς ἄρχοντας, ὡς ἦν ἔθος.»

ὡς ἦλθεν ἡ βουλὴ καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγγελμένα ἑαυτοῖς καὶ τὸν ἥκοντα παρήγαγον, κἀκεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κήρυξ «τίς ἀγορεύειν βούλεται;» παρῄει δ' οὐδείς. πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος οὐδὲν μᾶλλον ἀνίστατ' οὐδείς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῆς κοινῆς τῆς πατρίδος φωνῆς τὸν ἐροῦνθ' ὑπὲρ σωτηρίας· ἦν γὰρ ὁ κήρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖ-
171 σθαι. καίτοι εἰ μὲν τοὺς σωθῆναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει, πάντες ἂν ὑμεῖς καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἀναστάντες ἐπὶ τὸ βῆμα ἐβαδίζετε· πάντες γὰρ οἶδ' ὅτι σωθῆναι αὐτὴν ἠβούλεσθε. εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι· εἰ δὲ τοὺς ἀμφότερα ταῦτα, καὶ εὐνοῦς τῇ πόλει καὶ πλουσίους, οἱ μετὰ ταῦτα τὰς μεγάλας ἐπιδόσεις ἐπιδόντες· καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ'
172 ἐποίησαν. ἀλλ' ὡς ἔοικεν, ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη οὐ μόνον εὐνοῦν καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς, καὶ συλλελογισμένον ὀρθῶς τίνος ἕνεκα ταῦτ' ἔπραττεν ὁ Φίλιππος καὶ τί βουλόμενος· ὁ γὰρ μὴ ταῦτ' εἰδὼς μηδ' ἐξητακὼς πόρρωθεν, οὔτ' εἰ εὔνους ἦν

170. ἀπήγγειλαν οἱ πρυτάνεις] διὰ τοῦ ἐπιστάτου τῆς ἡμέρας, τοῦ προέδρου. — τίς ἀγορεύειν βούλεται] κατὰ τὸν νεώτερον τύπον· κατὰ δὲ τὴν Σόλωνος διάταξιν τότε πλέον παρημελημένην (Αἰσχ. κ. Κτησ. §. 4.) ὁ τύπος τοῦ κηρύγματος ἦν «τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων καὶ πάλιν ἐν μέρει τῶν ἄλλων Ἀθηναίων;» (Αἰσχ. αὐτόθι—κ. Τιμ. §. 23.). — οὐδὲν μᾶλλον] ἢ πρότερον.

171. παρελθεῖν] παρουσιασθῆναι. — ὑμεῖς] οἱ παρόντες, ὅθεν καὶ ἐπιφέρει τὸ οἱ ἄλλοι Ἀθηναῖοι. — οἱ τριακόσιοι] οἱ ἡγεμόνες τῶν ἐν ταῖς εἰσφοραῖς συμμοριῶν, διότι οἱ τῶν τριηραρχικῶν συμμοριῶν εἶχον ἤδη καταργηθῆ ἀπὸ τοῦ νόμου τοῦ Δημ. (ἴδ. §. 102. σημ.). — τοὺς ἀμφότερα ταῦτα] ὁ West. θεωρεῖ τὸ «ἀμφότερα ταῦτα» ἀσχέτως τῷ ἄρθρῳ (καθὼς ἀπολύτως ἐκλαμβάνει καὶ τὸ ἐν §. 139. «δυοῖν θάτερον»), ἐμφαντικώτερον προφερομένου τοῦ ἄρθρου τούς· ἀλλ' ἐπίσης ὀρθὴ καὶ ἡ τοῦ μακαρίτου Βάμβα ἐξήγησις· «τοὺς ὄντας ἀμφότερα ταῦτα, ἤγουν καὶ εὔνους καὶ πλουσίους·» — οἱ ἐπιδόντες] συμπλήρου τὴν πρότασιν, ὡς καὶ τὴν οἱ τριακόσιοι, διὰ τοῦ «ἀναστάντες ἐβάδιζον ἂν ἐπὶ τὸ βῆμα.» — μετὰ ταῦτα] ἀμέσως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην. πρβλ. κατωτ. §. 248. «τὰ εἰς τὰ τείχη χρήματα.» καὶ 312. «ἔτε ἅπαντες — εἰς σωτηρίαν ἐπεδίδοσαν.» καὶ Δειν. κ. Δημ. §. 80.

172. παρηκολουθηκότα — ἐξ ἀρχῆς] φράσις ἀκριβῶς ἡ αὐτὴ τῇ παρὰ τῷ Εὐαγγελιστῇ Λουκᾷ (Α', 3.) «ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄ-

οὔτ' εἰ πλούσιος, οὐδὲν μᾶλλον ἤμελλεν ὅ τι χρὴ ποιεῖν εἴσεσθαι,
οὐδ' ὑμῖν ἔξειν συμβουλεύειν. ἐφάνην τοίνυν οὗτος ἐν ἐκείνῃ τῇ 173
ἡμέρᾳ ἐγώ, καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς, ἃ μου* δυοῖν ἕνεκ' ἀκούσατε προσσχόντες τὸν νοῦν, ἑνὸς μέν, ἵν' εἰδῆτε ὅτι μόνος τῶν λεγόντων καὶ πολιτευομένων ἐγὼ τὴν τῆς εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον, ἀλλὰ καὶ λέγων καὶ γράφων ἐξηταζόμην τὰ δέονθ' ὑπὲρ ὑμῶν ἐν αὐτοῖς τοῖς φοβεροῖς, ἑτέρου δέ, ὅτι μικρὸν ἀναλώσαντες χρόνον πολλῷ πρὸς τὰ λοιπὰ τῆς πάσης πολιτείας ἔσεσθ' ἐμπειρότεροι. εἶπον τοίνυν ὅτι «τοὺς 174
«μὲν ὡς ὑπαρχόντων Θηβαίων Φιλίππῳ λίαν θορυβουμένους
«ἀγνοεῖν τὰ παρόντα πράγμαθ' ἡγοῦμαι· εὖ γὰρ οἶδ' ὅτι, εἰ
«τοῦθ' οὕτως ἐτύγχανεν ἔχον, οὐκ ἂν αὐτὸν ἠκούομεν ἐν Ἑλα-
«τείᾳ ὄντα, ἀλλ' ἐπὶ τοῖς ἡμετέροις ὁρίοις. ὅτι μέντοι
«ἵν' ἕτοιμα ποιήσηται τὰ ἐν Θήβαις ἥκει, σαφῶς ἐπίσταμαι.
«ὡς δ' ἔχει» ἔφην «ταῦτα, ἀκούσατέ μου. ἐκεῖνος ὅσους ἢ 175
«πεῖσαι χρήμασι Θηβαίων ἢ ἐξαπατῆσαι ἐνῆν, ἅπαντας εὐ-
«τρέπισται, τοὺς δ' ἀπ' ἀρχῆς ἀνθεστηκότας αὐτῷ καὶ νῦν
«ἐναντιουμένους οὐδαμῶς πεῖσαι δύναται. τί οὖν βούλεται, καὶ
«τίνος ἕνεκα τὴν Ἐλάτειαν κατείληφεν; πλησίον δύναμιν δείξας
«καὶ παραστήσας τὰ ὅπλα τοὺς μὲν ἑαυτοῦ φίλους ἐπᾶραι

νωθεν πᾶσιν ἀκριβῶς.»CH. — οὐδὲν μᾶλλον] οὐδὲν μᾶλλον τοῦ οὔτε εὔνου οὔτε πλουσίου ὄντος.

173. οὗτος] ὁ ὢν ἐκεῖνος ὁ καιρὸς ἐκάλει. — παρελθὼν εἶπον εἰς ὑμᾶς] ἡ αὐτὴ φράσις καὶ ἐν τῷ περὶ εἰρήνης §. 6. — τὴν — τάξιν] οὕτω καὶ ἐν §. 138. «τὴν ὑπὲρ ὑμῶν τάξιν.» ἡ δ' ἔκφρασις μεταφορικὴ ἀπὸ τῆς ἐν ταῖς στρατείαις τάξεως καὶ συχνοτάτη παρὰ Δημοσθένει, οἷον ἐν Ὀλυνθ. Γ'. §. 36. «καὶ μὴ παραχωρεῖν τῆς τάξεως — τῆς ἀρετῆς.» — ὑπ. Ροδ. ἐλευθ. §. 32. «ἐχρῆν — τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῆς ἐν τῇ πολιτείᾳ τάξεως, ἣν περ περὶ τῆς ἐν ταῖς στρατείαις ἔχετε.» — π. παραπρ. §. 9. εἰς τίνα τάξιν ἑαυτὸν ἔταξεν Αἰσχίνης ἐν τῇ πολιτείᾳ.» κ. ἀ. — ἀλλὰ καὶ λέγων — φοβεροῖς] ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς φοβεροῖς ἐξηταζόμην καὶ λέγων καὶ γράφων ὑπὲρ ὑμῶν τὰ δέοντα.

174. τοὺς μὲν] ἀπόδοσις τοῦ μὲν εἶναι ὁ κατωτ. μέντοι, ὡς καὶ ἐν §. 206. — ὡς ὑπαρχόντων Θηβαίων Φιλίππῳ] ἄνευ τῆς προσθήκης τοῦ φίλων κατὰ τὴν συνήθη τοῖς Ἀττικοῖς φράσιν «ὑπάρχει μοί τι.» οὕτω καὶ ἐν τῷ περὶ παραπρεσβείας §. 54. «τούτους μαλακοὺς ἐποίησε τὸ τὸν Φίλιππον ὑπάρχειν αὐτοῖς πεισθῆναι.» καὶ ἐν §. 118. «δῆλός ἐστι — καθ' ὑμῶν ὑπάρξειν ἐκείνῳ.»

175. Θηβαίων] συναπτέον τῷ ὅσους. — ἐπᾶραι — ποιῆσαι — καταπλῆξαι] ἐξαρτῶνται ἐκ τοῦ βούλεται ἀπὸ κοινοῦ ἐννοουμένου ἐκ τῶν ἀνωτέρω. —

«καὶ θρασεῖς ποιῆσαι, τοὺς δ' ἐναντιουμένους καταπλῆξαι,
«ἵν' ἢ συγχωρήσωσι φοβηθέντες ἃ νῦν οὐκ ἐθέλουσιν, ἢ
176 «βιασθῶσιν. εἰ μὲν τοίνυν προαιρησόμεθ' ἡμεῖς » ἔφην « ἐν
«τῷ παρόντι, εἴ τι δύσκολον πέπρακται Θηβαίοις πρὸς ἡμᾶς,
«τούτου μεμνῆσθαι καὶ ἀπιστεῖν αὐτοῖς ὡς ἐν τῇ τῶν ἐχθρῶν
«οὖσι μερίδι, πρῶτον μὲν ἃ ἂν εὔξαιτο Φίλιππος ποιήσομεν,
«εἶτα φοβοῦμαι μὴ προσδεξαμένων τῶν νῦν ἀνθεστηκότων
«αὐτῷ καὶ μιᾷ γνώμῃ πάντων φιλιππισάντων εἰς τὴν Ἀττι-
«κὴν ἔλθωσιν ἀμφότεροι. ἂν μέντοι πεισθῆτ' ἐμοὶ καὶ πρὸς τῷ
«σκοπεῖν, ἀλλὰ μὴ φιλονεικεῖν περὶ ὧν ἂν λέγω γένησθε,
«οἶμαι καὶ τὰ δέοντα λέγειν δόξειν καὶ τὸν ἐφεστηκότα κίν-
177 «δυνον τῇ πόλει διαλύσειν. τί οὖν φημι δεῖν; πρῶτον μὲν τὸν
«παρόντα ἐπανεῖναι φόβον, εἶτα μεταθέσθαι καὶ φοβεῖσθαι
«πάντας ὑπὲρ Θηβαίων· πολὺ γὰρ τῶν δεινῶν εἰσιν ἡμῶν ἐγ-
«γυτέρω, καὶ προτέροις αὐτοῖς ἐστιν ὁ κίνδυνος· ἔπειτα ἐξ-
«ελθόντες Ἐλευσινάδε τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας δεῖξαι
«πᾶσιν ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας, ἵνα τοῖς ἐν Θήβαις
«φρονοῦσι τὰ ὑμέτερα ἐξ ἴσου γένηται τὸ παρρησιάζεσθαι πε-
«ρὶ τῶν δικαίων, ἰδοῦσιν ὅτι, ὥσπερ τοῖς πωλοῦσι Φιλίππῳ
«τὴν πατρίδα πάρεσθ' ἡ βοηθήσουσα δύναμις ἐν Ἐλατείᾳ, οὕ-

ἢ συγχωρήσωσι] οἱ ἐναντιούμενοι αὐτῷ. — βιασθῶσιν] ἐθέλειν ἃ νῦν οὐκ ἐθέλουσιν.

176. εἴτι — πέπρακται Θηβ. πρὸς ἡμᾶς] ἴδ. ἀνωτ. §§. 18. 98. 99. — μὴ προσδεξαμένων] τὸ μὴ ἀποδοτέον κυρίως τῷ ἔλθωσιν, εἰ καὶ χρωματίζει κάπως καὶ τὰς μετοχάς = φοβοῦμαι μήπως προσδεχθῶσιν — καὶ ἔλθωσιν. — τὸν ἐφεστηκότα κίδυνον τῇ πόλει] κατὰ μετάθεσιν τοῦ προσδιοριζομένου οὐσιαστικοῦ συνήθη τοῖς ἀρχαίοις ἀντὶ τοῦ « τὸν κίνδυνον τὸν ἐφεστηκότα τῇ πόλει. » οὕτω καὶ κατωτ. (§. 190.) « τοῦ φροντίζοντος ἀνδρὸς τῆς πόλεως » καὶ 197. « δυσμενέστατος ἄνθρωπος τῇ πόλει. » πρβλ. [Δημ.] κ. Ἀριστογ. Ἀ, §. 40. « τοὺς γευομένους κύνας τῶν προβάτων » κ. ἀ.

177. μεταθέσθαι] ἐκληπτέον ἀπολύτως (= μεταβαλεῖν γνώμην), καὶ οὐχὶ κατ' ἔλλειψιν τοῦ φόβον. W. — Ἐλευσινάδε] ὑπῆρχε μὲν πλησιεστέρα ὁδὸς εἰς Θήβας ὑπεράνω τῶν Ἀχαρνῶν καὶ τῆς Φυλῆς ἐγκαρσίως τῶν ὀρέων [ἴδ. Kiepert ἀρχαίον Ἄτλαντα VIII.], ἀλλ' αὕτη οὔτε ἦν διαβατὴ ὁλοκλήρῳ στρατῷ συνωδευμένῳ καὶ ὑπὸ ἱππικοῦ, οὔτε εἶχεν οὐδαμοῦ μέρος κατάλληλον εἰς παράταξιν συνόλου τοῦ στρατοῦ· ἡ δὲ εἰς Θήβας λεωφόρος φέρουσα διὰ τῆς Ἱερᾶς ὁδοῦ μέχρι τῆς πεδιάδος τῆς Ἐλευσῖνος διεκλαδοῦτο ἐκεῖ πρὸς ἄρκτον τε καὶ ἀνατολάς. W. — τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας] = πανστρατιᾷ. — ἐν ἡλικίᾳ] τῇ στρατευσίμῳ, ἤτοι ἀπὸ 18—60 ἐτῶν. — ἐξ ἴσου] ἐπίσης τοῖς μακεδονίζουσιν.

«τω τοῖς ὑπὲρ τῆς ἐλευθερίας ἀγωνίζεσθαι βουλομένοις ὑπάρ-
«χεθ' ὑμεῖς ἕτοιμοι καὶ βοηθήσετε, ἐάν τις ἐπ' αὐτοὺς ἴῃ. με- 178
«τὰ ταῦτα χειροτονῆσαι κελεύω δέκα πρέσβεις, καὶ ποι-
«ῆσαι τούτους κυρίους μετὰ τῶν στρατηγῶν καὶ τοῦ πότε
«δεῖ βαδίζειν ἐκεῖσε καὶ τῆς ἐξόδου. ἐπειδὰν δ' ἔλθωσιν οἱ
«πρέσβεις εἰς Θήβας, πῶς χρήσασθαι τῷ πράγματι παραινῶ;
«τούτῳ πάνυ μοι προσέχετε τὸν νοῦν. μὴ δεῖσθαι Θη-
«βαίων μηδέν (αἰσχρὸς γὰρ ὁ καιρός), ἀλλ' ἐπαγγέλλεσθαι
«βοηθήσειν, ἂν κελεύωσιν, ὡς ἐκείνων ὄντων ἐν τοῖς ἐ-
«σχάτοις, ἡμῶν δὲ ἄμεινον ἢ ἐκεῖνοι τὸ μέλλον προορωμέ-
«νων· ἵν' ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ
«ἃ βουλόμεθα ὦμεν διωκημένοι καὶ μετὰ προσχήματος ἀ-
«ξίου τῆς πόλεως ταῦτα πράξωμεν, ἂν δ' ἄρα μὴ συμβῇ κα-
«τατυχεῖν, ἐκεῖνοι μὲν αὐτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν ἐξαμαρ-
«τάνωσιν, ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ πεπραγ-
«μένον.» ταῦτα καὶ παραπλήσια τούτοις εἰπὼν κατέβην. 179
συνεπαινεσάντων δὲ πάντων καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐ-
δὲν οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ, οὐδ' ἔγραψα μέν,
οὐκ ἐπρέσβευσα δέ, οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θη-
βαίους, ἀλλ' ἀπὸ τῆς ἀρχῆς διὰ πάντων ἄχρι τῆς τελευτῆς

178. ποιῆσαι — κυρίους] ἐν σπουδαίοις ἰδίως καιροῖς ἀπένεμεν ὁ δῆμος τῇ βουλῇ τῶν φ', ἢ στρατηγοῖς τισι καὶ ἄρχουσιν ἀπόλυτον πληρεξουσιότητα, δι' ἧς καθίσταντο οὗτοι κύριοι (ἔχοντες ἐγκύρους τὰς πράξεις αὐτῶν), αὐτοκράτορες (ὡς παρ' [Ἀνδοκίδῃ] π. τ. Μυς. §. 13. «ἦν γὰρ αὐτοκράτωρ.»). πρβλ. Δημ. π. παραπρ. §. 154. «τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν.» W. — βαδίζειν] αὐτοὺς τοὺς πρέσβεις. — ἡμῶν δὲ — προορωμένων] ἄνευ τῆς προσθήκης τοῦ τὸ μέλλον. ἡ δ' ἔννοια· ἐπειδὴ ἡμεῖς μὴ ἐπαπειλούμενοι ὑπὸ τοῦ κινδύνου ἀμέσως, κάλλιον ἐκείνων δυνάμεθα ἔτι περαιτέρω νὰ προβλέπωμεν, ἤτοι πλέον ἀταράχως νὰ κρίνωμεν τὰ πράγματα. — ἐκεῖνοι] ἐννοεῖται κατ' ἀναλογίαν τὸ προορῶνται. οὕτω καὶ παρ' Ἰσοκράτει (π. εἰρ. §. 145.) «τοῖς δὲ νεωτέροις καὶ μᾶλλον ἀκμάζουσιν ἢ ἐγὼ παραινῶ.» — καὶ — ὦμεν διωκημ. καὶ μετὰ] ἁ. καὶ εἶναι προσθετικός. — μετὰ προσχήματος ἀξίου τῆς πόλεως] τοῦ βοηθεῖν δηλ. τοῖς κακοπαθοῦσιν. — κατατυχεῖν] ἤ κατὰ σημαίνει τὸ ἐξ ὁλοκλήρου. — ἐκεῖνοι μὲν] οἱ Θηβαῖοι. — μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν] οἷον τὸ ἐᾶσαι Φίλιππον δουλοῦσθαι Θηβαίους.

179. οὐκ εἶπον μὲν — οὐκ ἔπεισα δὲ Θηβαίους] «κλίμαξ — μετενήνεκται δὲ τὸ ὄνομα ἀπὸ τῶν ἀναβαινόντων τὰς κλίμακας· ὥσπερ γὰρ ἐκεῖνοις τὰ τελευταῖα πρῶτα γίνεται κατὰ τὴν τῶν ποδῶν μετάθεσιν,

διεξῆλθον, καὶ ἔδωκ' ἐμαυτὸν ὑμῖν ἁπλῶς εἰς τοὺς περιεστηκότας τῇ πόλει κινδύνους. καί μοι φέρε τὸ ψήφισμα τὸ τότε γενόμενον.

180 Καίτοι τίνα βούλει σέ, Αἰσχίνη, καὶ τίνα ἐμαυτὸν ἐκείνην τὴν ἡμέραν εἶναι θῶ; βούλει ἐμαυτὸν μέν, ὃν ἂν σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις, Βάτταλον, σὲ δὲ μηδ' ἥρωα τὸν τυχόντα, ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ τῆς σκηνῆς, Κρεσφόντην

οὕτω καὶ ἐν τῷ σχήματι τούτῳ τὰ τῶν πρώτων κώλων τελευταῖα τῶν ἐπιφερομένων ἀρχὴ γίγνεται.» Τιβέρ. π. Σχημ. σ. 557. εὐκρινέστερος δέ, νομίζω, γίνεται ὁ λόγος συμπληρούμενος ὧδέ πως. οὐκ ἄν εἴποι τις, ὡς εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ, οὐδ' ὡς ἔγραψα μέν, κτλ. — καὶ ἔδωκ' ἐμαυτὸν ὑμῖν ἁπλῶς] ἐπὶ τούτῳ συνεγῶς σεμνύνεται ὁ ῥήτωρ, οἷον ἐν §. 197. «ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν.» καὶ §. 221. «ἐν πᾶσιν ἐμαυτὸν ἐτακτον.» πρβλ. καὶ §. 88. «καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματα ἀφειδῶς διδούς,» καὶ τὴν αὐτόθι σημ. — καί μοι φέρε — τὸ ψήφισμα] ἡ ἀνάγνωσις τοῦ ψηφίσματος ἕπεται οὐχὶ ἀμέσως, ἀλλὰ μετὰ γενικόν τινα συλλογισμόν, ὃν ἐπιφέρει ὁ ῥήτωρ διὰ τοῦ καίτοι, πλάττων ὅτι ὁ γραμματεὺς δὲν ἔχει πρόχειρον τὸ ζητούμενον ἔγγραφον, καὶ ὅτι ἐν ὅσῳ οὗτος λαμβάνει αὐτὸ (κ. Μειδ. §. 108.) μεσολαβήσει χρόνος τις, ἐν δύναται νὰ μεταχειρισθῇ εἰς αὐτοσχεδίους δῆθεν στοχασμούς· οὕτω καὶ ἐν §§. 211. καὶ 218. πρβλ. π. παραπρ. §§. 213. 254. καὶ πρ. Λεπτ. §. 84. «λαβὲ δὴ καὶ τὸ ψήφισμα· ὅρα δὴ καὶ σκόπει. δεῖ γὰρ αὐτὸ ἐνταῦθ' εἶναί που. ἐγὼ δ' ἔτι τοῦτ' εἰπεῖν βούλομαι κτλ.» ἐνθα ὁ Σχολιαστής· «ὑποκρίνεται μὴ εὑρίσκειν τὸν γραμματέα (τὸ ψήφισμα), ἵνα δόξῃ αὐτοσχεδιάζειν ἃ λέγει καὶ μὴ ἐσκέφθαι.»

180. βούλει ἐμαυτὸν μέν] συμπληρωτέον ταῦτα διὰ τοῦ θῶ εἶναι τοῦτον. — ὃν ἂν — καλέσαις, Βάτταλον,] κατ' ἔμφασιν ἀναγνωστέον τὸ Βάτταλον, εἶναι δὲ ἐπεξήγησις τῆς ἀναφορικῆς προτάσεως. ὁ Αἰσχίνης ἐκάλεσε τωόντι τὸν Δημ. Βάτταλον (κ. Τιμάρχ. §. 131. — π. παραπρ. §. 99.), ἀλλὰ κατ' ἔννοιαν τοῦ «ἀσελγοῦς,» ἀνδρογύνου (π. παραπρ. §. 127.), ὡς καὶ παρ' Ἡσυχίῳ (βάταλος = καταπύγων, ἀνδρόγυνος)· ὁ δὲ ῥήτωρ παραχωρῶν τῷ ἀντιδίκῳ καλέσαι αὐτὸν οὕτω, φαίνεται ὅτι ἐκλαμβάνει τὴν λέξιν κατ' ἔννοιαν τοῦ τραυλοῦ («ἐξ ὑποκορίσματος τίτθης» Αἰσχ. κ. Τιμάρχ. §. 126.), ἢ τὸ πολὺ τοῦ ἀνάνδρου, ὡς ἐστιν εἰκάσαι ἔκ τε τῆς ἀντιπαραθέσεως «σὲ δὲ μηδ' ἥρωα τὸν τυχόντα κτλ.» καὶ ἐκ τοῦ ἐπιφερομένου συλλογισμοῦ «τότε τοίνυν — ὁ Παιανιεὺς ἐγὼ Βάτταλος Οἰνομάου τοῦ Καθωκίδου σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι.» ἄλλως δὲ περί τε τῆς ἀρχῆς καὶ περὶ τῆς σημασίας τοῦ Βάτταλος διεφώνουν καὶ αὐτοὶ οἱ ἀρχαῖοι, ὧν τὰς διαφόρους γνώμας ἴδ. παρὰ Πλουτάρχῳ (Δημ. Δ'.), καὶ παρὰ Σχολ. εἰς Αἰσχ. κ. Τιμάρχ. §. 126. κατὰ δὲ Λιβάνιον «ἱστόρηται — Βάτταλόν τινα Ἐφέσιον αὐλητὴν γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς ἐχρήσατο καὶ μέλεσι κατεαγόσι καὶ ὅλως τὴν τέχνην ἐμάλθαξεν· ἀπὸ τούτου δὲ τοὺς ἐκλύτους καὶ ἀνάνδρους Βαττάλους ἐκάλουν.» — σὲ δὲ] ἐννοεῖται τὸ θῶ εἶναι. — τῶν ἀπὸ τῆς σκηνῆς] τῶν ἡρώων οὓς οἱ τραγῳδοὶ εἰσάγουσιν εἰς τὴν σκηνήν. Σ. Κ. — Κρεσφόντην — Οἰνόμαον] πρόσωπα παριστώμενα ὑπὸ τριταγωνιστῶν. πρβλ. τὴν ἐν §. 129. π. τ. τριταγωνιστὴν σημ. — τὸ δρᾶμα ἐν ᾧ ὑπεκρίθη Αἰσχίνης τὸν Κρεσφόντην (ἕνα τῶν Ἡρακλειδῶν) ἀ-

ἢ Κρέοντα ἢ ὃν ἐν Κολλυτῷ ποτε Οἰνόμαον κακῶς ἐπέτριψας; τότε τοίνυν κατ' ἐκεῖνον τὸν καιρὸν ὁ Παιανιεὺς ἐγὼ Βάτταλος Οἰνομάου τοῦ Κοθωκίδου σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι. σὺ μέν γε οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα, ἐγὼ δὲ πάντα, ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην, ἔπραττον. λέγε τὸ ψήφισμά μοι.

ΨΗΦΙΣΜΑ [ΔΗΜΟΣΘΕΝΟΥΣ. Ἐπὶ ἄρχοντος Ναυσικλέους, 181
φυλῆς πρυτανευούσης Αἰαντίδος, σκιροφοριῶνος ἕκτῃ ἐπὶ δέκα, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν, ἐπειδὴ* Φίλιππος ὁ Μακεδόνων βασιλεὺς ἔν τε τῷ παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς γεγενημένας αὐτῷ συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον περὶ τῆς εἰρήνης, ὑπεριδὼν τοὺς ὅρκους καὶ τὰ παρὰ πᾶσι τοῖς Ἕλλησι νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παραιρεῖται οὐδὲν αὐτῷ προσηκούσας, τινὰς δὲ καὶ Ἀθηναίων οὔσας δοριαλώτους πεποίηκεν, οὐδὲν προαδικηθεὶς ὑπὸ τοῦ δήμου τοῦ Ἀθηναίων, ἔν τε τῷ

γνοεῖται. δύσκολον δὲ ὑποθέσθαι τὸν Εὐριπίδου Κρεσφόντην [ὡς φρονεῖ ὁ Β. κ. Ρ.], διότι τότε, ἐπειδὴ τὰ δράματα ἐκ τῶν κυριωτέρων ἐπιγράφονται προσώπων ὡς ἐπιτοπλεῖστον, ἔπρεπε νὰ παραδεχθῶμεν ὅτι ὁ Αἰσχίνης καὶ κύρια ὑπεκρίνετο πρόσωπα ἐν τοῖς κατ' ἀγροὺς παριστωμένοις δράμασιν. W.— Κ ρ έ ο ν τ α] τὸν ἐν Σοφοκλέους Ἀντιγόνῃ, ὃν ὑπεκρίθη Αἰσχίνης κατὰ τὰ ἐν τῷ περὶ παραπρεσβείας Δημ. §. 246. καὶ ἑ. W. — Ο ἰ ν ό μ α ο ν] ἴδ. τὴν ἐν §. 242. σημ. — ἐ ν Κ ο λ λ υ τ ῷ — ἐ π έ τ ρ ι ψ α ς] ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις, ὡς φαίνεται ἐκ τῶν παρ' Αἰσχίνῃ (κ. Τιμάρχ. §. 157. «ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν Κολλυτῷ»). ἐπειδὴ δὲ ὁ Κολλυτὸς ἦν δῆμος τοῦ ἄστεος, ἕπεται ὅτι μέρος αὐτοῦ ἔκειτο ἐκτὸς τῶν τειχῶν. W. — κ α κ ῶ ς ἐ π έ τ ρ ι ψ α ς] = διέστρεψας, κακῶς ὑπεκρίθης. ἴσως ἔχει ὁ ῥήτωρ ὑπ' ὄψιν καὶ τὸ ἐν βίῳ Αἰσχίνου (τῷ ἐν τῇ στεφαν. ἐκδόσει) ἀνέκδοτον· «Δημοχάρης δὲ ὁ ἀδελφιδοῦς Δημοσθένους — φησὶν Ἰσχάνδρου τοῦ τραγῳδοποιοῦ (ἴδ. Ἀποκρ.) τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην, καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέλοπα αἰσχρῶς πεσεῖν, καὶ ἀναστῆναι ὑπὸ — τοῦ χοροδιδασκάλου (ἐνθένδ' οὖν ὁ Δημ. Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων).»— κ α τ' ἐ κ ε ῖ ν ο ν τ ὸ ν κ α ι ρ ὸ ν] μετὰ τὸ γενικὸν τ ό τ ε εἰδικώτερον ἐπιφέρεται τοῦτο, = κατ' ἐκείνην τὴν δεινὴν περίστασιν (κατ' ἐκεῖνον τὸν α ἰ σ χ ρ ὸ ν καιρόν, ὡς ἐν §. 178.). — Π α ι α ν ι ε ὺ ς — Κ ο θ ω κ ί δ ο υ] ὁ ῥήτωρ ὑποτιθεὶς ἑαυτὸν μὲν Βάτταλον, Αἰσχίνην δὲ Οἰνόμαον, πρὸς διάκρισιν τῶν καθ' ὑπόθεσιν τούτων προσώπων ἀπὸ τῶν θετικῶν ὄντως προστίθησιν ἑκάστῳ καὶ τὸν ἑκατέρου δῆμον. ἴδ. καὶ Ερμογ. π. ἰδ. σ. 350. τὰ δὲ παρὰ τῷ Σ. Κομμητᾷ ἀτεχνῶς ἔσφαλται. — π λ ε ί ο ν ο ς] πλείονος τιμῆς ἄξιος, ἤτοι χρησιμώτερος. — ὅ σ α π ρ ο σ ῆ κ ε] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ π ρ ά τ τ ε ι ν.

181. ν ο μ ι ζ ό μ ε ν α] νομίμως δοξαζόμενα, πιστευόμενα. — π α ρ α ι ρ ε ῖ τ α ι] παρὰ τὸ δίκαιον αἱρεῖται. — π ρ ο ά γ ε ι] ἀμεταβάτως = προβαίνει.

182 παρόντι ἐπὶ πολὺ προάγει τῇ τε βίᾳ καὶ τῇ ὠμότητι· καὶ γὰρ Ἑλληνίδας πόλεις ἃς μὲν ἐμφρούρους ποιεῖ καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ ἐξανδραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ Ἑλλήνων βαρβάρους κατοικίζει ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλλότριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος οὔτε τοῦ τρόπου, καὶ τῇ νῦν αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμένος ἑαυτοῦ ὅτι ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν
183 ἀνελπίστως μέγας. καὶ ἕως μὲν πόλεις ἑώρα παραιρούμενον αὐτὸν βαρβάρους καὶ ἰδίας, ὑπελάμβανεν ἔλαττον εἶναι ὁ δῆμος ὁ Ἀθηναίων τὸ εἰς αὐτὸν πλημμελεῖσθαι· νῦν δὲ ὁρῶν Ἑλληνίδας πόλεις τὰς μὲν ὑβριζομένας, τὰς δὲ ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται εἶναι καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης τὸ περιορᾶν τοὺς Ἕλληνας καταδουλουμένους.
184 διὸ δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων, εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν καὶ τὴν χώραν τὴν Ἀθηναίων, καὶ ἐνθυμηθέντας τῆς τῶν προγόνων ἀρετῆς, διότι περὶ πλείονος ἐποιοῦντο τὴν τῶν* Ἑλλήνων ἐλευθερίαν διατηρεῖν ἢ τὴν ἰδίαν πατρίδα, διακοσίας ναῦς καθέλκειν εἰς τὴν θάλατταν καὶ τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς Πυλῶν, καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον τὰς πεζὰς καὶ τὰς ἱππικὰς δυνάμεις Ἐλευσινάδε ἐξάγειν, πέμψαι δὲ καὶ πρέσβεις πρὸς τοὺς ἄλλους Ἕλληνας, πρῶτον δὲ πάντων πρὸς Θηβαίους διὰ τὸ
185 ἐγγυτάτω εἶναι τὸν Φίλιππον τῆς ἐκείνων χώρας, παρακαλεῖν δὲ αὐτοὺς μηδὲν καταπλαγέντας τὸν Φίλιππον ἀντέχεσθαι τῆς ἑαυτῶν καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας, καὶ ὅτι ὁ Ἀθηναίων δῆμος, οὐδὲν μνησικακῶν εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς πόλεσι πρὸς ἀλλήλας, βοηθήσει καὶ δυνάμεσι καὶ χρήμασι καὶ βέλεσι καὶ ὅπλοις, εἰδὼς ὅτι

182. καταχόρως χρώμενος] = καταχρώμενος.

183. καὶ ἰδίας] μὴ ἀνηκούσας τοῖς Ἕλλησιν, ἀλλοτρίας.

184. τοῖς κατέχουσι τὴν πόλιν] τοῖς πολιούχοις. ἐννοεῖ δὲ τοὺς ἐπωνύμους τῶν δέκα φυλῶν, ἀλλὰ δὴ καὶ ἄλλους. B. κ. P.

αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας
οὖσιν Ἕλλησι καλόν, ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι
καὶ τῆς ἡγεμονίας ἀποστερεῖσθαι ἀνάξιον εἶναι καὶ τῆς τῶν
Ἑλλήνων δόξης καὶ τῆς τῶν προγόνων ἀρετῆς. ἔτι δὲ οὐδὲ 186
ἀλλότριον ἡγεῖται εἶναι ὁ Ἀθηναίων δῆμος τὸν Θηβαίων
δῆμον οὔτε τῇ συγγενείᾳ οὔτε τῷ ὁμοφύλῳ. ἀναμιμνήσκε-
ται δὲ καὶ τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς Θηβαί-
ων προγόνους εὐεργεσίας· καὶ γὰρ τοὺς Ἡρακλέους παῖδας
ἀποστερουμένους ὑπὸ Πελοποννησίων τῆς πατρῴας ἀρχῆς
κατήγαγον, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πει-
ρωμένους τοῖς Ἡρακλέους ἐκγόνοις, καὶ τὸν Οἰδίπουν καὶ
τοὺς μετ' ἐκείνου ἐκπεσόντας ὑπεδεξάμεθα, καὶ ἕτερα πολ-
λὰ ἡμῖν ὑπάρχει φιλάνθρωπα καὶ ἔνδοξα πρὸς* Θηβαίους·
διόπερ οὐδὲ νῦν ἀποστήσεται ὁ Ἀθηναίων δῆμος τῶν Θη- 187
βαίοις τε καὶ τοῖς ἄλλοις Ἕλλησι συμφερόντων. συνθέσθαι
δὲ πρὸς αὐτοὺς καὶ συμμαχίαν καὶ ἐπιγαμίαν ποιήσασθαι
καὶ ὅρκους δοῦναι καὶ λαβεῖν. πρέσβεις Δημοσθένης Δημο-
σθένους Παιανιεύς, Ὑπερείδης Κλεάνδρου Σφήττιος, Μνησι-
θείδης Ἀντιφάνους Φρεάρριος, Δημοκράτης Σωφίλου Φλυεύς,
Κάλλαισχρος Διοτίμου Κοθωκίδης.]

Αὕτη τῶν περὶ Θήβας ἐγίγνετο πραγμάτων ἀρχὴ καὶ κα- 188
τάστασις πρώτη, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀ-
πιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων. τοῦτο τὸ ψή-

185. αὐτοῖς μὲν] τοῖς Θη-
βαίοις, Ἀθηναίοις κλπ.

186. τοὺς Ἡρακλέους παῖ-
δας—καὶ τὸν Οἰδίπουν] ταῦ-
τα ἐκ τῆς μυθολογίας, εἰς ἣν οἱ ἀρχαῖοι
πλείονα ἀπέδιδον σπουδαιότητα ἢ εἰς
τὰ τῆς ἱστορίας. πρβλ. Ἰσοκρ. Πανηγ.
§. 54—71. κ. ἀ. συνεχῶς.

188. αὕτη τῶν περὶ κτλ.] «σχῆμα λαμπρότητος· γίνεται δὲ λό-
γος λαμπρός, ὅταν πεποίθησιν ἔχῃ
τινὰ ὁ λέγων ἐφ' οἷς ἂν λέγῃ, διὰ τὸ
ἔνδοξα εἶναι ἢ διὰ τὸ καλῶς πεπρᾶ-
χθαι αὐτῷ, οἷον αὕτη τῶν περὶ
Θήβας κτλ., καὶ [ἐν §. 299.] «οὐ
λίθοις ἐτείχισα τὴν πόλιν — ἀλλ' ἐὰν
τὸν ἐμὸν τειχισμὸν βούλῃ — σκοπεῖν,
εὑρήσεις ὅπλα καὶ πόλεις κτλ.» πολλὰ
δὲ τοῦ τοιούτου λόγου παραδείγματα
ἐν τῷ περὶ τοῦ στεφάνου διὰ τὸ φύσει ἀ-
ξιωματικὰν τοῦ λόγου καὶ λαμπρόν.»
Ἑρμογ. π. ἰδ. σ. 244. κ. ἑ.—κατά-
στασις] ἀποκατάστασις εἰς φιλίαν.
— τὰ πρὸ τούτων] προσδιορι-
σμὸς τοῦ κατά τι, ὡς καὶ ἐν §.
222.— τῶν πόλεων] Ἀθηνῶν καὶ
Θηβῶν. — ὑπὸ τούτων] τοῦ
Αἰσχίνου καὶ τῶν περὶ αὐτόν.— τοῦ-
το—ὡς περ νέφος] «ὑψηλόν γε
τοῦτο δοκεῖ νόημα, καὶ ἔστι τῳόντι

φισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν ὥςπερ νέφος. ἦν μὲν τοίνυν τοῦ δικαίου πολίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμεινον, μὴ νῦν ἐπιτι-
189 μᾶν. ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης, οὐδὲ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ μέν γε πρὸ τῶν πραγμάτων γνώμην ἀποφαίνεται καὶ δίδωσιν ἑαυτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, τῷ καιρῷ, τῷ βουλομένῳ, ὁ δὲ σιγήσας ἡνίκ' ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ,
190 τοῦτο βασκαίνει. ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς τοῦ γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως καὶ τῶν δικαίων λόγων· ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥςτε, ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλο ἐνῆν πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. εἰ γὰρ ἔσθ' ὅ τι τις νῦν ἑώρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθέν, τοῦτ' ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν. εἰ δὲ μήτ' ἔςι μήτε ἦν μήτ' ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω

θαυμάσιον, ὃ τῷ ψηφίσματι ὁ Δημ. ἐπιφέρει· τοῦτο τὸ ψήφισμα — ὥςπερ νέφος. ἀλλ' αὐτῆς τῆς διανοίας οὐκ ἔλαττον τῇ ἁρμονίᾳ πεφώνηται· ὅλον τε γὰρ ἐπὶ τῶν δακτυλικῶν εἴρηται ῥυθμῶν· εὐγενέστατοι δ' οὗτοι καὶ μεγεθοποιοί. — ἢ νὴ Δία μίαν ἀπόκοψον — συλλαβὴν μόνον, καὶ εἴσῃ πόσον ἡ ἁρμονία τῷ ὕψει συνηχεῖ.» Λογγῖνος περὶ ὕψους 39. — ἦν μὲν] ἡ ἀπόδοσις τοῦ μὲν ἕπεται ἐν §. 190. μετὰ δεύτερον μέν. — τούτων] τῶν ὑπ' ἐμοῦ γεγραμμένων.

189. ὁ σύμβουλος καὶ ὁ συκοφάντης] συμβούλου τάξιν οἰκειοποιεῖται ὁ Δημ. καὶ παρὰ Πλουτάρχῳ (Δημ. ΙΔ'.). «ἱστορεῖ δὲ καὶ Θεόπομπος, ὅτι τῶν Ἀθηναίων ἐπί τινα προβαλλομένων αὐτὸν κατηγορίαν, ὡς οὐχ ὑπήκουε, θορυβούντων ἀναστὰς εἶπεν· ὑμεῖς ἐμοί, ὦ ἄνδρες Ἀθηναῖοι, συμβούλῳ μὲν κἂν μὴ θέλητε χρήσεσθε, συκοφάντῃ δὲ οὐδὲ ἂν θέλητε.» — τῷ βουλομένῳ] ἐννοεῖται τὸ «κατηγορεῖν.» — ὁ δὲ σιγήσας — ἄντι δύσκολον συμβῇ] ταὐτὰ ἐπιτιμᾷ τῷ Αἰσχίνῃ καὶ ἐν §. 308. — βασκαίνει] ὑπὸ φθόνου μέμφεται, διαβάλλει· ὅταν δὲ λαμβάνηται ἀντοῦ φθονεῖ ἁπλῶς συντάσσεται δοτικῇ προσώπου καὶ γενικῇ πράγματος δηλωτικῇ. B.

190. ἦν μὲν — ὅπερ εἶπον] ἐπαναλαμβάνει ἄλλως πως τὰ ἐν §. 188. «ἦν μὲν τοίνυν τοῦ δικαίου πολίτου κτλ.» — ὑπερβολὴν ποιοῦμαι] ἡ αὐτὴ φράσις καὶ ἐν τῷ περὶ παραπρεσβείας (§. 332. «ἐγὼ δ' ὅτι μὲν — Χάρης εὕρηται πιστῶς, εὐνοϊκῶς — πράττων ὑπὲρ ὑμῶν οὐ σφόδρα ἰσχυρίζομαι, ἀλλ' ὑπερβολὴν ποιήσομαι. ἔςω γὰρ πάντα τἀληθῆ λέξειν περὶ αὐτοῦ τουτονί, κτλ.»). ἡ δ' ἔννοια· ἐγὼ δὲ τόσῳ περαιτέρω προβαίνω, (τόσῳ μεγαλοποιῶ τὸ πρᾶγμα), ὥςτε καὶ τώρα ἀκόμη ἂν ἔχῃ τις δεῖξαί τι βέλτιον τούτων ἃ ἐγὼ προειλόμην, ἢ ἂν ὅλως ἦν δυνατὸν προαιρεῖσθαι ἄλλο τι παρὰ ταῦτα, ὁμολογῶ ὅτι ἔχω ἄδικον. — τόσην πεποιθησιν εἶχεν ὁ ῥήτωρ ἐπὶ τοῖς πολιτεύμασιν αὐτοῦ. πρβλ. καὶ τὰ ἐν §. 193. — ἐνῆν] οὕτως ἐλλειπτικῶς κεῖται καὶ ἐν §. 193. «ἅπαντα ὅσα ἐνῆν·» ἐννοεῖται δ' ἀπὸ κοινοῦ τὸ προαιρεῖσθαι. — δεῖν] ἐξηγητέον διὰ πα-

καὶ τήμερον,* τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινο-
μένων καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; τοῦτο τοίνυν ἐποίησα, 191
τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη, «τίς ἀγορεύειν βούλεται,»
οὐ «τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων,» οὐδὲ «τίς ἐγγυᾶ-
σθαι τὰ μέλλοντ' ἔσεσθαι.» σοῦ δ' ἀφώνου κατ' ἐκείνους τοὺς
χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου ἐγὼ παριὼν ἔλεγον.
ἐπειδὴ δ' οὐ τότε, ἀλλὰ νῦν δεῖξον. εἰπέ, τίς ἦ λόγος, ὄντιν'
ἐχρῆν εὐπορεῖν, ἢ καιρὸς συμφέρων ὑπ' ἐμοῦ παρελείφθη τῇ
πόλει; τίς δὲ συμμαχία, τίς πρᾶξις, ἐφ' ἣν μᾶλλον ἔδει με
ἀγαγεῖν τουτουσί;

Ἀλλὰ μὴν τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ 192
οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν· τὸ δὲ μέλλον
ἢ τὸ παρὸν τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ. τότε τοίνυν τὰ
μὲν ἤμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ' ἤδη παρῆν, ἐν οἷς
τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβάντα
συκοφάντει. τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάν-
των γίγνεται, ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διά-
νοιαν δηλοῖ. μὴ δὴ τοῦτο ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι 193
συνέβη Φιλίππῳ τῇ μάχῃ· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν,
οὐκ ἐν ἐμοί· ἀλλ' ὡς οὐχ ἅπαντα ὅσα ἐνῆν κατ' ἀνθρώπινον
λογισμὸν εἰλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα
καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως
ἄξια πράγματα ἐνεστησάμην καὶ ἀναγκαῖα, ταῦτά μοι δεῖξον,

ρατατικοῦ. — καὶ τήμερον] ὁ καὶ ἐπιδοτικός.

191. «τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων»] ὅπως πράττει τώρα ὁ Αἰσχίνης, ὅπερ ἴδιον συκοφάντου. «τοῦτο γάρ ἐστιν ὁ συκοφάντης, αἰτιάσασθαι μὲν πάντα, ἐξελέγξαι δὲ μηδέν.» Δημ. πρ. Εὐβουλ. §. 34. — οὐ τότε] ἐννοητέον τὸ ἔδειξας. — εὐπορεῖν] μεταβατικῶς = προμηθεύειν. — τῇ πόλει] προσδιορίζει τὸ συμφέρων.

192. ἤμελλεν] ἐννοεῖται παρεῖναι. — τὴν προαίρεσίν μου — τῆς πολιτείας] τί δηλ. προειλόμην λέγειν καὶ πράττειν. Β. εἰκότως προβάλλεται ὁ ῥήτωρ ἃ προείλετο πολιτευόμενος, ἐπειδὴ τὰ κατὰ συμβουλὴν αὐτοῦ πεπραγμένα ἀπέβησαν παρ' εὐχήν. — τὸ μὲν — δηλοῖ] οὕτω καὶ κατὰ Διόδωρον (ΙΑ΄, 11.)· «χρὴ γὰρ οὐκ ἐκ τῶν ἀποτελεσμάτων κρίνειν τοὺς ἀγαθοὺς ἄνδρας, ἀλλ' ἐκ τῆς προαιρέσεως· τοῦ μὲν γὰρ ἡ τύχη κυρία, τοῦ δ' ἡ προαίρεσις δοκιμάζεται.» — αὐτὴ] αὐτὴ καθ' ἑαυτήν, μόνη.

193. εἰ — συνέβη] ἀντὶ «ὅτι συνέβη.» ἴδ. τὴν ἐν §. 28. π. τ. εἰ δὲ σημ. — ἐνεστησάμην] προσθέ-

194 καὶ τότ᾽ ἤδη κατηγόρει μου. εἰ δ᾽ ὁ συμβὰς σκηπτὸς μὴ μόνον ἡμῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων Ἑλλήνων μείζων γέγονε,* τί χρὴ ποιεῖν; ὥςπερ ἂν εἴ τις ναύκληρον πάντ᾽ ἐπὶ σωτηρίᾳ πράξαντα καὶ κατασκευάσαντα τὸ πλοῖον ἀφ᾽ ὧν ὑπελάμβανε σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον καὶ πονησάντων αὐτῷ τῶν σκευῶν ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο. ἀλλ᾽ οὔτ᾽ ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν, ὥςπερ οὐδ᾽ ἐστρατήγουν ἐγώ, οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ᾽ ἐκείνη τῶν πάν-
195 των. ἀλλ᾽ ἐκεῖνο λογίζου καὶ ὅρα· εἰ μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἴμαρτο πρᾶξαι, τί χρῆν προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, ἀλλὰ Φιλίππῳ προσέθεντο, ὑπὲρ οὗ τότ᾽ ἐκεῖνος πάσας ἀφῆκε φωνάς; καὶ εἰ νῦν τριῶν ἡμερῶν ἀπὸ τῆς Ἀττικῆς ὁδὸν τῆς μάχης γενομένης τοσοῦτος κίνδυνος

μην, ἐπεχείρησα. — τότ᾽ ἤδη] τότε πλέον.

194. τί χρὴ ποιεῖν;] ἡ ἀπάντησις τῆς ἐρωτήσεως ταύτης ἐγκρυπτομένη τῇ ἐννοίᾳ εἴη ἂν τοιάδε τις· χρὴ σιωπᾶν, καὶ μὴ τὸν σύμβουλον αἰτιᾶσθαι περὶ τῶν συμβάντων, ὅπερ ἂν εἴη οὕτως εὐηθες, ὥςπερ ἂν εἴτις ναύκληρον αἰτιῷτο κτλ.— ναύκληρον — αἰτιῷτο] ὁ μισθούμενος πλοῖον πρὸς ἐξαγωγὴν ἐμπορευμάτων ἢ πρὸς πλοῦν ἠδύνατο ἐν περιπτώσει ναυαγίας ἐγκαλέσαι τὸν ἰδιοκτήτην τοῦ πλοίου (ναύκληρον) ἐνώπιον τῶν ναυτοδικῶν, ἐὰν εἶχεν ἀποδεῖξαι, ὅτι τὸ πλοῖον κακῶς παρεσκευασμένον ἦν.—κατασκευάσαντα τὸ πλοῖον] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ πᾶσιν, ὅπερ καὶ προστίθειται ἔν τισι χειρογράφοις. — χρησάμενον] = ὑποστάντα.— χρησάμενον καὶ πονησάντων] ὁ καὶ οὐχὶ σπανίως συνδέει δύο ἑτεροπτώτους μετοχάς, οἷον ἐν τῷ κ. Μειδίου, §. 206. «καὶ καλούμενος ὀνομαζὶ καὶ ἀντιβολοῦντος τούτου.» ἕτερα οὐκ ὀλίγα παραδείγματα εὑρηνται παρὰ Κρυγέρῳ· καταλληλότερον δὲ εἶναι τὸ ἀνωτέρω ἐν §. 146. «προβληθεὶς Πυλάγορος οὗτος καὶ τριῶν ἢ τεττάρων χειροτονησάντων,* εἰμή ἐστιν ἐλαττωτικὸς ὁ καὶ κατὰ τὴν αὐτόθι σημ.— πονησάντων] = βλαφθέντων. ἡ δὲ δοτικὴ αὐτῷ (= τῷ χειμῶνι) τὸ ποιητικὸν αἴτιον δηλοῖ. — τῆς ναυαγίας αἰτιῷτο] ἡ σύνταξις· αἰτιῶμαί τινά τινος (= ἕνεκά τινος). — φήσειεν ἄν] ὁ ναύκληρος. — ὥςπερ οὐδ᾽ — ἐγώ] τοῦτο κεῖται παρενθετικῶς, = ὥςπερ κἀγὼ φαίην ἄν ὡς οὐκ ἐστρατήγουν. — ἀλλ᾽ ἐκείνη τῶν πάντων] ἀλλ᾽ ἐκείνη ἡ τύχη ἦν κυρία τῶν πάντων. τοῦτ᾽ αὐτὸ λέγει καὶ Αἰσχίνης ἐν τῷ π. παραπρ. (§. 131.)· «πρῶτον μὲν διὰ τὴν τύχην, ἣ πάντων ἐστὶ κυρία.»

195. ἐκεῖνο] τὸ ἑξῆς ῥηθησόμενον.—οὕτως—πρᾶξαι] τὸ πρᾶξαι οὐδετέρως ἐκληπτέον, ὡς «εὖ πράττω, κακῶς πράττω.» τοῦθ᾽ ὅπερ (τὸ κακῶς πρᾶξαι) ἐννοεῖται καὶ ἐνταῦθα εὐφήμως πως. — ὑπὲρ οὗ] τοῦ προσθέσθαι τούτους Φιλίππῳ. — πάσας ἀφῆκε φωνάς] πάντα τρόπον μετεχειρίσθη. Β. — τριῶν ἡμερῶν ἀπὸ τῆς Ἀττικῆς] «ἀπὸ τῆς πόλεως δὲ ἑπτακόσια στάδια» λέγει κατωτέρω (ἐν §. 230.)· ἡ ἀπ᾽ Ἀθηνῶν μέχρι τῶν τῆς Βοιωτίας ὁρίων ἀπόστασις ἦν ὡς

καὶ φόβος περιέστη τὴν πόλιν, τί ἄν, εἴ που τῆς χώρας ταὐτὸ τοῦτο πάθος συνέβη, προσδοκῆσαι χρῆν; ἆρ' οἶσθ', ὅτι νῦν μὲν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι, πολλὰ μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει, τότε δ'—,οὐκ ἄξιον εἰπεῖν, ἅ γε μηδὲ πεῖραν ἔδωκε θεῶν τινὸς εὐνοίᾳ καὶ τῷ προβάλλεσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς.

Ἔστι δὲ ταυτὶ πάντα μοι τὰ πολλὰ πρὸς ὑμᾶς, ἄνδρες δι- 196
καασταί, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους, ἐπεὶ πρός γε τοῦτον τὸν κατάπτυστον βραχὺς καὶ σαφὴς ἐξήρκει λόγος. εἰ μὲν γὰρ ἦν σοι πρόδηλα τὰ μέλλοντα, Αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτ' ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' ἔδει προλέγειν· εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ

σ' σταδίων, ἐκεῖθεν δὲ μέχρι τῆς Χαιρωνείας τίθησιν ὁ Δημ. δαψιλῶς πως καὶ κατὰ στρογγύλον ἀριθμὸν φ' στάδια ἀντιστοιχοῦντα, ὡς φαίνεται, τῇ ἐνταῦθα τριῶν ἡμερῶν ὁδῷ, καθόσον ἐν τῇ κιμωνείῳ εἰρήνῃ ἀντὶ τοῦ παρὰ Δημοσθένει (π. παραπρ. §. 273.) καὶ Πλουτάρχῳ (Κίμ. ΙΓ'.) ἵππου δρόμου («ἵππου—δρόμων ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης βασιλέα») ὁ μὲν Διόδωρος (ΙΒ', 4.) τριῶν ἡμερῶν ὁδόν, ὁ δ' Ἀριστείδης (Παναθ.σ. 250.) φ' σταδίους ἀναφέρει. ὅτι δὲ ἡ ἡμέρας ὁδὸς διαφόρου μήκους ἦν κατὰ τὰς περιστάσεις, τὸ κλῖμα, τὴν ἐποχὴν τοῦ ἔτους, τὴν διάρκειαν τῆς ὁδοιπορίας, τὸ ὁμαλὸν ἢ μὴ τοῦ ἐδάφους κτλ. δῆλον ἐκ τῶν παρ' Ἡροδότῳ (Δ', 101. καὶ Ε', 53.) καὶ παρὰ Παυσανίᾳ (Φωκ. ΛΓ', 3.). W. — τῆς χώρας] τῆς Ἀττικῆς. — πάθος] = πάθημα, δυστύχημα· τὴν ἐν Χαιρωνείᾳ ἥτταν ἐννοεῖ. — ἆρ' οἶσθ'] ἀναγνωστέον οἶσθα, καὶ οὐχὶ οἶεσθε· διότι ἐν τούτοις πᾶσιν ἀποτείνεται πρὸς τὸν Αἰσχίνην. — νῦν μὲν τότε δ'—,] τοῖς θετικῶς γεγονόσιν ἀντιτάσσει τὰ καθ' ὑπόθεσιν, ἤτοι ὅσα συνέβαινον ἂν ἐν ἐναντίᾳ περιπτώσει. πρβλ. καὶ τὰ ἐν §. 200. ἡ δ' ἔννοια· τώρα μέν, ὅτι δηλ. ὁ Φίλιππος ἐνίκησε μαχρὰν τῶν ὁρίων τῆς Ἀττικῆς διάστημα μιᾶς καὶ δύο καὶ τριῶν ἡμερῶν, αἱ ὁποῖαι ἔμελλον παρελθεῖν μέχρι τοῦ Φίλιππον φανῆναι πιθανῶς ἐν τῇ Ἀττικῇ, ἔδοσαν ἡμῖν ἀνακύψαι, συνελθεῖν εἰς σκέψιν περὶ τοῦ πρακτέου, ἀναπνεῦσαι, καὶ πολλὰ ἄλλα τῶν εἰς σωτηρίαν τῇ πόλει ἀναγκαιούντων, τότε ὅμως, ἐὰν δηλ. ὁ Φίλιππος ἔχων καὶ Θηβαίους συμμάχους εἰσέβαλλεν εἰς τὴν Ἀττικὴν καὶ ἐνίκα ἡμᾶς ἐν τῇ ἰδίᾳ ἡμῶν χώρᾳ, τότε —, καὶ ἐνταῦθα ὁ ῥήτωρ διακόψας τὴν ἰδέαν ὡς δύσφημον ἐπιφέρει· » οὐκ ἄξιον εἰπεῖν ἅ γε κτλ. » W. — πεῖραν ἔδωκε] ἐννοητέον τὴν γενικὴν αὐτῶν ὡς ἐν τῷ κ. Τιμοκράτους §. 24. « οὗτοι πάντες οἱ νόμοι — πεῖραν αὐτῶν πολλάκις δεδώκασιν. » ἡ δὲ φράσις «πεῖραν ἑαυτῶν ἔδωκεν» = τῇ «εἰς πεῖραν ἦλθεν.» W.— καὶ τῷ προβάλλεσθαι] καὶ διότι προετίθετο τότε (ἡ πόλις) ὡς ἀσπίδα.

196. ἄνδρες δικασταί] ἅπαξ ἐνταῦθα προσεφώνησε τούτους ὁ ῥήτωρ πρὸς ἀντιδιαστολὴν ἀπὸ τῶν πολλῶν περιεστηκότων Ἀθηναίων (ὡς καὶ ἐν τῷ κ. Κόνωνος §. 41. « ὑμῶν ἕνικα, ὦ ἄνδρες δικασταί, καὶ τῶν περιεστηκότων »). — ἔξωθεν] ἐπὶ τοῖς δρυφάκτοις] τοῦ δικαστηρίου. — ἀκροωμένους εἰς πᾶσαν σπουδαίαν δίκην ἔτρεχον πολυάριθμοι ἀκροαταί, εἰς

τοῖς ἄλλοις. ὥστε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα* κατηγορεῖς ἢ
197 ἐγὼ σοῦ; τοσοῦτον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγονα εἰς αὐτὰ ταῦθ' ἃ λέγω (καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι), ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον, οὐδ' ὑπολογισάμενος, σὺ δὲ οὔθ' ἕτερα εἶπες βελτίω τούτων (οὐ γὰρ ἂν τούτοις ἐχρῶντο), οὔτ' εἰς ταῦτα χρήσιμον οὐδὲν σαυτὸν παρέσχες, ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ δυσμενέστατος ἄνθρωπος τῇ πόλει, τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι, καὶ ἅμα Ἀρίστρατος
198 ἐν Νάξῳ καὶ Ἀριστόλεως ἐν Θάσῳ, οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φίλους, καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ. καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχή-

ταύτην δὲ διὰ τὸ ἐπίσημον τῶν ἀγωνιζομένων ἄλλοι τε Ἕλληνες εἶχον συρρεύσει καὶ πολλοὶ ἐκ τοῦ δήμου, «ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα δημόσιον παραγενομένους» (Αἰσχ. κ. Κτησ. §. 56.). — τοῖς ἄλλοις] συναπτέον τῷ τῆς αὐτῆς κατὰ σύμπτυξιν ἰδεῶν = τῆς αὐτῆς ἀγνοίας, ἧς ὑπεύθυνοί εἰσιν οἱ ἄλλοι. οὕτω καὶ ἐν §. 198. «ὅτῳ συνεννηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς.» — ταῦτα] κατὰ ταῦτα, ἤτοι τὸ ἀγνοῆσαι καὶ τὰ ἐκ τούτου ἑπόμενα.

197. οὐ γὰρ — ἐχρῶντο] = εἰ γὰρ ἔλεγες βελτίω οὐκ ἂν ἐχρῶντο τούτοις τοῖς ἐμοῖς. — ὅπερ — ἄν] ἐκ τοῦ ἑπομένου εὐκόλως ἐννοεῖται τὸ ποιήσειεν, ὅπερ καὶ προστίθειται ἔν τισι χειρογρ. οὕτω καὶ κατωτ. ἐν §. 291. «οὐχ ὡς ἂν [ἔχοι] εὔνους καὶ δίκαιος πολίτης ἔσχε τὴν γνώμην.» — τῇ πόλει] προσδιορίζει τὸ δυσμενέστατος. πρβλ. §. 176. σημ. — τοῦτο πεποιηκὼς — ἐξήτασαι] ὡς πρᾶξιν δυσμενεστάτου τῇ πόλει ἀνδρὸς θεωρεῖ ὁ ῥήτωρ τὸ κατηγορεῖν τοῦ συμβούλου αὐτῆς ἐπὶ τοῖς συμβᾶσι δυστυχήμασιν, ὅθεν καὶ ἐπιφέρει· «καὶ ἅμα — οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φίλους καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ.» σαφέστερον δ' ἐκφράζει τοῦτο ἐν §. 292. «καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι, ὃ σὺ νυνὶ πεποιηκὼς εἰ φανερός, ἐμὲ πάντων αἴτιον καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων ἐμπεσεῖν τὴν πόλιν.» καὶ 293. «οὗτός τ' εἰ δίκαια ἐποίει οὐκ ἂν ἕνεκα τῆς πρὸς ἐμὲ ἔχθρας τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτε καὶ διέβαλλεν.» — ἐξήτασαι] = ἐξεταζόμενος εὑρέθης, ἐφάνης. οὕτω καὶ ἐν §. 173. «καὶ λέγων καὶ γράφων ἐξηταζόμην·» καὶ 217. «καὶ μετὰ τῶν ἄλλων ἐξητάζετο.» — ἐν Νάξῳ — Θάσῳ] περὶ τῆς τότε καταστάσεως τῶν νήσων τούτων οὐδὲν βέβαιον γινώσκομεν· φαίνεται δ' οὐ πολλῷ διαφέρουσα τῆς τῶν Ἀθηνῶν καὶ τῆς ἄλλης Ἑλλάδος διηρημένων τῶν κατοίκων εἰς πατριωτικοὺς καὶ εἰς μακεδονίζοντας. — κρίνουσι] = ἐνάγουσιν εἰς δίκην· ὅθεν καὶ τὸ ἑπόμενον κατηγορεῖ, διότι τὸν Κτησ. ἰδίως ἐνεκάλει ὁ Αἰσχίνης. Β. κ. Γ. ἴδ. καὶ τὴν ἐν §. 15. περὶ τούτου σημ.

198. καίτοι] πρόσθες τοῖς εἰρημένοις καὶ τοῦτο ὅτι· ἐν γένει δὲ καίτοι μετὰ ὀρθοῦ ῥήματος εὑρηται παρὰ τοῖς ἀρχαίοις οὕτως ἐπακολουθητικὸς εἴτε βεβαιωτικὸς ἑτέρου λόγου. — ὅτῳ — ἐνεδοκ. ἀπέκειτο] τὸ ἐνευδοκιμεῖν εἶναι καθαρῶς τελικόν. ἡ δὲ σύνταξις· ὅτῳ ἀπέκειτο τὰ τῶν Ἑλλήνων ἀτυχήματα ὥστε εὐδοκιμεῖν (= ἀποκταν φήμην,

ματα ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος ἢ κατηγορεῖν ἑτέρου· καὶ ὅτῳ συνεννηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι. δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς καὶ ποιεῖς καὶ πολιτεύῃ καὶ πάλιν οὐ πολιτεύῃ. πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν· ἄφωνος Αἰσχίνης. ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει· πάρεστιν Αἰσχίνης, ὥςπερ τὰ ῥήγματα καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται.

Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι 199
καὶ παράδοξον εἰπεῖν. καί μου πρὸς Διὸς καὶ θεῶν μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας ὃ λέγω θεωρησάτω. εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προήδεσαν πάντες, καὶ σὺ προὔλεγες, Αἰσχίνη, καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ' ἐρθέγξω, οὐδ' οὕτως ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ ἢ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον. νῦν μέν γε ἀποτυχεῖν δοκεῖ τῶν 200
πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ' ἀπο-

ὑπόληψιν) ἐν αὐτοῖς.— οἱ αὐτοὶ — ἐχθροῖς] = οἱ αὐτοὶ οἳ συνεννηνόχασι καὶ τοῖς ἐχθροῖς. πρβλ. τὴν ἐν §. 196. σημ.— πράττεται — ἀντέκρουσε] ὑποθετικαὶ περιστάσεις ὡς θετικαὶ ἐκλαμβανόμεναι, = ὑπόθες ὅτι πράττεται κτλ. — ταὐτὰ ὀνειδίζει ὁ ῥήτωρ διὰ πλειόνων καὶ τῷ Μειδίᾳ (κ. Μειδ. §. 202.). κ. έ.— ἄφωνος — πάρεστιν Αἰσχίνης] «Ἀντιστροφή· ὅταν εἰς τὴν αὐτὴν λέξιν τὰ κῶλα ἀπαντᾷ.» Τιβέρ. π. Σχημ. σ. 360. — ἀντέκρουσέ τι] = συνέβη ἀντίκρουσίς τις (ἀτύχημά τι). — ῥήγματα — σπάσματα — κινεῖται] κατὰ τὴν ἰατρικὴν γλῶσσαν ῥήγματα μὲν λέγονται ἐπὶ σαρκῶν καὶ φλεβῶν, σπάσματα δὲ ἐπὶ νεύρων καὶ μυῶν. παραπλήσια τούτοις ἴδ. καὶ ἐν Ὀλυνθ. Β΄. §. 21.

199. πολὺς — ἔγκειται] ὡς τὸ ἐν §. 136. «πολὺς ῥέων.» οὕτω καὶ παρὰ Θουκυδίδῃ Δ΄, 22. «Κλέων πολὺς ἐνέκειτο.» — τοῖς συμβεβηκόσιν] ἀτυχήμασιν· ἐννοεῖ δὲ τὴν ἐν Χαιρωνείᾳ ἧτταν ἰδίως. — καί μου πρὸς Διὸς — θεωρησάτω] «προδιόρθωσις.» ἴδ. τὴν ἐν §. 59. σημ. συνεχὴς δὲ ἡ χρῆσις αὐτῆς παρὰ Δημοσθένει· οἷον ἐν Ὀλυνθ. Γ΄, §. 10.— π. εἰρ. §. 15. — π. τ. ἐ. Χερρον. §. 32. κ. ά.— καὶ διεμαρτύρου] ἐννοεῖται τὸ «ὥςτε ἀφίστασθαι τούτων.» — οὐδ' ἐρθέγξω] ὁ οὐδὲ ἐλαττωτικὸς = οὐ μόνον οὐ διεμαρτύρω, ἀλλ' οὐδ' ἐρθέγξω. — οὐδ' οὕτως] οὐδ' ἐν ταύτῃ τῇ περιπτώσει. ὁ δὲ οὐδ' ἐπιδοτικός. — τούτων] τῶν τότε ὑπ' ἐμοῦ προτεινομένων.

200. νῦν μέν γε — τότε δ'] τὸ ά. θετικόν, τὸ δ' ἕτερον ὑποθετικόν, ὡς καὶ ἐν §. 195.— ταῦτα] ὁ πλησιαστικὸς πρὸς ἔμφασιν ἀντὶ τοῦ τοῦτο (τὸ ἀποτυχεῖν)· ἢ ἐξηγητέον διὰ τοῦ οὕτω. — ἀξιοῦσα] χρονικὴ μετοχή, ἡ δὲ ἑπομένη ἀποστᾶσα

στᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτί, περὶ ὧν οὐδένα κίνδυνον ὄντιν' οὐχ' ὑπέμειναν οἱ πρόγονοι, τίς οὐχὶ κατέπτυσεν ἂν σοῦ;
201 μὴ γὰρ τῆς πόλεώς γε, μηδ' ἐμοῦ. τίσι δ' ὀφθαλμοῖς πρὸς Διὸς ἐωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματ' εἰς ὅπερ νυνὶ περιέστη, ἡγεμὼν δὲ καὶ κύριος ἠρέθη Φίλιππος ἁπάντων, τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτ' ἀγῶνα ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι, καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθε χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ἠρημένης;
202 τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων καὶ παρὰ τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γενομένων Λακεδαιμονίων καὶ παρὰ τοῦ Περσῶν Βασιλέως μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται λαβούσῃ καὶ τὰ ἑαυτῆς ἐχούσῃ τὸ κελευόμενον ποι-
203 εῖν καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι; ἀλλ' οὐκ ἦν

ὑποθετικῶς ἐξηγητέα. — ἔσχεν ἂν αἰτίαν] = κατηγορεῖτο ἄν. — οὐδένα κίνδυνον — ὑπέμειναν] καθ' ἕλξιν, ἀντὶ τοῦ «οὐδεὶς κίνδυνός ἐστιν ὃν τινα οὐχ ὑπέμειναν.— σοῦ] τὸ παρὰ προσδοκίαν λεγόμενον· διότι λογικώτερον ἦν εἰπεῖν αὐτῆς (τῆς πόλεως) καθὸ προεμένης ἂν ταῦτα ἀμαχητί, ἀλλ' ὁ ῥήτωρ ὑποτιθεὶς ὅτι οὐκ ἄλλως ἢ κατὰ συμβουλὴν τοῦ Αἰσχίνου ἔμελλε προέσθαι ταῦτα ἡ πόλις, κατάπτυστον θεωρεῖ τὸν σύμβουλον αὐτὸν καὶ οὐχὶ τὴν πόλιν. — μὴ γὰρ] = μὴ γὰρ εἴποιμι ὡς κατέπτυσεν ἄν τις τῆς πόλεώς γε, μηδ' ἐμοῦ τοῦ τἀναντία συμβουλεύοντος.

201. εἰ τὰ μὲν — πεποιημένοι] τὰ δύο ἀντιθετικὰ κῶλα εἶναι, «εἰ τὰ μὲν πράγματα —, τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτ' ἀγῶνα.» ὁ δ' ἐν τῷ μεταξὺ δὲ εἶναι μεταβατικός. οὕτω καὶ ἐν τῷ πρ. Λεπτ. §. 23. «νῦν μέν γε τὸν χρόνον κτλ.» τοιαῦται δὲ ἀλλεπάλληλοι ἀντιθέσεις εὑρηνται οὐχὶ σπανίως. οἷον ἐν §. 214. «τὰ ΜΕΝ καθ' ἕκαστα ἐγὼ μὲν ἀντὶ παντὸς ἂν τιμησαίμην — ὑμᾶς δὲ δέδοικα μὴ —. ὅ τι Δ' οὖν ἐπείσαμεν.» ἔνθα τοῦ ἀ. μὲν ἡ ἀπόδοσις ἐπιφέρεται τελευταία. πρβλ. §. 139. — πρ. Λεπτ. §. 30. κ. ἀ.— χωρὶς ἡμῶν — πεποιημένοι] ὡς οἱ Ἀθηναῖοι ἐποιήσαντο αὐτὸν χωρὶς Λακεδαιμονίων, Ἠλείων, Μεσσηνίων καὶ Ἀργείων. — καὶ ταῦτα] = καὶ μάλιστα. — ἠρημένης] προηρημένης, προκρινάσης.

202. πρότερον] μέχρι τῆς ἐν Λεύκτροις μάχης. — παρὰ τοῦ Περσῶν βασιλέως] ὁ Ξέρξης προὔτεινε τῷδε τοιαῦτά τινα τοῖς Ἀθηναίοις. Ἡροδ. Η', 136—144.—Θ', 1—5. πρβλ. καὶ κ. Φιλ. Β', §. 11.— λαβούσῃ — ποιεῖν καὶ ἐᾶν] τὸ ἀσμένως δοθὲν ἂν τῇ πόλει ἦν οὐχὶ τὸ «τὸ κελευόμενον ποιεῖν καὶ ἐᾶν ἕτερον προεστάναι τῶν Ἑλλήνων,» ἀλλὰ τὸ λαβεῖν ὅ τι βούλεται καὶ ἔχειν τὰ ἑαυτῆς» ἐπὶ συμφωνίᾳ «ποιεῖν τὸ κελευόμενον καὶ ἐᾶν» κτλ. ἀλλ' ὁ ῥήτωρ ἐκ προθέσεως ἐν δευτερεύοντι λόγῳ ἔθηκε τὸ διδόμενον ἄν, ἵνα ἐπὶ μᾶλλον ἐξάρῃ τὸ ἄτιμον καὶ ἀπεχθὲς τῶν προτεινομένων.

ταῦθ', ὡς ἔοικε, τοῖς τότε Ἀθηναίοις πάτρια οὐδ' ἀνεκτὰ οὐδ' ἔμφυτα, οὐδ' ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μέν, μὴ δίκαια δὲ πράττουσι προσθεμένην ἀσφαλῶς δουλεύειν, ἀλλ' ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης κινδυνεύουσα πάντα τὸν αἰῶνα* διατετέλεκεν. καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσήκοντα τοῖς ὑμε- 204
τέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετ' εἶναι, ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε. εἰκότως· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις ἐμβάντες, ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι, τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν ἀποφηνάμενον τοῖς ἐπιταττομένοις Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ. οὐ γὰρ ἐζήτουν οἱ τότ' Ἀθηναῖοι οὔτε 205
ῥήτορα οὔτε στρατηγόν, δι' ὅτου δουλεύσουσιν, ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος, οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. διαφέρει δὲ τί; ὅτι ὁ μὲν

203. ὡς ἔοικε] εἰρωνικῶς ἐκληπτέον, ὡς εὕρηται συνεχῶς. W. — ἐκ παντὸς τοῦ χρόνου] ἀνέκαθεν.

204. ἀγάσαιτο] μεταβατικὸν δίπτωτον = ἀγάσαιτο τῶν ἀνδρῶν (ἕνεκα) τῆς ἀρετῆς. — τὸν δ' ὑπακούειν — γυναῖκα αὐτοῦ] ἐκ τῆς ὑφῆς τῆς περιόδου ὅλης δείκνυται ὅτι ὁ ῥήτωρ ἐννοεῖ τὴν ἀμέσως πρὸ τῆς ἐν Σαλαμῖνι μάχης ἐποχήν. ὅτι δ' ἐν αὐταῖς ταῖς Ἀθήναις συνέβη τὸ πρᾶγμα, ὡς λέγει ὁ Κικέρων (d. off. 3, 11.), δὲν ἐξάγεται ἀναγκαίως ἐκ τῶν λόγων τοῦ ῥήτορος. ἄλλως δὲ διαφόρως παρέδωκαν ἡμῖν τὰ περὶ τούτου οἱ ἀρχαῖοι κατά τε τοὔνομα τοῦ ἀνδρὸς καὶ κατὰ τὴν ἐποχήν. πρβλ. Ἡρόδ. Θ'. 4. καὶ Ἀριστείδ. Παναθην. σ. 227. καὶ ὁ. τ. Τεττ. σ. 286. — καταλιθώσαντες] ἡ καταλίθωσις ἦν αὐτοδικία τις τοῦ δήμου ἐξημμένου ἐνεργουμένη οὐχὶ σπανίως. W.

205. τοῦτο ποιεῖν] = ζῆν. — οὐχὶ τῷ πατρὶ — τῇ πατρίδι] πρβλ. Πλάτ. Κρίτ. σ. 51. «μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερόν ἐστιν ἡ πατρὶς καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν ἢ πατέρα, καὶ ἢ πείθειν ἢ ποιεῖν ἃ ἂν κελεύῃ, καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέον ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει, — βιάζεσθαι δ' οὐχ ὅσιον οὔτε μητέρα οὔτε πατέρα πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα.»

τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει, ὁ δὲ καὶ τῇ πατρίδι ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη, τοῦ θανάτου.

206 Εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, ὡς ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔσθ' ὅστις οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. νῦν δ' ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχε τὸ φρόνημα ἡ πόλις, τῆς μέντοι διακονίας τῆς ἐφ' ἑκά-

207 στοις τῶν πεπραγμένων καὶ ἐμαυτῷ μετεῖναί φημι,* οὗτος δὲ τῶν ὅλων κατηγορῶν καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν λοιπὸν χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. εἰ γὰρ ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξε-

208 τε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν. ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι,

— τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον] ὁ τῆς εἱμαρμένης θάνατος εἶναι ὁ πεπρωμένος, ἀντίθετος τῷ ἑκουσίῳ, αὐτόματος δὲ μᾶλλον ὁ ἀντίθετος τῷ βιαίῳ, ὁ φυσικός. λεπτὴ ἡ διαφορά. οὕτω καὶ παρὰ Κικέρωνι (Phil. 1, 4.) praeter naturam praeterque fatum. — ὁ — καὶ τῇ πατρίδι] ἐννοεῖται τὸ «νομίζων γεγενῆσθαι.» ὁ δὲ καὶ προσθετικός. — ἀποθνήσκειν ἐθελήσει] ὅτε ἀπαιτεῖ αὐτὸ ὁ καιρός.

206. ἐγὼ μὲν — τῆς μέντοι διακονίας κτλ.] «καὶ τοῦτο χρήσιμόν ἐστιν ἐν τῷ λόγῳ τούτῳ καταμαθεῖν, ὅτι μιγνύων ἐμμελέστατα τῷ περὶ αὐτοῦ λόγῳ τὸν περὶ τῶν ἀκουόντων ἔπαινον, ἀνεπίφθονον ἐποίει καὶ ἀφίλαυτον» ἐκείνων μὲν τὰς τοιαύτας προαιρέσεις ἀποφαίνων — «αὐτῷ δὲ τῆς διακονίας μετεῖναι φάσκων. λανθάνει γὰρ οὕτω τὸν ἀκροατὴν τοῖς ἰδίοις ἐπαίνοις συνυποδυόμενον τὸ τοῦ λέγοντος ἡδέως προσδεχόμενον.» Πλουτ. π. τ. ἑαυτ. ἐπ. ἀνεπιφθ. Θ'.

207. τῆς — εἰς τὸ παρὸν τιμῆς] ἤτοι τοῦ ἐστεφανῶσθαι. — εἰ γὰρ — καταψηφεῖσθε, ἡμαρτηκέναι δόξετε] πρβλ. τὴν ἐν §. 8. περὶ τοῦ «ὅ τι μέλλει συνοίσειν κοινῇ» σημ. — τουδὶ] τοῦ Κτησιφῶντος. — ἀγνωμοσύνῃ] ἡ αὐτὴ φράσις καὶ παρὰ [Δημάδῃ] ἀποσπ. 1. §. 8. «τῆς ἀπορίας ἐπὶ πολλῶν οὐ τρόπου κακίαν ἀλλὰ τύχης ἀγνωμοσύνην ἐλεγχούσης.» πρβλ. δὲ τὴν ἐν §. 16. περὶ τοῦ «ἀτυχεῖς» σημ. οὕτω κεῖται ἡ λέξις καὶ ἐν §. 252. κ. ἀ.

208. οὐκ ἔστιν — ἔστιν] «ἐπανάληψις.» ἴδ. §. 242. σημ. —

μὰ τοὺς Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ τοὺς ἐπ᾽ Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς κρατήσαντας μόνους. δικαίως· ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται, τῇ τύχῃ δ᾽, ἣν ὁ δαίμων ἔνειμεν ἑκάστοις, ταύτῃ κέχρηνται. ἔπειτ᾽, ὦ κατάρατε καὶ γραμματοκύφων, σὺ 209
μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἔμ᾽ ἀποστερῆσαι βουλόμενος τρόπαια καὶ μάχας καὶ παλαιὰ ἔργα ἔλεγες, ὧν τίνος προσεδεῖτο ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δέ, ὦ τριταγωνιστά, τὸν περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόν-

μὰ τοὺς Μαραθῶνι — ἀγαθοὺς ἄνδρας] «ἀπόδειξιν ὁ Δημ. ὑπὲρ τῶν πεπολιτευμένων εἰσφέρει· τίς δ᾽ ἦν ἡ κατὰ φύσιν χρῆσις αὐτῆς; «οὐχ ἡμάρτετε, ὦ τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα ἀράμενοι· ἔχετε δὲ οἰκεῖα τούτου παραδείγματα· οὐδὲ γὰρ οἱ ἐν Μαραθῶνι ἥμαρτον οὐδ᾽ οἱ ἐν Σαλαμῖνι οὐδ᾽ οἱ ἐν Πλαταιαῖς.» ἀλλ᾽ ἐπειδὴ καθάπερ ἐμπνευσθεὶς ἐξαίφνης ὑπὸ τοῦ θεοῦ καὶ οἱονεὶ φοιβόληπτος γενόμενος, τὸν τῶν ἀριστέων τῆς Ἑλλάδος ὅρκον ἐξεφώνησεν, — μὰ τοὺς Μαραθῶνι προκινδυνεύσαντας, φαίνεται δι᾽ ἑνὸς τοῦ ὁμοτικοῦ σχήματος — τοὺς μὲν προγόνους ἀποθεώσας, — τοῖς δὲ κρίνουσι τὸ τῶν ἐκεῖ προκινδυνευσάντων ἐντιθεὶς φρόνημα, τὴν δὲ τῆς ἀποδείξεως φύσιν μεθεστακὼς εἰς ὑπερβάλλον ὕψος καὶ βάθος καὶ ξένων καὶ ὑπερφυῶν ὅρκων ἀξιοπιστίαν, καὶ ἅμα παιωνειόν τινα καὶ ἀλεξιφάρμακον εἰς τὰς ψυχὰς τῶν ἀκουόντων καθιεὶς λόγον, ὡς κουφιζομένους ὑπὸ τῶν ἐγκωμίων μηδὲν ἧττον τῇ μάχῃ τῇ πρὸς Φίλιππον ἢ ἐπὶ τοῖς κατὰ Μαραθῶνα καὶ Σαλαμῖνα νικητηρίοις παρίστασθαι φρονεῖν.» Λογγ. π. ὕψ. 16. — προκινδυνεύσαντας — παραταξαμένους — ναυμαχήσαντας] «ἐπειδή περ πρὸς ἡττημένους ὁ ὅρκος — διδάσκων ὅτι κἀν βακχεύμασι νήφειν ἀναγκαῖον, τοὺς προκινδυνεύσαντας φησὶ — οὐδαμοῦ νικήσαντας εἶπεν, ἀλλὰ πάντῃ τὸ τοῦ τέλους διακέκλοφεν ὄνομα, ἐπειδή περ ἦν εὐτυχὲς καὶ τοῖς κατὰ Χαιρώνειαν ὑπεναντίον. διόπερ καὶ τὸν ἀκροατὴν φθάνων εὐθὺς ὑποφέρει· ‘οὓς ἅπαντας ἔθαψεν ἡ πόλις καὶ οὐχὶ τοὺς κατορθώσαντας μόνους.’» Λογγ. αὐτόθι.— ἐν τοῖς δημοσίοις μνήμασι κειμένους] «κατὰ τὴν ὁδὸν τὴν ἐς Ἀκαδημίαν, πλὴν ὅσοι Μαραθῶνι ἠγωνίσαντο (Παυσ. Ἀττικ. ΚΘ΄,4.)· ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν» (Θουκυδ. Β΄, 34.). πρβλ. καὶ τὰ ἐν §. 285.

209. γραμματοκύφων] «ἀντὶ τοῦ γραμματέως, ὅτι οἱ γραμματεῖς προκεκυφότες γράφουσιν.» Ετυμολ. Μ. 240, 21. πρβλ. §. 261. πολὺ δέ τι τὸ πικρὸν ἔχει τοῖς Μαραθῶνι προκινδυνεύσασι κλπ. ἀντιτιθέμενον, ὡς καὶ τὸ ἑπόμ. ὦ τριταγωνιστὰ ἀντιθέτως τῷ περὶ τῶν πρωτείων συμβούλῳ. — τρόπαια — ἔλεγες] ὑπαινίττεται τὰ ἐν §. 181. κ. ἑ. τοῦ κ. Κτησ. «πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας ὅτε τῇ Σαλαμῖνι ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ Δημοσθένης

τα τὸ τίνος φρόνημα λαβόντ' ἀναβαίνειν ἐπὶ τὸ βῆμ' ἔδει; τὸ τοῦ τούτων ἀναξία ἐροῦντος; δικαίως μέντ' ἂν ἀπέθανον.

210 ἐπεὶ οὐδ' ὑμᾶς,* ἄνδρες Ἀθηναῖοι, ἀπὸ τῆς αὐτῆς διανοίας δεῖ τάς τε ἰδίας δίκας καὶ τὰς δημοσίας κρίνειν, ἀλλὰ τὰ μὲν τοῦ καθ' ἡμέραν βίου συμβόλαια ἐπὶ τῶν ἰδίων νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις εἰς τὰ τῶν προγόνων ἀξιώματα ἀποβλέποντας. καὶ παραλαμβάνειν γε ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν δεῖ, ὅταν τὰ δημόσια εἰσίητε κρινοῦντες, εἴπερ ἄξια ἐκείνων πράττειν οἴεσθε χρῆναι.

211 Ἀλλὰ γὰρ ἐμπεσὼν εἰς τὰ πεπραγμένα τοῖς προγόνοις ὑμῶν ἔστιν ἃ τῶν ψηφισμάτων παρέβην καὶ τῶν πραχθέντων. ἐπανελθεῖν οὖν, ὁπόθεν ἐνταῦθ' ἐξέβην, βούλομαι.

Ὡς γὰρ ἀφικόμεθ' εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' ἐκείνου θρασεῖς. ὅτι δ' οὐ νῦν ταῦτα λέγω τοῦ συμφέροντος ἕνεκα ἐμαυτῷ, λέγε μοι τὴν ἐπιστολήν, ἣν τότ' ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις.

ὁ τὴν τάξιν λιπών; κτλ.»—τὸ τίνος φρόνημα λαβόντ' — ἔδει] ταὐτὰ ἐπανειλημμένως ἠρώτησε καὶ ἐν §. 66. κ. ἑ. — τούτων] τῶν Ἀθηναίων. — δικαίως — ἀπέθανον] πρβλ. §. 101. τὴν π. τ. « τίς οὐκ ἂν ἀπέκτεινέ με » σημ.

210. ἐπὶ τῶν ἰδίων νόμων] ἐπὶ τῶν ὅρων τῶν ἰδιωτικῶν συμβολαίων. — ἔργων] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ ἰδίων. ἴδια δὲ ἔργα εἶναι τὰ ἔργα τῶν συμβαλλομένων ἰδιωτῶν ἐν ὅσῳ ἰσχύει τὸ συμβόλαιον.— σκοποῦντας] ἐννοεῖται τὸ δεῖ κρίνειν.—τὰς—κοινὰς προαιρέσεις]= ἃ τῶν κοινῶν προείλετό τις πράττειν. — τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ] τὰ ἐν Ἀθήναις δικαστήρια διεκρίνοντο ἐκτὸς τοῦ ἰδιαιτέρου ὀνόματος αὐτῶν καὶ ἀπὸ τοῦ ὃν ἕφερον ἀριθμοῦ (ἑνὸς τῶν πρώτων δέκα γραμμάτων τοῦ ἀλφαβήτου) καὶ τοῦ χρώματος, ὅθεν καὶ οἱ ἐκ τοῦ δήμου κληρούμενοι πεντακισχίλιοι (μετὰ δὲ τῶν συμπληρωτικῶν μελῶν ἑξακισχίλιοι) δικασταὶ διηροῦντο εἰς δέκα τμήματα κατὰ τὸν ἀριθμὸν τοῦ πρὸς ὃ ἔμελλον ἀπελθεῖν δικαστηρίου. ἕκαστος δὲ τούτων εἰσερχόμενος δικάζειν ἐλάμβανε βακτηρίαν ἔχουσαν τὸ χρῶμα καὶ τὸ γράμμα τοῦ εἰς ὃ ἀνῆκε δικαστηρίου καὶ χάλκινόν τι σύμβολον φέρον τὸ ὄνομα τοῦ δικαστοῦ καὶ τὸν ἀριθμὸν τοῦ τμήματος αὐτοῦ, καὶ τοῦτο δεικνύων τοῖς κωλακρέταις μετὰ τὴν συνεδρίασιν ἐλάμβανε παρ' αὐτῶν τὸν δικαστικὸν μισθόν, ἤτοι τὸ ἡλιαστικὸν τριώβολον. W.

211. ἀλλὰ γὰρ ἐμπεσὼν] πρβλ. §. 42. καὶ τὴν αὐτ. σημ.— παρέβην] ὑπερέβην, παρέλειψα. — ὁπόθεν—ἐξέβην] ἀπὸ §. 199. καὶ ἑξῆς. — γὰρ] ἀφηγηματικός. — ἀφικόμεθα] ἐγὼ καὶ οἱ συμπρέσβεις. — τῶν ἄλλων συμμάχων] Αἰνιάνων, Αἰτωλῶν, Δολόπων, Φθιωτῶν κατὰ Φιλόχορον παρὰ Διονυσίῳ Ἁλικαρνασσεῖ (Ἐπιστ. πρ. Ἀμμ.

καίτοι τοσαύτῃ γ' ὑπερβολῇ συκοφαντίας οὗτος κέχρηται, ὥστ', 212
εἰ μέν τι τῶν δεόντων ἐπράχθη, τὸν καιρόν, οὐκ ἐμέ φησιν
αἴτιον γεγενῆσθαι, τῶν δ' ὡς ἑτέρως συμβάντων ἁπάντων ἐμὲ
καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι, καὶ ὡς ἔοικεν, ὁ σύμβουλος
καὶ ῥήτωρ ἐγὼ τῶν μὲν ἐκ λόγου καὶ τοῦ βουλεύσασθαι πραχθέν-
των οὐδὲν αὐτῷ συναίτιος εἶναι δοκῶ, τῶν δ' ἐν τοῖς ὅπλοις καὶ
κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι. πῶς ἂν ὠ-
μότερος συκοφάντης γένοιτ' ἢ καταρατότερος; λέγε τὴν ἐπιστολήν.

ΕΠΙΣΤΟΛΗ.

* Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκεί- 213
νους προτέρους διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔ-
χειν. καὶ παρελθόντες ἐδημηγόρουν πολλὰ μὲν Φίλιππον ἐγκω-
μιάζοντες, πολλὰ δ' ὑμῶν κατηγοροῦντες, πάνθ' ὅσα πώποτ'
ἐναντία ἐπράξατε Θηβαίοις ἀναμιμνήσκοντες. τὸ δ' οὖν κε-
φάλαιον, ἠξίουν ὧν μὲν εὖ πεπόνθεσαν ὑπὸ Φιλίππου χάριν αὐ-
τοὺς ἀποδοῦναι, ὧν δ' ὑφ' ὑμῶν ἠδίκηντο δίκην λαβεῖν, ὁπο-
τέρως βούλονται, ἢ διέντας αὐτοὺς ἐφ' ὑμᾶς ἢ συνεμβαλόντας
εἰς τὴν Ἀττικήν, καὶ ἐδείκνυσαν, ὡς ᾤοντο, ἐκ μὲν ὧν αὐτοὶ
συνεβούλευον τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ ἀνδράποδα
καὶ τἄλλ' ἀγαθὰ εἰς τὴν Βοιωτίαν ἥξοντα, ἐκ δὲ ὧν ἡμᾶς ἐ-
ρεῖν ἔφασαν τὰ ἐν τῇ Βοιωτίᾳ διαρπασθησόμενα ὑπὸ τοῦ πο-
λέμου. καὶ ἄλλα πολλὰ πρὸς τούτοις, εἰς ταὐτὰ δὲ πάντα
συντείνοντ' ἔλεγον. ἃ δ' ἡμεῖς πρὸς ταῦτα, τὰ μὲν καθ' ἕκα- 214

ιά.). Φιλίππου δὲ πρέσβεις ἀναφέρον-
ται παρὰ Πλουτάρχῳ (Δημ. 18.) «Ἀ-
μύντας μὲν καὶ Κλέαρχος Μακεδόνες,
Δάοχος δὲ Θεσσαλὸς καὶ Θρασυδαῖος.»

212. καίτοι — λέγε τὴν ἐπιστολήν.] ἴδ. τὴν ἐν §. 179. σημ. περὶ δὲ τοῦ καίτοι, οὗ κατακόρως χρῆσιν ποιεῖται ὁ Δημ., ἴδ. §. 198. σημ.— τὸν καιρόν, οὐκ ἐμέ φησιν αἴτιον] ὡς ἐν §§. 137. 141. 239. τοῦ κ. Κτησ.— τῶν δ' ὡς ἑτέρως συμβάντων] ὡς τὸ ἐν §. 128. «καλῶν ἢ μὴ τοιούτων.» πρβλ. τὴν ἐν §. 85. σημ. — τὴν ἐμὴν τύχην] ἴδ. κ. Κτησ. §. 137. κ. ἑ.

213. ἐκείνους] τοὺς Φιλίππου καὶ τῶν ἄλλων συμμάχων πρέσβεις. —τὸ δ' οὖν κεφάλαιον] ἐπιρρηματικῶς ἐκληπτέον, = συντόμως δέ, «ἑνὶ δὲ κεφαλαίῳ», ὡς ἐν τῷ πρ. Λεπτ. §. 78. — ἐκ μὲν ὧν— ἥξοντα] ἐπιχειρήματα κατάλληλα πεῖσαι τοὺς ἀναισθήτους καὶ πρὸς πᾶν μὴ ὑλικὸν ἀδιαφόρους Θηβαίους. πρβλ. τὰ ἐν τῷ πρ. Λεπτ. §. 109.

214. ἡμεῖς πρὸς ταῦτα] ἐννοεῖται τὸ εἴπομεν ἢ ἀντείπομεν, ὅπερ καὶ προστίθεται ἐν τοῖς χειρογρ. πλὴν τοῦ Σ. τὴν δὲ δύνα-

στα ἐγὼ μὲν ἀντὶ παντὸς ἂν τιμησαίμην εἰπεῖν τοῦ βίου, ὑμᾶς δὲ δέδοικα μή, παρεληλυθότων τῶν καιρῶν ὥςπερ ἂν εἰ καὶ κατακλυσμὸν γεγενῆσθαι τῶν πραγμάτων ἡγούμενοι, μάταιον ὄχλον τοὺς περὶ τούτων λόγους νομίσητε· ὅ τι δ' οὖν ἐπείσαμεν ἡμεῖς καὶ ἃ ἡμῖν ἀπεκρίναντο, ἀκούσατε. λέγε ταυτὶ λαβών.

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΩΝ.

215 Μετὰ ταῦτα τοίνυν ἐκάλουν ὑμᾶς καὶ μετεπέμποντο. ἐξῆτε, ἐβοηθεῖτε, ἵνα τὰν μέσῳ παραλείπω, οὕτως οἰκείως ὑμᾶς ἐδέχοντο, ὥςτ' ἔξω τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων ὄντων εἰς τὰς οἰκίας καὶ τὸ* ἄστυ δέχεσθαι τὴν στρατιὰν ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα. καίτοι τρία ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξαν ἐγκώμια Θηβαῖοι καθ' ὑμῶν τὰ κάλλιστα, ἓν μὲν ἀνδρίας, ἕτερον δὲ δικαιοσύνης, τρίτον δὲ σωφροσύνης. καὶ γὰρ τὸν ἀγῶνα μεθ' ὑμῶν μᾶλλον ἢ πρὸς ὑμᾶς ἑλόμενοι ποιήσασθαι καὶ ἀμείνους εἶναι καὶ δικαιότερ' ἀξιοῦν ὑμᾶς ἔκριναν Φιλίππου· καὶ τὰ παρ' αὐτοῖς καὶ παρὰ

μιν τῶν Δημοσθένους λόγων περιγράφει ὁ Πλούταρχος (Δημ. ΙΗ'.) ὧδέ πως· «τὸ μὲν οὖν συμφέρον οὐ διέφευγε τοὺς τῶν Θηβαίων λογισμούς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινά, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων, ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὡς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν καὶ διακαίουσα τὴν φιλοτιμίαν ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν, ὥςτε καὶ φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν.» W. — δέδοικα μή — νομίσητε] ἡ ἔννοια· φοβοῦμαι μήπως, ἐπειδὴ παρῆλθον οἱ καιροὶ ἐκεῖνοι, νομίζοντες ὅτι ὁμοῦ μετ' αὐτῶν ἔγεινεν ὡσανεὶ καὶ κατακλυσμὸς τῶν πραγμάτων (= ὡσανεὶ καὶ κατεκλύσθησαν, ἐσκεπάσθησαν τὰ πράγματα), ματαίαν ἐνόχλησιν κρίνητε τοὺς περὶ τούτων λόγους.

215. μετὰ ταῦτα — ἐβοηθεῖτε κτλ.] τὴν ἀφελῆ ταύτην καὶ ἔντονον ἐξιστόρησιν τῶν γεγονότων ἀρκοῦσαν θεωρῶν ὁ ῥήτωρ ἀνασκευὴν τῶν παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 140. «ἀλλ' ἐπειδὴ Φίλιππος Ἐλάτειαν καταλαβὼν ἐχαράκωσεν —, ἐνταῦθ' ἤδη οἱ Θηβαῖοι, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο, μετεπέμψαντο Ἀθηναίους — πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην) οὐδὲν περαιτέρω προστίθησι περὶ αὐτῶν. W. ἴδ. πρὸς τούτοις ὅμως καὶ τὰ ἐν τέλει τοῦ παραρτήματος. — τὰν] κατὰ κρᾶσιν = τὰ ἐν. — τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων] τῶν Ἀθηναίων, καὶ οὐχὶ τῶν Θηβαίων, ὡς ἐνόμισάν τινες, ὁ Reisk. κ. ἀ. οἱ Ἀθηναῖοι κατὰ τὰ νόμιμα ἔξω τῆς πόλεως ἐστρατοπέδευσαν, ἀλλ' οἱ Θηβαῖοι εἰς σημεῖον τῆς πρὸς αὐτοὺς μεγάλης ἐμπιστοσύνης ἤνοιξαν αὐτοῖς τὰς πύλας καὶ ἐπέτρεψαν συνόλῳ τῷ στρατῷ τὴν ἐπὶ τὰ τιμιώτατα εἴσοδον. B. κ. P. — καθ' ὑμῶν] ἡ κατὰ ἐνταῦθα κεῖται ἐν τῇ σπανιωτέρᾳ χρήσει αὐτῆς = τῇ περί. οὕτω καὶ ἐν τῷ κ. Φιλ. Β', §. 9. «ὃ καὶ μέγιστόν ἐςτι καθ' ὑμῶν ἐγκώμιον.» — καὶ ἀμείνους] ὁ καὶ προσθετικός. ἡ δὲ σύν-

πᾶσι δ' ἐν πλείστῃ φυλακῇ, παῖδας καὶ γυναῖκας, ἐφ' ὑμῖν
ποιήσαντες σωφροσύνης πίστιν περὶ ὑμῶν ἔχοντες ἔδειξαν. ἐν 216
οἷς πᾶσιν, ἄνδρες Ἀθηναῖοι, κατὰ γ' ὑμᾶς ὀρθῶς ἐφάνησαν ἐ-
γνωκότες. οὔτε γὰρ εἰς τὴν πόλιν εἰσελθόντος τοῦ στρατοπέ-
δου οὐδεὶς οὐδὲν οὐδὲ ἀδίκως ὑμῖν ἐνεκάλεσεν, οὕτω σώφρο-
νας παρέσχετε ὑμᾶς αὐτούς, δίς τε συμπαραταξάμενοι τὰς
πρώτας μάχας, τήν τ' ἐπὶ τοῦ ποταμοῦ καὶ τὴν χειμερινήν,
οὐκ ἀμέμπτους μόνον ὑμᾶς αὐτούς, ἀλλὰ καὶ θαυμαστοὺς ἐδεί-
ξατε τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ. ἐφ' οἷς παρὰ
μὲν τῶν ἄλλων ὑμῖν ἐγίγνοντο ἔπαινοι, παρὰ δ' ὑμῶν θυσίαι
καὶ πομπαὶ τοῖς θεοῖς. καὶ ἔγωγε ἡδέως ἂν ἐροίμην Αἰσχίνην, 217
ὅτε ταῦτ' ἐπράττετο καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἡ πό-
λις ἦν μεστή, πότερον συνέθυε καὶ συνευφραίνετο τοῖς πολ-
λοῖς ἢ λυπούμενος καὶ στένων καὶ δυσμεναίνων τοῖς κοινοῖς
ἀγαθοῖς οἴκοι καθῆτο. εἰ μὲν γὰρ παρῆν καὶ μετὰ τῶν ἄλ-
λων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ' οὐδ' ὅσια, εἰ

ταξις· ἔκριναν ὑμᾶς καὶ ἀμείνους εἶναι Φιλίππου καὶ δικαιότερα αὐτοῦ ἀξιοῦν.

216. κατὰ γε ὑμᾶς] κατὰ τὴν διαγωγὴν ὑμῶν. B. — τήν τ' ἐπὶ τοῦ ποταμοῦ] ὁ ποταμὸς εἴη ἂν ὁ Κηφισσὸς εἰσρέων πρὸς μεσημβρίαν τε καὶ ἡλίου ἀνατολὰς διὰ τῆς πεδιάδος τῆς Ἐλατείας εἰς Βοιωτίαν οὐ μακρὰν τῆς Χαιρωνείας. W. — τὴν χειμερινήν] ἀμφότεραι αἱ μάχαι δὲν μνημονεύονται ὑπ' ἄλλων, πλὴν τοῦ Διοδώρου (4, 242.) ἔχοντος ὑπ' ὄψιν τὸ χωρίον τοῦτο. ἐπειδὴ δ' αὗται συνέβησαν ἀλληλοδιαδόχως, τὸ ἐπίθετον χειμερινὴ προσδιορίζον τὴν μίαν μόνον, καὶ μάλιστα τὴν ὑστέραν, ἔδωκεν ἀφορμὴν εἰς διαφόρους εἰκασίας· ὁ Boeckh ἐξηγεῖ αὐτὸ διὰ τοῦ «γενομένη ἐν ἡμέρᾳ θυελλώδει», ἀλλὰ τότε, κατὰ τὸν G. H. Schaefer, ἔδει «χειμερίαν» καὶ οὐχὶ «χειμερινήν» εἰπεῖν (πρβλ. Lobeck εἰς Φρύνιχον σ. 52.)· ἕτεροι δὲ καὶ διαφθορὰν κειμένου καὶ χώραν τινὰ Εὐχειμερινὴν καλουμένην ὑπετόπασαν. πιθανωτέρα δὲ φαίνεται ἡ τοῦ A. Schaefer εἰκασία, ὅτι ἡ μάχη αὕτη λέγεται ἰδίως χειμερινὴ καλῶ συγκροτηθεῖσα πιθανῶς περὶ τὸν Φεβρουάριον τοῦ 338. Ὀλ. βι, δ'. κατὰ τὰς τραχείας ὀρεινὰς παρόδους τῆς μεσαίας Φωκίδος τὰς ἀπὸ Ἐλατείας εἰς Ἄμφισσαν φερούσας, ἐν αἷς ἔτι ἐπικρατεῖ χειμών, ἐν ᾧ ἐν τῇ πεδιάδι (ἐπὶ τοῦ ποταμοῦ), ἔνθα ἡ πρώτη μάχη συνεκροτήθη, ἦν ἤδη ἔαρ. περὶ δὲ τοῦ ψυχροῦ κλίματος τῆς Φωκίδος ἴδ. Θεοφρ. π. φυτ. ἱστορ. Η', 1, 7.— τῷ κόσμῳ] = τῇ εὐταξίᾳ.— θυσίαι καὶ πομπαί] οἱονεὶ εὐχαριστήρια, ἢ ἐπινίκια (ὡς ἐν τῷ Δημ. π. παραπρ. §. 128. «εἰς τἀπινίκια τῶν πραγμάτων καὶ τοῦ πολέμου ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον.»), ἢ εὐαγγέλια (ὡς ἐν τῷ Κτησ. §. 160. «εἰς αἰτίαν δ' εὐαγγελίων θυσίας τὴν βουλὴν κατέστησεν»). τοιαύτας τινὰς θυσίας ἀνέφερεν ὁ ῥήτωρ καὶ ἐν §. 86.

217. πότερον συνέθυε — οἴκοι καθῆτο] «διὰ τί μᾶλλον ὅταν δύο ἐρωτήσεις ἐρωτῶντες τὸν ἀντίδικον πρὸς ἑκατέραν ὑμῶν εἰς λύσιν παρεσκευασμένοι.» Ἑρμογ. π. Εὑρέσεως σ. 167. — ἐξητάζετο] ἐννοεῖται τὸ θύων καὶ τὰ ἱερεῖα

ὧν ὡς ἀρίστων αὐτὸς τοὺς θεοὺς ἐποιήσατο μάρτυρας, ταῦθ' ὡς οὐκ ἄριστα νῦν* ὑμᾶς ἀξιοῖ ψηφίσασθαι τοὺς ὁμωμοκότας τοὺς θεούς; εἰ δὲ μὴ παρῆν, πῶς οὐκ ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος, εἰ ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτα ἐλυπεῖτο ὁρῶν; λέγε δὴ καὶ ταῦτα τὰ ψηφίσματά μοι.

ΨΗΦΙΣΜΑΤΑ ΘΥΣΙΩΝ.

218 Οὐκοῦν ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε, Θηβαῖοι δ' ἐν τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν, καὶ περιειστήκει τοῖς βοηθείας δεήσεσθαι δοκοῦσιν ἀφ' ὧν ἔπραττον οὗτοι, αὐτοὺς βοηθεῖν ἑτέροις ἐξ ὧν ἐπείσθητ' ἐμοί. ἀλλὰ μὴν οἵας τότ' ἠφίει φωνὰς ὁ Φίλιππος καὶ ἐν οἵαις ἦν ταραχαῖς ἐπὶ τούτοις, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθε ὧν εἰς Πελοπόννησον ἔπεμπεν. καί μοι λέγε ταύτας λαβών, ἵν' εἰδῆτε, ἡ ἐμὴ συνέχεια καὶ πλάνοι καὶ ταλαιπωρίαι καὶ τὰ πολλὰ ψηφίσματα, ἃ νῦν οὗτος διέσυρε, τί ἀπειργάσατο.

219 Καίτοι πολλοὶ παρ' ὑμῖν, ἄνδρες Ἀθηναῖοι, γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος

νόμενος. περὶ δὲ τοῦ «ἐξετάζομαι» μετὰ εἰδικῆς μετοχῆς πρβλ. §. 197. σημ. — εἰ ὧν ὡς — τοὺς θεούς;] ἡ σύνταξις· εἰ νῦν ἀξιοῖ ὑμᾶς τοὺς ὁμωμοκότας τοὺς θεοὺς ψηφίσασθαι ὡς οὐκ ἄριστα ταῦτα, ὧν ὡς ἀρίστων μάρτυρας αὐτὸς ἐποιήσατο τοὺς θεούς; — τοὺς θεοὺς ἐποιήσατο μάρτυρας] θύων αὐτοῖς καὶ συνευφραινόμενος τοῖς πολλοῖς. — ὡς οὐκ ἄριστα — ἀξιοῖ ψηφίσασθαι] διότι ἡ καταδίκη τοῦ Κτησιφῶντος γράψαντος «ὅτι διατελεῖ (ὁ Δημ.) λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ» οὐδὲν ἄλλο ἦν, ἢ ψηφίσασθαι ὡς οὐκ ἄριστα ταῦτα τὰ κατὰ πρόταξιν Δημοσθένους πεπραγμένα. W. — τοὺς ὁμωμοκότας] ὁμωμοκότες ἁπλῶς λέγονται οἱ δικασταί.

218. Θηβαῖοι δ' — νομίζειν] Θηβαῖοι δ' ἦσαν ἐν τῷ νομίζειν (= φρονεῖν, πιστεύειν) σεσῶσθαι δι' ἡμᾶς. — περιειστήκει] ἐκληπτέον ἁπλῶς ἐπὶ μεταβολῆς, οὐχὶ δὲ τῆς ἐπὶ τὸ χεῖρον, ὡς ἐν §. 201. — οὗτοι] οἱ περὶ τὸν Αἰσχίνην. — ὧν] καθ' ἕλξιν· ἀντὶ ἃς. — εἰς Πελοπόννησον ἔπεμπεν] ἐπικουρίαν ἴσως ζητῶν. πρβλ. τὰ ἐν §. 156. — συνέχεια] συνεχὴς συμβουλία. — πλάνοι] τὰς πρεσβείας αὐτοῦ νοητέον, ἃς ἴδ. ἐν §. 244. — ἃ — οὗτος διέσυρε] τοιοῦτόν τι δὲν ὑπάρχει ἐν τῷ κ. Κτησ. λόγῳ. W. — καί μοι λέγε ταύτας] μετὰ τρεῖς §. ἔπεται ἡ ἀνάγνωσις αὐτῶν.

219. Καλλίστρατος] υἱὸς Καλλικράτους Ἀφιδναίου, εἷς τῶν παρ' Ἀθηναίοις ἰσχυρῶν κατὰ τὴν ἐποχὴν αὐτοῦ (Δημ. π. παραπρ. §. 297. — Διόδ. ΙΕ', 29. — Ξενοφ. Ἑλλ. ΣΤ', 5', 39. καὶ Γ', 10. κ. ἑ.) δημαγωγὸς καὶ σύμβουλος τῶν βοιωτιαζόντων, ἔθιν καὶ ὅτε οἱ Θηβαῖοι κατέσχον Ὠρωπὸν (ἴδ. ἀνωτ. §. 99. σημ.) κατηγορηθεὶς καὶ οὗτος μετὰ Χαβρίου (Ἀριστοτ. Ῥητ. Α', 7.) ἠγωνίσατο τὴν περὶ Ὠρωποῦ δίκην, ἧς ἡ ἀκρόασις τῷ Δημ. νέῳ ἔτι «ἀρχὴ τῆς πρὸς τοὺς λόγους ὁρμῆς»

ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει, ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραψεν. ὑπέλειπε γὰρ αὐτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥᾳστώνην, ἅμα δ', εἴ τι γένοιτ', ἀναφοράν. τί οὖν, 220
εἴποι τις ἄν, σὺ τοσοῦτον ὑπερῆρας ῥώμῃ καὶ τόλμῃ, ὥςτε πάντα ποιεῖν αὐτός; οὐ ταῦτα λέγω, ἀλλ' οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν κατειληφότα κίνδυνον τὴν πόλιν, ὥςτ' οὐκ ἐδόκει μοι χώραν οὐδὲ πρόνοιαν οὐδεμίαν τῆς ἰδίας ἀσφαλείας διδόναι, ἀλλ'* ἀγαπητὸν εἶναι, εἰ μηδὲν παραλείπων τις, ἃ δεῖ πράξειεν. ἐπεπείσμην δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν, ὅ- 221
μως δ' ἐπεπείσμην, μήτε γράφοντ' ἂν ἐμοῦ γράψαι βέλτιον μηδένα, μήτε πράττοντα πρᾶξαι, μήτε πρεσβεύοντα πρεσβεῦσαι

λέγεται γενέσθαι (Πλουτ. Δημ. Ε'.). τὴν δ' ἑξῆς Ὀλ. (τὴν ρδ') κριθεὶς ἀπ' εἰσαγγελίας ὡς «ῥήτωρ ὢν λέγει μὴ τὰ ἄριστα τῷ δήμῳ» (Ὑπερείδ. ὑπὲρ Εὐξενίππου 18. πρβλ. καὶ τὰ ἐν 23.) καὶ θανάτῳ καταδικασθεὶς ἔφυγεν εἰς Μεθώνην τῆς Μακεδονίας (Δημ. πρ. Πολυκλ. §. 46—52.). ἐκεῖθεν δὲ εἰς Θάσον ἐλθὼν «ἔπεισε τοὺς Θασίους τὴν ἀντίπεραν γῆν οἰκίσαι» (Ζηνοβ. Παροιμ. Δ', 34. «Θάσος ἀγαθῶν»). κατὰ δὲ τὸ 355 (Ὀλ. ρϛ', ά.) ἐπανελθὼν εἰς Ἀθήνας ἀπέθανεν ὑπὸ τοῦ δήμου, καίτοι ἐπὶ τὸν βωμὸν τῶν ιβ' θεῶν καταφυγών (Λυκ. κ. Λεωκρ. §. 93.). — ἐκεῖνος] «ἔμφασίν τινα μεγέθους περὶ τὸν ἄνδρα (τὸν Καλλίστρ.) δηλοῖ.» Ἀλεξ. π. σχημ. σ. 469. — Ἀριστοφῶν] ἴδ. §. 162. σημ. — Κέφαλος] ἴδ. §. 251. σημ. — Θρασύβουλος] οὗ μέμνηται καὶ Ἀριστοτέλης (Ῥητ. Β', 23, 25.)· ἄδηλον δὲ εἰ ὁ αὐτός ἐστι τῷ Θράσωνος υἱῷ τῷ Κολλυτεῖ ἀκμάσαντι Ὀλ. ϟδ', β', 403. [τῷ παρ' Αἰσχίνῃ κ. Κτησ. §. 138. — Δημ. κ. Τιμοκρ. §. 134. — Ξενοφ. Ἑλλ. Ε', ά. 26.]. Boehn. ὁ δὲ ΓΜ. Θρασύβουλον τὸν Λύκου Στειριέα (τὸν πάνυ) παραδεχόμενος ἐνταῦθα ποῦ βασίζεται ἀγνοῶ. — οὐκ ἂν ἐπρέσβευσεν — οὐκ ἂν ἔγραψεν] ὁ ἂν μετ' ἀορίστου ὁριστικῆς ἐκφράζει καὶ τὸ συνήθως γινόμενον, ὡς ἐνταῦθα. — εἴ τι γένοιτο] οὐχὶ ἁπλῶς τί, ἀλλὰ τὶ δεινόν, ὅπερ ἐσιωπήθη διὰ τὸ δύσφημον. — ἀναφοράν] «ἀναφορά, τὸ ἀναφέρειν τὴν αἰτίαν τῶν ἁμαρτηθέντων ἐπ' ἄλλους.» Ἁρποκρ. οὕτω καὶ ἐν τῷ Αἰσχ. π. παραπρ. §. 104. «νῦν δὲ αὐτοῖς — κατέλιπον τὴν εἰς τὸ ἀφανὲς ἀναφοράν, ἂν μή τι πείθωσιν.»

220. αὐτός] = μόνος. — οὐκ ἐδόκει μοι — διδόναι] = οὐκ ἐδόκει μοι χώραν τῇ ἰδίᾳ ἀσφαλείᾳ διδόναι, οὐδὲ πρόνοιαν αὐτῆς ποιεῖσθαι. ὁ West. προσωπικὸν ἐκλαμβάνων τὸ ἐδόκει ἐξηγεῖ· δέν μοι ἐφαίνετο ὁ κίνδυνος ὅτι ἔδιδεν εἰς ἐμὲ χώραν τῆς ἰδίας ἀσφαλείας κτλ. ἀλλὰ τὸ ἑπόμενον ἀγαπητὸν εἶναι κτλ. εὐνοεῖ μᾶλλον, νομίζω, τῇ ὡς ἀπροσώπου ἐκδοχῇ τοῦ ἐδόκει, = ὥςτε δὲν μοι ἐφαίνετο εὔλογον νὰ δίδῃ τις χώραν τῇ ἰδίᾳ (ἑαυτοῦ) ἀσφαλείᾳ, οὐδὲ νὰ προνοήσῃ περὶ αὐτῆς, ἀλλὰ νὰ ἦναι ἀγαπητὸν (= νὰ εὐχαριςηθῇ τις), εἰ ἔπραττέ τις τυχὸν τὰ δέοντα μηδὲν παραλείπων.

221. ἐπεπείσμην — τυχὸν μὲν ἀναισθητῶν] ἐπιδιόρθωσις. ἴδ. §. 59. σημ. — ἂν] συναπτέον τοῖς ἀπαρεμφ. γράψαι, πρᾶξαι, πρεσβεῦσαι. τὰς δὲ μετοχὰς ὑποθετικῶς ἐκληπτέον. W.

προθυμότερον μηδὲ δικαιότερον. διὰ ταῦτα ἐν πᾶσιν ἐμαυτὸν ἔταττον. λέγε τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΑΙ.

222 Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ ἐμὴ πολιτεία, Αἰσχίνη. ταύτην τὴν φωνὴν ἐκεῖνος ἀφῆκε, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει ἐπαιρόμενος λόγους. ἀνθ' ὧν δικαίως ἐστεφανούμην ὑπὸ τουτωνί, καὶ σὺ παρὼν οὐκ ἀντέλεγες, ὁ δὲ γραψάμενος Διώνδας τὸ μέρος τῶν ψήφων οὐκ ἔλαβεν. καί μοι λαβὲ ταῦτα τὰ ψηφίσματα τὰ τότε μὲν ἀποπεφευγότα, ὑπὸ τούτου δ' οὐδὲ γραφέντα.

ΨΗΦΙΣΜΑΤΑ.

223 Ταυτὶ τὰ ψηφίσματ', ὦ ἄνδρες Ἀθηναῖοι, τὰς αὐτὰς συλλαβὰς καὶ ταὐτὰ ῥήματ' ἔχει, ἅπερ πρότερον μὲν Ἀρισόνικος, νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί. καὶ ταῦτ' Αἰσχίνης οὔτ' ἐδίωξεν αὐτὸς οὔτε τῷ γραψαμένῳ συγκατηγόρησεν. καίτοι τότε τὸν Δημομέλη τὸν ταῦτα γράφοντα καὶ τὸν Ὑπερείδην, εἴπερ ἀληθῆ μου νῦν κατηγορεῖ, μᾶλλον ἂν εἰκότως ἢ τόνδ'
224 ἐδίωκεν. διὰ τί; ὅτι τῷδε μὲν ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους καὶ

—ἐμαυτὸν ἔταττον]=ἔδωκα ἐμαυτόν, ὡς ἐν §§ 179. 197. 219. οὕτω καὶ ἐν §. 12. ἀντὶ τοῦ «διδόασι» εὕρηται ἔν τισι χειρογρ. «τάττουσι.

222. τ. φωνήν] τὴν ταπεινὴν φ., ὡς ἐκ τῶν ἑξῆς δῆλον.—ἐπαιρόμενος] μετ' ἐπάρσεως ἐκφέρων.—Διώνδας] ὁ Διώνδας κατηγόρησε, λέγεται (βίοι Ι'. Ῥητ. σ. 848. 846.), καὶ τὸ Ἀρισονίκου ψήφισμα (§. 83.). ΓΜ.—ἀποπεφευγότα] οὕτω καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους (§. 58. πρβλ. καὶ §. 96.) «τὸ φεῦγον ψήφισμα.» ἐν γένει ὅμως φεύγειν (=ἐγκαλεῖσθαι) καὶ ἀποφεύγειν (=ἀθωοῦσθαι) σπανίως λέγεται ἐπὶ πραγμάτων. —ὑπὸ τούτου—γραφέντα] ὑπὸ δὲ τοῦ Αἰσχ. οὐδὲ κατηγορηθέντα.

223. ταυτὶ τὰ ψηφίσματ'] τὰ Δημομέλους καὶ Ὑπερείδου. καὶ κατὰ μὲν τὸ Δημομέλους ψήφισμα ἐστεφανώθη ὁ Δημ. πιθανῶς ἐν τοῖς Διονυσίοις, κατὰ δὲ τὸ τοῦ Ὑπερείδου ἐν τοῖς μεγάλοις Παναθηναίοις [ὀλίγῳ πρότερον τῆς ἐν Χαιρωνείᾳ μάχης.]. A. Schaefer.—αὐτὰς] αὐτὸς κατ' ἰδίαν. —συγκατηγόρησεν] ἡ ἀττικὴ δικονομία ἐπέτρεπε καὶ πλείονας κατηγόρους εἶναι, ἀλλ' εἷς μόνος ἐθεωρεῖτο κατήγορος κατ' ἐξοχήν, οἱ δὲ λοιποὶ ὑπεστήριζον αὐτὸν διανεμόμενοι μετ' αὐτοῦ τὰς πρὸς ὕδωρ μεμετρημένας αὐτῷ ὥρας. —τότε] Ὀλ. ρι', ε'. —Δημομέλη] υἱὸν Δήμωνος Παιανιέα ἀνεψιὸν Δημοσθένει. Δημ. κ. Ἀφόβ. Α, §. 11. — Αἰσχ. π. παραπρ. §. 93. κ. Κτησ. §. 51. W. — Ὑπερείδην] τὸν Γλαυκίππου Κολλυτέα, περίφημον δημαγωγόν, οὗ καὶ ἐν §. 134. ἐγένετο μνεία. πλείονα δὲ περὶ αὐτοῦ καὶ τῶν πρὸ μικροῦ ἀνακαλυφθέντων συγγραμμάτων αὐτοῦ ἴδ. ἐν τῇ Νέᾳ Πανδώρᾳ Φυλλάδ. ΠΣΤ'. καὶ ΠΖ'.

224. τῷδε μὲν] τῷ Κτησιφῶντι.

τὰς τῶν δικαστηρίων γνώσεις καὶ τὸ τοῦτον αὐτὸν ἐκείνων μὴ κατηγορηκέναι· ταὐτὰ γραψάντων ἅπερ οὗτος νῦν, καὶ τὸ τοὺς νόμους μηκέτ' ἐᾶν περὶ τῶν οὕτω πραχθέντων κατηγορεῖν, καὶ πολλὰ ἕτερα· τότε δ' αὐτὸ τὸ πρᾶγμ' ἂν ἐκρίνετο ἐφ' αὑτοῦ, πρίν τι τούτων προλαβεῖν. ἀλλ' οὐκ ἦν, οἶμαι, τότε ὃ 225
νυνὶ ποιεῖν, ἐκ παλαιῶν χρόνων καὶ ψηφισμάτων πολλῶν ἐκλέξαντα, ἃ μήτε προῄδει μηδεὶς μήτ' ἂν ὡήθη τήμερον ῥηθῆναι, διαβάλλειν, καὶ μετενεγκόντα τοὺς χρόνους καὶ προφάσεις ἀντὶ τῶν ἀληθῶν ψευδεῖς μεταθέντα τοῖς πεπραγμένοις δοκεῖν τι λέγειν. οὐκ ἦν τότε ταῦτα, ἀλλ' ἐπὶ τῆς ἀληθείας, 226
ἐγγὺς τῶν ἔργων, ἔτι μεμνημένων ὑμῶν καὶ μόνον οὐκ ἐν ταῖς χερσὶν ἕκαστα ἐχόντων, πάντες ἐγίγνοντ' ἂν οἱ λόγοι. διόπερ τοὺς παρ' αὐτὰ τὰ πράγματ' ἐλέγχους φυγὼν νῦν ἥκει, ῥητόρων ἀγῶνα νομίζων, ὡς γ' ἐμοὶ δοκεῖ, καὶ οὐχὶ τῶν πεπολιτευμένων ἐξέτασιν ποιήσειν ὑμᾶς, καὶ λόγου κρίσιν, οὐχὶ τοῦ τῇ πόλει συμφέροντος ἔσεσθαι.

— γνώσεις] ἀποφάσεις. — τοῦτον αὐτὸν] τὸν Αἰσχίνην—ἐκείνων] Δημομέλους καὶ Ὑπερ. — οὗτος] ὁ Κτησ. — μηκετ' ἐᾶν] «οἱ νόμοι οὐκ ἐῶσι,» λέγει ὁ Δημ. ἐν τῷ πρὸς Λεπτίνην §. 147., «δίκης πρὸς τὸν αὐτὸν περὶ τῶν αὐτῶν οὔτε δίκας οὔτ' εὐθύνας οὔτε διαδικασίαν οὔτ' ἄλλο τοιοῦτ' οὐδὲν εἶναι,» ἐνταῦθα δὲ δὴν ὑπῆρχε μὲν ταυτότης προσώπων, ἀλλ' ὑποθέσεως ταυτότης ὑπῆρχεν, ὡς φαίνεται ἐκ τῶν ἑξῆς. — περὶ τῶν οὕτω πραχθέντων] περὶ τῶν πραχθέντων οὕτως, ὡς ἐπράχθησαν τότε. ἐὰν ὁ Δημοσθένης καὶ τότε ὑπεύθυνος ὢν εἶχε στεφανωθῇ καὶ μάλιστα μετὰ προηγηθεῖσαν δικαστικὴν συζήτησιν, ἐν τοιαύτῃ περιπτώσει τὰ ὑπὸ Κτησιφῶντος προταθέντα ἦσαν ταὐτά πως τοῖς πρότερον πραχθεῖσιν, καὶ εὐλόγως ἠδύνατο οὗτος ἀνενεγκεῖν τὸν λόγον τῶν πράξεων αὐτοῦ ἐπὶ τὰς τῶν δικαστηρίων ἐκείνων ἀποφάσεις. ἀλλὰ δὴ καὶ ἐν τῷ θεάτρῳ πιθανῶς εἶχον ἀναρρηθῆ καὶ οἱ στέφανοι ἐκεῖνοι, ὡς ἔστιν εἰκάσαι ἐκ τῶν ἐν §. 223. «ταυτὶ τὰ ψηφίσματα — τὰς αὐτὰς συλλαβὰς καὶ ταὐτὰ ῥήματ' ἔχει ἅπερ — Κτησιφῶν γέγραφεν οὑτοσί,» ὥστε ὑπῆρχε ταυτότης ὑποθέσεως. — προλαβεῖν] ὑπολειφθέν ἐννοεῖται ἀπὸ κοινοῦ τὸ πρᾶγμα, = πρὶν νὰ προλάβῃ ἡ ὑπόθεσις αὐτὴ κανὲν τῶν δικαιολογημάτων τούτων.

225. ἐκ παλαιῶν χρόνων — ῥηθῆναι] διὰ τούτων ἐννοεῖ ὁ ῥήτωρ τὴν παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 58. κ. ἑ.) ἐξιστόρησιν τῆς φιλοκρατείου εἰρήνης. — διαβάλλειν καὶ — δοκεῖν] ἐπεξήγησις τοῦ «ὃ [ποιεῖ] νυνί.»

226. ἐπὶ τῆς ἀληθ. — ἐγγὺς τῶν ἔργων — μεμνημ. ὑμῶν] ὅρα τοὺς ἀλλεπαλλήλους προσδιορισμοὺς πρὸς ζωηροτέραν ἔκφρασιν. ἡ δὲ σύνταξις· ἀλλὰ πάντες οἱ λόγοι ἐγίγνοντ' ἂν ἐπὶ τῆς ἀληθ. κτλ. — καὶ μόνον οὐκ — ἐχόντων] καὶ μόνον (ἔλειπεν) ὅτι δὲν εἴχετε = καὶ σχεδὸν εἴχετε. — τοὺς παρ'—ἐλέγχους φυγὼν] ταὐτὰ εἶπε καὶ ἐν §. 14—15. τούτοις ἀπολογεῖται πως ὁ Αἰσχίνης ἐν §. 217. τοῦ κ. Κτησ.

227 Εἶτα σοφίζεται, καί φησι προσήκειν, ἧς μὲν οἴκοθεν ἥκετ' ἔχοντες δόξης περὶ ἡμῶν ἀμελῆσαι, ὥσπερ δ', ὅταν οἰόμενοι περιεῖναι χρήματά τῳ λογίζησθε, ἂν καθαιρῶσιν αἱ ψῆφοι καὶ μηδὲν περιῇ, συγχωρεῖτε, οὕτω καὶ νῦν τοῖς ἐκ τοῦ λόγου φαινομένοις προσθέσθαι. θεάσασθε τοίνυν ὡς σαθρόν, ὡς ἔοι-
228 κεν, ἐστὶ φύσει πᾶν ὅ τι ἂν μὴ δικαίως ᾖ πεπραγμένον. ἐκ γὰρ αὐτοῦ τοῦ σοφοῦ τούτου παραδείγματος ὡμολόγηκε νῦν γ' ἡμᾶς ὑπάρχειν ἐγνωσμένους ἐμὲ μὲν λέγειν ὑπὲρ τῆς πατρίδος, αὐτὸν δ' ὑπὲρ Φιλίππου· οὐ γὰρ ἂν μεταπείθειν ὑμᾶς* ἐζήτει

227. καί φησιν] ἐν §. 59. καὶ 60. τοῦ κ. Κτησ. — δόξης] τοῦτ' αὐτὸ τῷ ὀλίγους στίχους κατωτέρω ὑπολήψεως. — περὶ ἡμῶν] ὁ Αἰσχίνης περὶ Δημοσθένους μόνον εἶπεν «εἴτινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημ. οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους,» ἀλλ' ὁ ῥήτωρ ἐκλαμβάνει αὐτὰ καὶ ἐπ' αὐτοῦ τοῦ Αἰσχίνου, ἵνα ἐπιφέρῃ τὰ ἐν §. 228. — ἀμελῆσαι] ἄλλως πως κεῖται παρ' Αἰσχίνῃ· «ὅστις οὕτω διάκειται, μήτ' ἀπογνώτω μηδὲν μήτε καταγνώτω πρὶν ἂν ἀκούσῃ.» W. — περιεῖναι χρήματά τῳ] ὅτι ἐκ τῶν ἐμπιστευθέντων τινὶ χρημάτων ἔμεινε παρ' αὐτῷ ποσόν τι. — ὁ Δημ. γενικώτερον ἐκλαμβάνει τὸ παράδειγμα, ἐν ᾧ τὰ τοῦ Αἰσχίνου «ὥς περ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθα ἐπὶ τοὺς λογισμούς· ἐρχόμεθα δήπου ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες κατὰ τῶν λογισμῶν· ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ἡμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ' ὁμολογήσας καὶ ἐπινεύσας ἀληθὲς εἶναι, ὅ τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ,» φαίνεται ὅτι ἐπὶ μερικῆς τινος περιςάσεως, ἤτοι ἐπὶ ἀπολογισμῶν ἄρχοντός τινος ἀναφέρονται. W. — ἂν καθαιρῶσιν] κατὰ τὸ χειρόγρ. Σ ἀντὶ τῆς κοινοτέρας γραφῆς καθαραὶ ὦσιν. ὁ West. καίτοι σημειῶν ὅτι τὸ καθαρὸς ἐν τοιαύτῃ χρήσει οὐδαμοῦ ἀλλαχοῦ εὕρηται, παραδέχεται αὖθις τὴν συνήθη γραφήν. πλὴν τὸ γνήσιον τῆς τοῦ Σ γραφῆς καταφαίνεται ἔκ τε τῶν τοῦ Αἰσχίνου «ὅ τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ,» πρὸς ἃ ἰδίως ἀναφέρονται ταῦτα, καὶ ἐκ τοῦ κατωτέρω (§. 231.) ἀνταναλεῖν, καὶ δὴ καὶ ἐκ τῶν παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ (Ζ', 36.)· «ὅ τι δ' ἂν αἱ πλείους ψῆφοι καθαιρῶσι, τοῦτο ποιεῖν.» καὶ (αὐτ. 39.) «ὅ τι δ' ἂν αἱ πλείους γνῶμαι καθαιρῶσι, τοῦτο εἶναι κύριον.» ὥστε οὐδεμία ἀμφιβολία ὅτι τὸ καθαιρεῖν (= ὁρίζειν, bestimmen, ἴδ. Λεξικὸν Passow) ἦν παρὰ τοῖς ἀρχαίοις ὅρος ἀριθμητικός. ὅ τι δὲ καθαιροῦσιν αἱ ψῆφοι ἐνταῦθα σαφηνίζεται ἐκ τοῦ ἐπιφερομένου καὶ μηδὲν περιῇ, ἤτοι ὁρίζουσιν αὐτὸ τοῦτο τὸ μηδὲν περιεῖναι.

228. τοῦ σοφοῦ] = τοῦ σεσοφισμένου, ὡς ἔστιν εἰκάσαι ἐκ τοῦ ἐν §. 227. σοφίζεται, εἰμὴ εἰρωνικῶς ἐκλῃπτέον. — ὑπάρχειν ἐγνωσμένους] πρβλ. τὴν ἐν §. 95. π. τ. ὑπάρχειν εἰδότας σημ. ἡ δ' ἔννοια· ὅτι εἴμεθα πλέον ἐγνωσμένοι ἐγὼ μὲν ὅτι λέγω κτλ. ἔτι δὲ κατὰ συνεφέλκυσιν ἀντὶ τοῦ «νῦν γε — ὑπάρχειν ἐγνωσμένον (δῆλον).» — ἐμὲ — ὑπὲρ τῆς πατρίδος] συνεχῶς παρίστησιν ὁ ῥήτωρ ἑαυτὸν μὲν «φίλον Ἀθηναίων, λέγοντα ὑπὲρ τῆς πατρίδος, ταῦτὰ προαιρούμενον τοῖς πολλοῖς κτλ.» Αἰσχίνην δὲ τοὐναντίον «ἐχθρὸν τῆς πατρίδος, μισθωτόν, προδότην» κτλ. πρβλ. §§. 138. 197. 265. 277. 280. 284. κ. ἀ. —

μὴ τοιαύτης οὔσης τῆς ὑπαρχούσης ὑπολήψεως περὶ ἑκατέρου.
καὶ μὴν ὅτι γε οὐ δίκαια λέγει μεταθέσθαι ταύτην τὴν δόξαν 229
ἀξιῶν, ἐγὼ διδάξω ῥᾳδίως, οὐ τιθεὶς ψήφους (οὐ γὰρ ἐστιν ὁ
τῶν πραγμάτων οὗτος λογισμός), ἀλλ' ἀναμιμνήσκων ἕκαστα
ἐν βραχέσι, λογισταῖς ἅμα καὶ μάρτυσι τοῖς ἀκούουσιν ὑμῖν
χρώμενος. ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν
τοῦ Θηβαίους μετὰ Φιλίππου συνεμβαλεῖν εἰς τὴν χώραν, ὃ
πάντες ᾤοντο, μεθ' ἡμῶν παραταξαμένους ἐκεῖνον κωλύειν ἐ-
ποίησεν, ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ τὸν πόλεμον εἶναι ἑπτα- 230
κόσια στάδια ἀπὸ τῆς πόλεως ἐπὶ τοῖς Βοιωτῶν ὁρίοις γενέ-
σθαι, ἀντὶ δὲ τοῦ τοὺς λῃστὰς ἡμᾶς φέρειν καὶ ἄγειν ἐκ τῆς
Εὐβοίας ἐν εἰρήνῃ τὴν Ἀττικὴν ἐκ θαλάττης εἶναι πάντα τὸν
πόλεμον, ἀντὶ δὲ τοῦ τὸν Ἑλλήσποντον ἔχειν Φίλιππον, λα-
βόντα Βυζάντιον, συμπολεμεῖν τοὺς Βυζαντίους μεθ' ἡμῶν
πρὸς ἐκεῖνον. ἆρά σοι ψήφοις ὅμοιος ὁ τῶν ἔργων λογισμὸς 231
φαίνεται; ἢ δεῖν ἀντανελεῖν ταῦτα, ἀλλ' οὐχ ὅπως τὸν
ἅπαντα χρόνον μνημονευθήσεται σκέψασθαι; καὶ οὐκέτι

μὴ—οὔσης] ὑποθετικὴ μετοχὴ = εἰ μὴ ἦν.

229. ψήφους] ἀριθμητικὰς βεβαίως, χρησίμους εἰς περιστάσεις, καθ' ἃς ὁ διὰ δακτύλων ἢ ἐκ μνήμης λογισμὸς καθίστατο ἀνεπαρκής. — ὁ τῶν πραγμάτων—λογισμός] διότι ὁ λογισμὸς τῶν πραγμάτων (ἤτοι ὁ τρόπος καθ' ὃν τὰ πράγματα τὰ πολιτικὰ λογαριάζονται) δὲν εἶναι οὗτος ὁ διὰ ψήφων. ἴδ. καὶ κατωτέρω §. 231. «ἆρά σοι ψήφοις ὅμοιος κτλ.» — ἡ γὰρ ἐμὴ] ὁ γὰρ ἀφηγηματικός. — ἀντὶ—συνεμβαλεῖν — ἐν τῇ Ἀττ. τὸν πόλεμον εἶναι—τοὺς λῃστὰς φέρειν καὶ ἄγειν—τὸν Ἑλλήσπ. ἔχειν Φίλιππον] ταῦτα ἔμελλον ἔσεσθαι κατὰ τὸν ῥήτορα, εἰ Αἰσχίνῃ πειθόμενοι Ἀθηναῖοι ἔπραττον ἕτερα παρὰ τὰς ἑαυτοῦ συμβουλάς. — εἰς τὴν χώραν] τὴν Ἀττικήν. — κωλύειν] ἐννοεῖται τὸ «τοῦ εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν.»

230. ἑπτακ. στάδια ἀπὸ τῆς πόλ.] ἴδ. τὴν ἐν §. 195. π. τ. τριῶν ἡμερῶν σημ. — τοὺς λῃστὰς] ἴδ. τὴν ἐν §. 145. σημ. — φέρειν καὶ ἄγειν] = λῃστεύειν. — ἐκ τῆς Εὐβοίας] ἐννοεῖται τὸ ὁρμώμενοι, ὡς ἐν §. 241. «ἅπλους δ' ἡ θάλαττα ὑπὸ τῶν ἐκ τῆς Εὐβοίας ὁρμωμένων λῃστῶν γέγονεν.» — ἐν εἰρήνῃ—τὸν πόλεμον] νὰ ἦναι ἐκ τῆς θαλάσσης ἡ Ἀττικὴ ἀσφαλὴς καθ' ὅλον τὸν καιρὸν τοῦ πολέμου. Β. — λαβόντα] ὑποθετικὴ μετοχή. ἐν περιπτώσει καθ' ἣν ἤθελε λάβει.

231. ἆρά σοι—φαίνεται] ἆρα ὁ λογισμὸς τῶν ἔργων φαίνεται σοι ὅμοιος τῷ διὰ ψήφων λογισμῷ; — ἀντανελεῖν] ἀριθμητικὸς ὅρος· = ἐξαλεῖψαι ἀμοιβαίως ταῦτα τὰ ἀνωτέρω (§. 229 — 230.) ἀντιπαρατεθειμένα συμβάντα ἐκ τῆς ἐμῆς πολιτείας, ἢ συμβησόμενα ἐκ τῆς σῆς, εἴ σοι ἐπείθοντο Ἀθηναῖοι. — ἀλλ' οὐχ] συναπτέον τῷ σκέψασθαι. —

προστίθημι, ὅτι τῆς μὲν ὠμότητος, ἣν ἐν οἷς καθάπαξ τινῶν κύριος κατέστη Φίλιππος ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι συνέβη, τῆς δὲ φιλανθρωπίας, ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος ἐπλάττετο, ὑμεῖς καλῶς ποιοῦντες τοὺς καρποὺς κεκόμισθε. ἀλλ' ἐῶ ταῦτα.

232 Καὶ μὴν οὐδὲ τοῦτ' εἰπεῖν ὀκνήσω, ὅτι ὁ τὸν ῥήτορα βουλόμενος δικαίως ἐξετάζειν καὶ μὴ συκοφαντεῖν οὐκ ἂν οἷα σὺ νῦν ἔλεγες," τοιαῦτα κατηγόρει, παραδείγματα πλάττων καὶ ῥήματα καὶ σχήματα μιμούμενος (πάνυ γὰρ παρὰ τοῦτο, οὐχ ὁρᾷς; γέγονε τὰ τῶν Ἑλλήνων, εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγώ, ἢ δεῦρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δεῦρὶ παρή-
233 νεγκα), ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἂν ἐσκόπει, τίνας εἶχεν

προστίθημι] τοῖς εἰρημένοις. — ἣν ἐν οἷς—ἰδεῖν] ἣν ἔστιν ἰδεῖν ἐν τοῖς πράγμασιν, ἐν οἷς καθάπαξ κατέστη κύριός τινων· οἷον ἐν τοῖς κατὰ Θρᾴκων καὶ Φωκέων αὐτοῦ πολέμοις (Διόδ. ΙΣΤ', 35. 60.) — τῆς δὲ φιλανθρωπίας] ἧς μνημονεύουσιν Ἰουστῖνός τε (9. 4.) καὶ Διόδωρος (ΙΣΤ', 87.), ἤτοι τῆς μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἑτέραν δέ τινα παρ' αὐτήν, ὡς φρονεῖ ὁ West. δύσκολον εἰκάσαι μετὰ τὰ ἐν §. 229—230. συμβεβηκότα. ΓΜ. — τὰ λοιπὰ—περιβαλλόμενος] ἐπιχειρῶν περιβάλλεσθαι, περιποιεῖν ἑαυτῷ τὰ λοιπὰ τῶν πραγμάτων (ἤτοι τὰς λοιπὰς Ἑλλην. πολιτείας, ἃς οὐκέτι εἶχεν ὑφ' ἑαυτῷ, καὶ ἰδίως τὰς ἐν Πελοποννήσῳ κατὰ Bochnecke. οὕτω παρ' Ἡροδότῳ Γ', 71. «ἰδίῃ περιβαλλόμενος ἑαυτῷ κέρδεα.» — ἐκεῖνος] ἴδ. τὴν ἐν §. 71. σημ. — καλῶς ποιοῦντες] φράσις = τῇ παρ' ἡμῖν χάριτι θεία, εὐτυχῶς, καίτοι ὁμοιόπτωτος τῷ ὑποκειμένῳ. οὕτω καὶ ἐν Ὀλυνθ. Α, §. 28. «ὑπὲρ τῶν πολλῶν ὧν καλῶς ποιοῦντες ἔχουσι.» πρβλ. πρ. Λεπτ. §. 110. — πρ. Εὐβουλ. §. 6. καὶ Αἰσχ. κ. Κτησ. §. 232. «ὡς καὶ ἐστὶ καλῶς πεισθέντες.»

232. παραδείγματα πλάττων] ὡς τὸ ἀνωτέρω ἐν §. 227. — ῥήματα καὶ σχήματα] τὸ μὲν ῥήματα ἀποβλέπει πρὸς τὴν παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 72. καὶ 166.) ἐπικρισιν διαφόρων τοῦ Δημ. φράσεων, τὸ δὲ σχήματα πρὸς τὴν συνοδεύουσαν αὐτὰς χειρονομίαν. W. ἀλλ' ἴσως καὶ πρὸς τὰς κινήσεις τοῦ σώματος ἐν γένει, ὡς λέγει καὶ Αἰσχίνης (κ. Κτησ. §. 167.)· «ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος.» καὶ πιθανὸν ὅτι ὁ Αἰσχίνης λέγων ταῦτα ἔκαμεν ἐπὶ τοῦ βήματος καὶ τὴν περιδίνησιν αὐτὴν μιμούμενος τὸν Δημ. — πάνυ γὰρ] εἰσαγωγικὸν εἰρωνείας (εἴτε διασυρμοῦ κατὰ Τιβέριον), ὡς καὶ παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 100.). τὸ δὲ οὐχ ὁρᾷς; συντείνει εἰς ἐξακολούθησιν αὐτῆς, ὡς καὶ κατωτέρω ἐν §. 266. W. — παρὰ τοῦτο] = διὰ τοῦτο. οὕτω καὶ ἐν τῷ π. παραπρ. §. 263. «εἰ παρ' οὐδὲν οὕτως ὡς τὸ τοιαῦτα ποιεῖν ἀπολώλασιν.» καὶ ἐν §. 131. τοῦ μ. Κτησ. «παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν — ὅτι.» πρβλ. κ. Φιλ. Α', §. 11. — Δειν. κ. Δημ. §. 72. βλέπε καὶ Ἀσωπ. συντ. περ. β', ΚΔ', 170. — τὰ τῶν Ἑλλήνων] ἐννοεῖται πράγματα (ὅπερ ἐνταῦθα = ἀτυχήματα) πρβλ. καὶ §. 292. τὴν π.τ. εἰς πράγματα σημ.). διότι βέβαια διὰ τοῦτο συνέβησαν τὰ ἀτυχήματα τῶν Ἑλλήνων, ὅτι διελέχθην ἐγὼ κτλ.

ἀφορμὰς ἡ πόλις καὶ τίνας δυνάμεις, ὅτ' εἰς τὰ πράγματ' εἰσήειν, καὶ τίνας συνήγαγον αὐτῇ μετὰ ταῦτ' ἐπιστὰς ἐγώ, καὶ πῶς εἶχε τὰ τῶν ἐναντίων. εἶτ' εἰ μὲν ἐλάττους ἐποίησα τὰς δυνάμεις, παρ' ἐμοὶ τἀδίκημ' ἂν ἐδείκνυεν ὄν, εἰ δὲ πολλῷ μείζους, οὐκ ἂν ἐσυκοφάντει. ἐπειδὴ δὲ σὺ τοῦτο πέφευγας, ἐγὼ ποιήσω· καὶ σκοπεῖτε εἰ δικαίως χρήσομαι τῷ λόγῳ.

Δύναμιν μὲν τοίνυν εἶχεν ἡ πόλις τοὺς νησιώτας, οὐχ ἅπαν- 234
τας, ἀλλὰ τοὺς ἀσθενεστάτους· οὔτε γὰρ Χίος οὔτε Ῥόδος οὔτε Κέρκυρα μεθ' ἡμῶν ἦν· χρημάτων δὲ σύνταξιν εἰς πέντε καὶ τετταράκοντα τάλαντα, καὶ ταῦτ' ἦν προεξειλεγμένα· ὁπλίτην δ', ἱππέα πλὴν τῶν οἰκείων οὐδένα. ὃ δὲ πάντων καὶ φοβερώτατον καὶ μάλισθ' ὑπὲρ τῶν ἐχθρῶν, οὗτοι παρεσκευάκεισαν τοὺς περιχώρους πάντας ἔχθρας ἢ φιλίας ἐγγυτέρω, Μεγαρεῖς, Θηβαίους, Εὐβοέας. τὰ μὲν τῆς πόλεως οὕτως ὑ- 235

233. ἀφορμὰς] τοῦθ' ὅπερ κατωτέρω ἐν §. 234. χρημάτων σύνταξιν ἐρεῖ. ἴδ. τὴν ἐν §. 156. σημ. — ἐπιστὰς] οὕτω καὶ ἐν §. 60. «ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην.» — ἐπειδὴ δὲ — πέφευγας, ἐγὼ ποιήσω] ὥρα καὶ ἐν τούτοις πῶς αἰτιολογεῖ ὁ ῥήτωρ τοὺς περὶ ἑαυτοῦ λόγους.

234. οὔτε γὰρ Χίος — οὔτε Κέρκυρα μεθ' ἡμῶν ἦν] ἐκ τούτων δείκνυται ὅτι οἱ Χῖοι κλπ. ἦσαν οἱ ἰσχυροὶ τῶν συμμάχων, οἱ Κερκυραῖοι καθὰ λέγει ὁ Ξέν. (Ἑλλ. ΣΤ', ε', 38.). εἶχον τότε «ναυτικὸν σχεδὸν περὶ ἐνενήκοντα ναῦς,» ἀπεστάτησαν δὲ ἀπὸ Ἀθηναίων κατὰ συνέπειαν, φαίνεται, τῶν ἃς ἐν αὐτοῖς Χάρης ἐκίνησε μεγάλων στάσεων (Διόδ. ΙΕ', 95.). ἐχθροὺς καλεῖ αὐτοὺς ὁ Δημ. ἐν §. 202. τοῦ κ. Τιμοκράτους (Ολ. ρξ', δ'. 353.). ἡ δὲ Χίος καὶ Ῥόδος ἐπίσης ἰσχυραὶ νῆσοι διετέλουν αὐτόνομοι ἀποσπασθεῖσαι τῆς Ἀθηναίων συμμαχίας ἤδη ἀπὸ Ολ. ρέ, γ'. 358. — χρημάτων — σύνταξιν] «τοὺς φόρους ἔλεγε συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα, Καλλιστράτου οὕτω καλέσαντος.» Ἁρπακρ. — εἰς πέντε — τάλαντα] ἡ εἰς = ἕως, ῥητὸν ὅρον δηλοῖ. πρβλ. §. 151. σημ. ὁ Ἀριστείδης πρῶτος εἶχε προσδιορίσει τοὺς φόρους εἰς 460 τάλαντα ἐτησίως, ὁ Περικλῆς ηὔξησεν αὐτοὺς μέχρις 600, ὁ δ' Ἀλκιβιάδης μέχρι 1200. ἀπὸ δὲ τοῦ συμμαχικοῦ πολέμου εἶχον ἐλαττωθῆ μέχρι 45 ταλάντων, εἶτα ὅμως ηὐξήθησαν, φαίνεται, κατὰ τὸ ἐν §. 237. «χρημάτων δὲ ὅσων ἠδυνήθην ἐγὼ πλείστην συντέλειαν ἐποίησα.» — προεξειλεγμένα] προσυνειλεγμένα ἐκ τῶν συμμάχων. — ὁπλίτην, ἱππέα] ἀσυνδέτως· οὕτω καὶ ἐν Ολυνθ. Γ'. §. 31. «περιῃρημένοι χρήματα, συμμάχους.» κ. ἀ. — πλὴν τῶν οἰκείων οὐδένα] ἀλλὰ καὶ πρότερον ἔτι (πρὸ τοῦ πελοποννησιακοῦ πολέμου) δὲν εἶχεν ἡ πόλις ἑτέρους ὁπλίτας πλὴν τῶν οἰκείων, καθότι οἱ σύμμαχοι, πλὴν Χίων καὶ Λεσβίων, ἀπέφευγον τὸ στρατεύεσθαι εἰσφέροντες χρήματα καὶ κενὰς ναῦς. ἀποτέλεσμα δὲ τῆς ἀδρανείας ταύτης ὑπῆρξεν ἡ ἀπώλεια τῆς αὐτονομίας αὐτῶν. W. — οὗτοι] οἱ περὶ τὸν Αἰσχ., ὡς ἐκ συζήματος ἐχθροὶ τῆς πόλεως. τοιοῦτόν τι εἶπε περὶ αὐτῶν καὶ ἐν §. 163. «προήγαγον οὗτοι τὸ πρᾶγμα (τὴν πρὸς Θηβαίους ἔχθραν).» καὶ 188.

πῆρχεν ἔχοντα, καὶ οὐδεὶς ἂν ἔχοι παρὰ ταῦτ' εἰπεῖν ἄλλο οὐδέν· τὰ δὲ τοῦ Φιλίππου, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγών, σκέψασθε πῶς. πρῶτον μὲν ἦρχε τῶν ἀκολουθούντων αὐτὸς αὐτοκράτωρ, ὃ τῶν εἰς τὸν πόλεμον μέγιστόν ἐστιν ἁπάντων· εἶθ' οὗτοι τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα χρημάτων εὐπόρει, καὶ ἔπραττεν, ἃ* δόξειεν αὐτῷ, οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν, οὐδ' ἐν τῷ φανερῷ βουλευόμενος, οὐδὲ γραφὰς φεύγων παρανόμων, οὐδ' ὑπεύθυνος ὢν οὐδενί, ἀλλ' ἁπλῶς αὐ-
236 τὸς δεσπότης, ἡγεμών, κύριος πάντων. ἐγὼ δ' ὁ πρὸς τοῦτον ἀντιτεταγμένος (καὶ γὰρ τοῦτ' ἐξετάσαι δίκαιον) τίνος κύριος ἦν; οὐδενός· αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶτον, οὗ μόνου μετεῖχον ἐγώ, ἐξ ἴσου προὐτίθεθ' ὑμεῖς τοῖς παρ' ἐκείνου μισθαρνοῦσι καὶ ἐμοί, καὶ ὅσα οὗτοι περιγένοιντο ἐμοῦ (πολλὰ δ' ἐγίγνετο ταῦτα, δι' ἣν ἕκαστον τύχοι πρόφασιν), ταῦθ' ὑπὲρ τῶν
237 ἐχθρῶν ἀπῆτε βεβουλευμένοι. ἀλλ' ὅμως ἐκ τοιούτων ἐλαττωμάτων ἐγὼ συμμάχους μὲν ὑμῖν ἐποίησα Εὐβοέας, Ἀχαιούς, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους, Κερκυραίους, ἀφ' ὧν μυρίοι μὲν καὶ πεντακισχίλιοι ξένοι, δισχίλιοι δ' ἱππεῖς

235. ὃ — μέγιστόν ἐστιν] ταὐτὰ λέγει ὁ ῥήτωρ καὶ ἐν Ολυνθ. Α', §. 4. — οὗτοι] οἱ ἀκολουθοῦντες Φιλίππῳ. — οὐ προλέγων ἐν τοῖς ψηφ. — ὑπεύθ. ὢν οὐδενί] ὡς συμβαίνει ἐν ταῖς δημοκρατουμέναις πολιτείαις. πρβλ. καὶ τὰ ἐν τῷ Δημ. π. παραπρ. §. 185. «ἐν ἐκείναις μὲν — ταῖς [βασιλευομέναις] πολιτείαις πάντ' ἐξ ἐπιτάγματος ἐξέως γίγνεται· ὑμῖν δὲ πρῶτον μὲν τὴν βουλὴν ἀκοῦσαι περὶ πάντων καὶ προβουλεῦσαι δεῖ, καὶ τοῦθ' ὅταν ἡ κήρυξι καὶ πρεσβείαις προγεγραμμένον, οὐκ ἀεί, εἶτ' ἐκκλησίαν ποιήσαι, καὶ ταύτην ὅταν ἐκ τῶν νόμων καθήκῃ. εἶτα κρατῆσαι καὶ περιγενέσθαι δεῖ τοὺς τὰ βέλτιστα λέγοντας τῶν ἢ δι' ἄγνοιαν ἢ διὰ μοχθηρίαν ἀντιλεγόντων. ἐφ' ἅπασι δὲ τούτοις, ἐπειδὰν καὶ δεδογμένον ἡ καὶ συμφέρον ἤδη φαίνηται, χρόνον δεῖ δοθῆναι τῇ τῶν πολλῶν ἀδυναμίᾳ, ἐν ᾧ καὶ περιοῦνται ταῦθ' ὧν ἂν δέωνται, ὅπως τὰ δόξαντα καὶ δυνηθῶσι ποιῆσαι.»

236. προὐτίθεθ' ὑμεῖς] = προὐτείνετε διὰ τοῦ κήρυκος. πρβλ. τὴν ἐν §. 170. σημ. οὕτω καὶ ἐν §. 273. «ἀεὶ δ' ἐν κοινῷ τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν.» — καὶ ὅσα — ἐμοῦ] καὶ καθ' ὅσα οὗτοι ὑπερίσχυον ἐμοῦ. — ἀπῆτε] ἐκ τῆς ἐκκλησίας.

237. ἐκ τοιούτων ἐλαττωμάτων] ἐννοητέον τὸ ὁρμώμενος. — Λευκαδίους, Κερκυραίους] ἀντὶ τούτων ἀναφέρονται ἐν τῷ περὶ Δημοσθένους ψηφίσματι (βίοι Γ'. Ρητ. σ. 831). Λοκροί, Βυζάντιοι καὶ Μεσσήνιοι, ἃ δὲ Παυσανίας (Φωκ. Γ', 4.) προστίθησι καὶ τοὺς Φωκεῖς. «Μεσσηνίοι δὲ», λέγει (Μεσσ. ΚΗ', 2.), «Φιλίππῳ σύμμαχοι — ἦσαν, καὶ τοῦτο σφᾶς λέγουσιν ἀποκωλῦσαι τοῦ συμβάντος τοῖς Ἕλλησιν ἀγῶνος ἐν Χαιρωνείᾳ μὴ μετασχεῖν.» W.

ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν· χρημάτων δὲ ὅσων
ἠδυνήθην ἐγὼ πλείστην συντέλειαν ἐποίησα. εἰ δὲ λέγεις ἢ τὰ 238
πρὸς Θηβαίους δίκαια, Αἰσχίνη, ἢ τὰ πρὸς Βυζαντίους ἢ τὰ
πρὸς Εὐβοέας, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ, πρῶτον μὲν
ἀγνοεῖς ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν Ἑλλήνων ἐκείνων ἀ-
γωνισαμένων τριήρων, τριακοσίων οὐσῶν τῶν πασῶν, τὰς
διακοσίας ἡ πόλις παρέσχετο, καὶ οὐκ ἐλαττοῦσθαι νομίζουσα,
οὐδὲ κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας, οὐδὲ ἀγανακτοῦσα
ἐπὶ τούτοις ἐωρᾶτο (αἰσχρὸν γάρ), ἀλλὰ τοῖς θεοῖς ἔχουσα χάριν,
εἰ κοινοῦ κινδύνου τοῖς Ἕλλησι περιστάντος αὐτὴ διπλάσια
τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρέσχετο. εἶτα κενὰς 239
χαρίζῃ χάριτας τουτοισὶ* συκοφαντῶν ἐμέ. τί γὰρ νῦν λέγεις
οἷα ἐχρῆν πράττειν, ἀλλ' οὐ τότ' ὢν ἐν τῇ πόλει καὶ παρὼν
ταῦτ' ἔγραφες, εἴπερ ἐνεδέχετο παρὰ τοὺς παρόντας καιρούς,
ἐν οἷς οὐχ ὅσα ἠβουλόμεθα, ἀλλ' ὅσα δοίη τὰ πράγματ' ἔδει

— πολιτικῶν δυνάμεων] πολιτικαὶ δυνάμεις εἴτε πολιτικὰ στρατεύματα (ὡς λέγει ὁ Δημ. ἐν τῷ κ. Φιλ. Γ', §. 48.) εἶναι τὰ ἐκ πολιτῶν τῶν εἰρημένων πόλεων συγκεχροτημένα συντάγματα ἀντιθέτως τοῖς ξένοις (μισθωτοῖς στρατιώταις). W. — χρημάτων — συντέλειαν] ὑπὲρ τὰ 500 τάλαντα κατὰ τὸ ἀνωτέρω μνημονευθὲν περὶ Δημοσθένους ψήφισμα. W. — συντέλειαν συνεισφορὰν τῶν συμμαχικῶν πόλεων.

238. εἰ δὲ λέγεις — ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ] ἐννοεῖ τὰ ἐν §. 143. τοῦ κ. Κτησ., ἔνθα κατηγόρησεν Αἰσχίνης τὸν Δημ. ὅτι «τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη Ἀθηναίοις ἀνέθηκεν, εἰς ἃ ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις. κτλ.» — δίκαια] δικαίας ἀξιώσεις, ἃς εἴχομεν πρὸς Θηβαίους κλπ. — πρὸς Βυζαντίους] ἴδ. τὴν ἐν §. 93. σημ. — τὰ πρὸς Εὐβοέας] ἴδ. τὰ ἐν §. 91. τοῦ κ. Κτησ. — ἐκείνων] συναπτέον τῷ τριήρων, περὶ δὲ τῆς θέσεως αὐτῆς ἴδ. τὴν ἐν §. 71. σημ. — καὶ πρότερον] κατὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. — τὰς διακοσίας — παρέσχετο] αἱ Ἑλλην. νῆες κατ' Αἰσχύλον (Πέρσ. στ. 339.) ἦσαν 310. τὸν ἀριθμόν, καθ' Ἡρόδοτον δὲ (Η', 48,) 378, ὧν αἱ 200 ἦσαν τῶν Ἀθηναίων (Ἡρόδ. Ζ', 144. — Η', 61.), ὁ δὲ ῥήτωρ ἐκ προθέσεως, φαίνεται, ἐλαττοῖ τὸν ἕλον ἀριθμόν, ἵνα καὶ πρότερον διπλάσια τῶν ἄλλων παρασχόντας δεικνὺς Ἀθηναίους δικαιώσῃ τὴν ἄνισον διανομὴν τῶν τοῦ τελευταίου πολέμου ἐνίλωμάτων. ἄλλως δ' εἴρηται παρὰ Θουκυδίδῃ Α', 74. — οὐδὲ κρίνουσα τοὺς — συμβουλεύσαντας] ὡς ἀπαιτεῖ τώρα ὁ Αἰσχίνης. — περιστάντος] χρονικὴ μετοχή, = ὅτε περιέστη.

239. χάριτας] αἰτιατ. σύστοιχος τῷ ῥήματι, ὡς παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 24. «προφάσεις προφασιοῦνται» κ. ἀ. συνεχῶς. — τουτοισὶ] τοῖς Ἀθηναίοις. — καὶ παρὼν] ἐν ταῖς ἐκκλησίαις, ὡς κεῖται ἐν §. 273. «εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις.» — εἴπερ ἐνεδέχετο] εἴπερ ταῦτα ἦσαν ἐνδεχόμενα, δυνατά. — τοὺς παρόντας καιρούς] τὰς τότε παρούσας περιστάσεις, περὶ

δέχεσθαι· ὁ γὰρ ἀντωνούμενος καὶ ταχὺ τοὺς παρ' ἡμῶν ἀπελαυνομένους προσδεξόμενος καὶ χρήματα προσθήσων ὑπῆρχεν ἕτοιμος.

240 Ἀλλ' εἰ νῦν ἐπὶ τοῖς πεπραγμένοις κατηγορίας ἔχω, τί ἂν οἴεσθε, εἰ τότ' ἐμοῦ περὶ τούτου ἀκριβολογουμένου ἀπῆλθον αἱ πόλεις καὶ προσέθεντο Φιλίππῳ, καὶ ἅμα Εὐβοίας καὶ Θηβῶν καὶ Βυζαντίου κύριος κατέστη, τί ποιεῖν ἂν ἢ τί λέγειν
241 τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί; οὐχ ὡς ἐξεδόθησαν; οὐχ ὡς ἀπηλάθησαν βουλόμενοι μεθ' ἡμῶν εἶναι; « εἶτα τοῦ μὲν Ἑλλησπόντου διὰ Βυζαντίων ἐγκρατὴς καθέστηκε καὶ τῆς σιτοπομπίας τῆς τῶν Ἑλλήνων κύριος, πόλεμος δ' ὅμορος καὶ βαρὺς εἰς τὴν Ἀττικὴν διὰ Θηβαίων κεκόμισται, ἅπλους δ' ἡ θάλαττα ὑπὸ τῶν ἐκ τῆς Εὐβοίας ὁρμωμένων λῃστῶν γέγονεν » οὐκ ἂν ταῦτ' ἔλεγον καὶ πολλά γε πρὸς τούτοις ἕτερα;
242 πονηρόν, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεὶ καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον· τοῦτο δὲ καὶ φύσει κίνα-

δὲ τῆς παρὰ ἴδ. τὴν ἐν §. 232. σημ.— τοὺς παρ' ἡμῶν ἀπελαυνομένους] ὑποθετικῶς ἐκληπτέον = τοὺς ἀπελαυνομένους τυχόν, ἤτοι ἐν περιπτώσει καθ' ἣν οἱ τῆς συμμαχίας ὅροι βαρεῖς ἂν ἦσαν καὶ καταθλιπτικοί. ἐννοεῖ δὲ τοὺς Θηβαίους καὶ τοὺς λοιποὺς συμμάχους. — καὶ χρήματα] ὁ καὶ ἐπιδοτικός.

240. νῦν] ὅτε δηλ. τοσούτους συμμάχους ἐποίησα ὑμῖν. — κατηγορίας ἔχω] = κατηγοροῦμαι. τί ἂν οἴεσθε — τί ποιεῖν ἄν] οὕτως ἐπαναλαμβάνεται ἡ ἐρωτημ. ἀντωνυμία καὶ ἐν τῷ κ. Φιλ. Γ', §. 33. «τί οἴεσθε, ἐπειδὰν καθ' ἕνα ἡμῶν ἑκάστου κύριος γένηται, τί ποιήσειν;» καὶ τὸν ἂν συναπτέον τοῖς ἀπαρεμφ., ἐν οἷς καὶ ἐπανείληπται, καὶ οὐχὶ τῷ «οἴεσθε.» — εἰ τότ' — κατέστη] «λύσις ἀπὸ τοῦ ἐναντίου· ὅταν οὖ ἐγκαλούμεθα τὸ ἐναντίον δείξωμεν ὡς ἀλυσιτελὲς ἢ ὡς οὐκ ἐνδεχόμενον, οὕτω καὶ ἀνωτ. (§. 195.), εἰ μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί χρὴν προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, ἀλλὰ κτλ.» Ἀψίνου Τέχν. Ῥητ. σ. 512. — περὶ τούτου] τοῦ τ' ἀναλώματα ἐξ ἴσου διανέμεσθαι.

241. οὐχ ὡς ἐξεδόθησαν] οὐκ ἔλεγον ἂν ὡς ἐξεδόθησαν αἱ πόλεις, ἢ οὗτοι οἱ Εὐβοεῖς κλπ.; οὕτω συμπληρωτέον καὶ τὸ «οὐχ ὡς ἀπηλάθησαν.» — ἀπηλάθησαν] ὑπ' ἐμοῦ ἀκριβολογουμένου. — βουλόμενοι] χρονικὴ μετοχή. — εἶτα τοῦ μὲν Ἑλλησπ. — γέγονεν] λόγοι οὓς ἔλεγον ἂν οἱ περὶ τὸν Αἰσχίνην. — διὰ Βυζαντίων — διὰ Θηβαίων — ἐκ τῆς Εὐβοίας] ἀντιστρέφει ὁ ῥήτωρ τὴν ἀνωτέρω (§. 240.) τάξιν, μὴ λαμβάνων ὑπ' ὄψιν τὴν χρονολογικὴν σειράν, ἥτις ἐν γένει δὲν εἶναι σταθερὰ οὔτ' ἐνταῦθα, οὔτ' ἐν §. 229 — 230. οὔτε ἐν 249 — 250. W. — τῆς σιτοπομπίας — κύριος] πρβλ. §. 87. καὶ τὴν αὐτόθι σημ.

242. πονηρόν — πονηρὸν] « ἐπανάληψις » ὅταν τὸ αὐτὸ ὄνομα δὶς ἐν τῷ αὐτῷ κώλῳ ᾖ, ἢ τῇ αὐτῇ περιόδῳ κατὰ τοῦ αὐτοῦ σημείου τεταγμένον.» Τιβέρ. π. Σχημ. σ. 551.

δος τἀνθρώπιόν ἐστιν, οὐδὲν ἐξ ἀρχῆς ὑγιὲς πεποιηκὸς οὐδ' ἐλεύθερον, αὐτοτραγικὸς πίθηκος, ἀρουραῖος Οἰνόμαος, παράσημος ῥήτωρ. τί γὰρ ἡ σὴ δεινότης εἰς ὄνησιν ἥκει τῇ πατρίδι; νῦν ἡμῖν λέγεις περὶ τῶν παρεληλυθότων; ὥσπερ ἂν εἴ τις ἰα- 243
τρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι,* δι' ὧν ἀποφεύξονται τὴν νόσον, ἐπειδὴ δὲ τελευτήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμενα αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι « εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος οὑτοσί, οὐκ ἂν ἀπέθανεν.» ἐμβρόντητε, εἶτα νῦν λέγεις;

Οὐ τοίνυν οὐδὲ τὴν ἧτταν, εἰ ταύτῃ γαυριᾷς, ἐφ' ᾗ στένειν 244
σε, ὦ κατάρατε, προσῆκεν, ἐν οὐδενὶ τῶν παρ' ἐμοὶ γεγονυῖαν εὑρήσετε τῇ πόλει. οὑτωσὶ δὲ λογίζεσθε. οὐδαμοῦ πώποθ' ὅποι πρεσβευτὴς ἐπέμφθην ὑφ' ὑμῶν ἐγώ, ἡττηθεὶς ἀπῆλθον τῶν παρὰ Φιλίππου πρέσβεων, οὐκ ἐκ Θετταλίας, οὐκ ἐξ Ἀμβρα-

—αὐτοτραγικὸς πίθηκος] « τραγικὸς πίθηκος· παροιμία ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων.» Γρηγόρ. Κύπρ. Γ', 85. ὁ δ' Ἀρποκρατίων· «ἔοικε λέγειν τοῦτο ὁ ῥήτωρ, ὡς καὶ περὶ τὴν ὑπόκρισιν ἀτυχοῦντος τοῦ Αἰσχίνου καὶ μιμουμένου μᾶλλον τραγῳδοὺς ἢ τραγῳδεῖν δυναμένου.» ἡ δὲ μετὰ τῆς αὐτὸς σύνθεσις σχέσιν ἔχουσα τῷ ἀνωτέρω φύσει, σημαίνει τὸν αὐτόχρημα τραγικόν, ὅστις καίτοι καταλιπὼν τὴν σκηνὴν διατηρεῖ ὅμως ἐν τῷ κοινῷ βίῳ τὸ τοῦ ὑποκριτοῦ πρόσωπον. W. — ἀρουραῖος Οἰνόμαος] « Δημοσθένης Αἰσχίνην οὕτως ἔφη, ἐπεὶ κατὰ τὴν χώραν περινοστῶν ὑπεκρίνετο Σοφοκλέους τὸν Οἰνόμαον.» Ἡσύχ. —παράσημος ῥήτωρ] «ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων ἃ καλοῦσι παράσημα· ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινί, ὃ τὴν φαυλότητα δηλοῖ, ἢ ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται.» Ἁρποκρ.— εἰς ὄνησιν ἥκει] = ὀνίνησιν, ὠφελεῖ. ἱστορικὸς ἐνεστώς.

243. ὥσπερ ἄν] οὕτως ἐλλειπτικῶς εἴδομεν τὴν φράσιν ταύτην καὶ ἀνωτέρω ἐν §. 191. καὶ ἐνταῦθα μὲν «νοεῖται —τὸ φαίη ἄν τις πρὸς αὐτὸν ἢ εἶποι» (Ἀλεξ.π.Σχημ. σ. 471.), ἐκεῖ δὲ τὸ εἴη ἢ τοιοῦτόν τι, κατὰ τὴν αὐτ. σημ. — ἀσθενοῦσι μὲν] = ἐν διαστήματι τῆς ἀσθενείας αὐτῶν. ὁ δ' Αἰσχ. μεταξὺ ἀσθενοῦντι λέγει (κ. Κτησ. §. 225. περὶ οὗ χωρίου ἴδ. τὰ ἐν τέλει τοῦ παραρτήματος). — τοῖς κάμνουσιν] τοῖς πάσχουσιν. — τὰ νομιζόμενα] γενικὴ ἔκφρασις σημαίνουσα τὰς ἐπικηδείους τελετάς. — τὸ καὶ τὸ] δεικτικαὶ ἀντωνυμίαι, οὕτω καὶ ἐν τῷ κ. Φιλ. Γ'. §. 68. « ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι.» — ἄνθρωπος] κατὰ κρᾶσιν = ὁ ἄνθρωπος.

244. οὐδὲ] ἐπιδοτικός. — τὴν ἧτταν] τὴν ἐν Χαιρωνείᾳ. — εἰ γαυριᾷς] εἰς τοῦτο ἐκτενέστερον ἐπανέρχεται ὁ ῥήτωρ ἐν §. 291. κ.ἑ. — ἐν οὐδενί] τὸ ὀργανικὸν αἴτιον δηλοῖ. — τῶν παρ' ἐμοὶ] τῶν κειμένων παρ' (= ἐπ') ἐμοί, τῶν ἐξαρτωμένων ἀπ' ἐμοῦ. — τῇ πόλει] προσδιορίζει τὸ γεγονυῖαν. — οὑτωσὶ] = ὧδέ πως, ὡς ἑξῆς. — οὐδαμοῦ] συναπτέον τῷ ἡττηθείς. — οὐκ ἐκ Θετταλίας — ἐκ Θηβῶν] ἀσύνδετον συμπληρωτικὸν

κίας, οὐκ ἐξ Ἰλλυριῶν, οὐ παρὰ τῶν Θρᾳκῶν βασιλέων, οὐκ ἐκ Βυζαντίου, οὐκ ἄλλοθεν οὐδαμόθεν, οὐ τὰ τελευταῖα ἐκ Θηβῶν, ἀλλ' ἐν οἷς κρατηθεῖεν οἱ πρέσβεις αὐτοῦ τῷ λόγῳ, ταῦ-
245 τα τοῖς ὅπλοις ἐπιὼν κατεστρέφετο. ταῦτ' οὖν ἀπαιτεῖς παρ' ἐμοῦ, καὶ οὐκ αἰσχύνει τὸν αὐτὸν εἴς τε μαλακίαν σκώπτων καὶ τῆς Φιλίππου δυνάμεως ἀξιῶν ἕνα ὄντα κρείττω γενέσθαι; καὶ ταῦτα τοῖς λόγοις; τίνος γὰρ ἄλλου κύριος ἦν ἐγώ; οὐ γὰρ τῆς γε ἑκάστου ψυχῆς, οὐδὲ τῆς τύχης τῶν παραταξα-
μένων, οὐδὲ τῆς στρατηγίας, ἧς ἔμ' ἀπαιτεῖς εὐθύνας οὕτω
246 σκαιὸς εἶ. ἀλλὰ μὴν ὧν γ' ἂν ὁ ῥήτωρ ὑπεύθυνος εἴη, πᾶσαν ἐξέτασιν λαμβάνετε· οὐ παραιτοῦμαι. τίνα οὖν ἐστι ταῦτα; ἰδεῖν τὰ πράγματα ἀρχόμενα καὶ προκισθέσθαι καὶ προειπεῖν τοῖς ἄλλοις. ταῦτα πέπρακταί μοι. καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας, ὄκνους, ἀγνοίας, φιλονεικίας, ἃ πολιτικὰ ταῖς πόλεσι πρόσεστιν ἁπάσαις καὶ ἀναγκαῖα ἁμαρτήματα, ταῦθ' ὡς εἰς ἐλάχιστα συστεῖλαι, καὶ τοὐναντίον εἰς ὁμόνοιαν καὶ φιλίαν καὶ τοῦ τὰ δέοντα ποιεῖν ὁρμὴν προτρέψαι. καὶ ταῦτά μοι

δὲ τὰ οὐκ διὰ τοῦ ἀπῆλθον ἡττηθείς· καὶ τῆς μὲν εἰς Θεσσαλίαν καὶ εἰς Ἰλλυριοὺς πρεσβείας αὐτοῦ ἡ ἐποχὴ δὴν εἶναι ἀκριβῶς ὡρισμένη, ἡ δὲ εἰς Ἀμβρακίαν (πρωτεύουσαν τῆς ἐν Ἠπείρῳ Θεσπρωτίας ἐπὶ Αὐγούστου Νικόπολιν, νῦν δὲ Ἄρταν), ἐφ' ἣν ἐλθεῖν παρεσκευάζετο Φίλιππος (κ. Φιλ. Γ', §§. 27. 34. 72.), πίπτει εἰς Ὀλ. ρθ', β'. 343., ἡ δὲ εἰς τοὺς Θρᾳκῶν βασιλεῖς (Τήρην καὶ Κερσοβλέπτην) πιθανὸν σύγχρονος ἦν τῇ εἰς Βυζάντιον.

245. ταῦτ'] ὁ πληθυντικὸς καὶ ἐνταῦθα δι' ἔμφασιν· = τοῦτο τὸ κωλύειν Φίλιππον καταστρέφεσθαι τοῖς ὅπλοις τὰ πρὸ μικροῦ εἰρημένα. — εἰς μαλακίαν σκώπτων] οἷον ἐν §§. 175. 155. 148. κ. ἀ. συνεχῶς. — ἕνα ὄντα] ἐναντιωματικὴ μετοχή. — καὶ ταῦτα] = καὶ μάλιστα. — τοῖς λόγοις] ἐννοεῖται τὸ «κρείττω γενέσθαι τῆς Φιλίππου δυνάμεως.» — τῆς στρατηγίας — εὐθύνας] οὕτω καὶ ἀνωτέρω ἐν §. 212. «τῶν κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι (δοκῶ αὐτῷ).»

246. λαμβάνετε] κατὰ τὸ χειρόγρ. Σ ἀντὶ τοῦ κοινῶς λάμβανε. ὁ ῥήτωρ στρέφει αἴφνης τὸν λόγον ἀπὸ τοῦ ἀντιδίκου πρὸς τοὺς ἀκροατὰς καὶ τούτοις θέλει δοῦναι λόγον τῶν πράξεων αὐτοῦ. — πολιτικὰ] = ἴδια, οἰκεῖα ταῖς πόλεσι. τὸ δὲ ταῖς πόλεσι — ἁπάσαις ἴσταται ὡς ἐκ περισσοῦ πρὸς μείζονα ἔμφασιν. — ταῖς πόλεσι] ταῖς δημοκρατουμέναις (συνηθέστερον δὲ κεῖται παρὰ τοῖς ῥήτορσι κατὰ ταύτην τὴν ἔννοιαν τὸ πολιτεία). πρβλ. Σοφοκλ. Ἀντιγ. στ. 937. «πόλις γὰρ οὐκ ἔσθ' ἥτις ἀνδρὸς ἔσθ' ἑνός.» W. — ἀναγκαῖα ἁμαρτήματα] πρβλ. τούτοις τὰ παρ' Ἰσοκράτει Νικοκλ. §. 17. κ. ἑ. — ὡς εἰς ἐλάχιστα] τὸ ὡς (ἐπιτατικὸν) συναπτέον τῷ ἐλάχιστα. οὕτω καὶ ἐν §. 288. «ὡς παρ' οἰκειοτάτῳ» ἀντὶ τοῦ «παρ' ὡς οἰκειοτάτῳ.» — μοι] τὸ ποιητικὸν

πάντα πεποίηται, καὶ οὐδεὶς μή πόθ' εὕρῃ κατ' ἐμὲ οὐδὲν
ἐλλειφθέν. εἰ τοίνυν τις ἔροιτο ὀντινοῦν, τίσι τὰ πλεῖστα Φί- 247
λιππος ὧν κατέπραξε διῳκήσατο, πάντες ἂν εἴποιεν τῷ στρα-
τοπέδῳ καὶ τῷ διδόναι καὶ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμά-
των. οὐκοῦν τῶν μὲν δυνάμεων οὔτε κύριος οὔθ' ἡγεμὼν ἦν
ἐγώ, ὥστε οὐδ' ὁ λόγος τῶν κατὰ ταῦτα πραχθέντων πρὸς ἐμέ.
καὶ μὴν τῷ διαφθαρῆναι χρήμασιν ἢ μὴ κεκράτηκα Φιλίππου·
ὥσπερ γὰρ ὁ ὠνούμενος νενίκηκε τὸν λαβόντα, ἐὰν πρίηται,
οὕτως ὁ μὴ λαβὼν καὶ διαφθαρεὶς νενίκηκε τὸν ὠνούμενον.
ὥστε ἀήττητος ἡ πόλις τὸ κατ' ἐμέ.

Ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοιαῦτα γράφειν 248
τοῦτον περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέροις ταῦτα καὶ παραπλήσια
τούτοις ἐστίν, ἃ δ' οἱ πάντες ὑμεῖς, ταῦτ' ἤδη λέξω. μετὰ γὰρ
τὴν μάχην εὐθὺς ὁ δῆμος, εἰδὼς καὶ ἑωρακὼς πάντα ὅσα ἔ-
πραττον ἐγώ, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς,
ἠνίκ' οὐδ' ἀγνωμονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς
ἐμέ, πρῶτον μὲν περὶ σωτηρίας τῆς πόλεως τὰς ἐμὰς γνώμας

αἴτιον δηλοῖ. — οὐδεὶς μή ποθ' εὕρῃ] = οὐ δέδια μήποθ' εὑρῃ τις. οὕτω καὶ ἐν τῷ κ. Φιλ. Β', §. 24. «ἐὰν ταύτην σώζητε, οὐδὲν μὴ δεινὸν πάθητε.»

247. τῷ διδόναι καὶ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμάτων] πρβλ. τὰ ἐν §. 46. καὶ 295. — τῶν δυνάμεων] τῶν στρατευμάτων. πρβλ. ἀνωτ. §. 237. τὴν περὶ τούτου σημ. — κατὰ ταῦτα] εἶα τὰ ἐν §. 233. ἤτοι τὰ προσόντα κυρίῳ τινὶ καὶ ἡγεμόνι τῶν δυνάμεων. W. — τῷ διαφθαρῆναι ἢ μὴ] καθόσον προὔκειτο νὰ διαφθαρῶ ἢ μή. — ὁ ὠνούμενος] ὁ ἐνεστὼς συνεχῶς εὑρηται εἰς δήλωσιν πράξεως ἀρχομένης γίγνεσθαι· οἷον ἐν §. 99. «σφετεριζομένων,» ἐν 143. «πόλεμον εἰσάγεις, ἐν §. 231. «περιβαλλόμενος,» κ. ἀ. ἀριδηλότερον δὲ ἐνταῦθα ἕνεκα τοῦ ἐπιφερομένου «ἐὰν πρίηται» εὐχρήστου κατ' ἀόριστον μόνον, ἤτοι εἰς δήλωσιν πράξεως συντετελεσμένης πλέον.

248. παρεσχόμην] ἔδωκα ὡς ἀφορμήν. — τοῦτον] τὸν Κτησιφ. — οἱ πάντες ὑμεῖς] ἐννοεῖται κατ' ἀναλογίαν τὸ παρέσχεσθε. τὰ χειρόγρ. ἐκτὸς τοῦ Σ ἀναπληροῦσι τὴν ἔννοιαν πάνυ ἀτεχνῶς διὰ τοῦ ἴστε. — μετὰ — τὴν μάχην] τὴν ἐν Χαιρωνείᾳ, γενομένην ζ'. Μεταγειτνιῶνος Ολ. ρι', γ'. (Αὐγούστου 4. τοῦ 338.). W. — ἐμβεβηκώς] χρονικὴ μετοχή. ὑποκείμ. δ' ἐννοεῖται ὁ δῆμος καὶ οὐχὶ τὸ προσεχὲς ἐγώ. — ἀγνωμονῆσαι] = κακογνωμονῆσαι. — τοὺς πολλούς] = τὸν λαόν. ἴδ. τὴν ἐν §. 46. σημ. — πρῶτον μὲν κτλ.] ζωηρὰ περιγραφὴ τῆς τότ' ἐν Ἀθήναις ταραχῆς εὑρηται ἐν τῷ Λυκούργου κ. Λεωκράτους (§. 39—44.). — τὰς ἐμὰς γνώμας ἐχειροτόνει] καὶ ἄλλοι ἄλλα εἶχον προτείνει ἐν τοῖς τότε δεινοῖς, ὡς ὁ Ὑπερείδης γράψας «τοὺς μὲν δούλους ἐλευθέρους, τοὺς δὲ ξένους Ἀθηναίους, τοὺς δ' ἀτίμους ἐντίμους» γενέσθαι, ἀλλὰ δὲν προὔ-

ἐχειροτόνει, καὶ πάνθ' ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο, ἡ διάταξις τῶν φυλάκων, αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρήματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίγνετο· ἔπειθ' αἱρούμενος
249 σιτώνην ἐκ πάντων ἐμὲ ἐχειροτόνησεν ὁ δῆμος. καὶ μετὰ ταῦτα συστάντων οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφάς, εὐθύνας, εἰσαγγελίας, πάντα ταῦτ' ἐπαγόντων μοι,

κειτο βεβαίως ἐνταῦθα τῷ ῥήτορι ἐξιστορῆσαι τὰ τότε συμβάντα· τίνας δὲ ἰδίας ἑαυτοῦ γνώμας ἐννοεῖ, τοῦτο ἀναπτύσσεται ἐν τοῖς ἑξῆς. — καὶ πάνθ' ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο] οὐδεμία ὑπερβολὴ ὑπάρχει ἐν τούτοις, ὡς ὁ West. ὑπέθεσεν. μετὰ τὴν ἐν Χαιρωνείᾳ ἧτταν, ὅτε πᾶσα ἡ πόλις ὀρθὴ ἦν, καὶ γέροντας ἦν ἰδεῖν καθ' ὅλην τὴν πόλιν ἑτοίμους στρατεύεσθαι, ἔγραψε Δημοσθένης τοὺς μὲν πρεσβυτέρους ταῖς ἡλικίαις ἐπιμελεῖσθαι τῆς τῶν τειχῶν κατασκευῆς, τοὺς δ' ὅπλα φέρειν δυναμένους ἐν τοῖς ὅπλοις μένειν, κατασκευάσαι δὲ ἐν Πειραιεῖ τάφρους δύο καὶ εἰσφέρειν ἐπὶ τὴν τῶν τειχῶν κατασκευήν (πρβλ. Δειν. κ. Δημ. §. 79 —80.). ταῦτα ἐννοεῖ ὁ ῥήτωρ διὰ τοῦ «πάνθ' ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο,» ὡς ἐπεξήγησιν δ' αὐτοῦ ἐπιφέρει τὰ «ἡ διάταξις—αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρήματα» οὐδὲν κοινὸν ἔχοντα ταῖς ἑτέρων γνώμαις. ΓΜ. — αἱ τάφροι τὰ εἰς τὰ τείχη χρήματα] διὰ τούτων ἐννοητέον οὐχὶ τὴν γενικὴν καὶ ἐκ θεμελίων σχεδὸν κατασκευὴν τῶν τειχῶν, ἐν ᾗ εἰς τῶν τειχοποιῶν ἦν καὶ Δημοσθένης, γενομένην δέκα μῆνας ὕστερον μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ὅτε πρὸ καιροῦ εἶχον Ἀθηναῖοι εἰρήνην πρὸς Φίλιππον, ἀλλὰ τὴν θορυβώδη ἐκείνην βιαίαν ἐπισκευήν, ἣν Λυκοῦργος περιγράφει· «κατ' ἐκείνους τοὺς χρόνους οὐκ ἔστιν ἥτις ἡλικία οὐ παρέσχετο ἑαυτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα τὰ δένδρα συνεβάλλετο, οἱ δὲ τετελευτηκότες τὰς θήκας, οἱ δὲ νεὼ τὰ ὅπλα. ἐπεμελοῦντο γὰρ οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ τῆς χαρακώσεως, οὐδεὶς δ' ἦν ἀργὸς τῶν ἐν τῇ πόλει» (κ. Λεωκρ. §. 44.). καὶ εἰς μὲν τὰς τάφρους ἠδύναντο ἴσως ἐπαρκεῖν τὰ τῇ πόλει ὑπάρχοντα χρήματα, εἰς ἐπισκευὴν ὅμως τῶν τειχῶν φαίνεται ὅτι εἰσέφερον οἱ πολῖται κατὰ πρόταξιν Δημοσθένους. πρβλ. ἀνωτ. §. 171. καὶ 312. W. — αἱρούμενος σιτώνην] οἱ σιτῶναι (αἱρετή τις καὶ ἔκτακτος, φαίνεται, ἀρχή) ἐχειροτονοῦντο ἐν καιρῷ ἀνάγκης μόνον ἐπὶ τῷ ὠνεῖσθαι σῖτον τοῖς πόλεως χρήμασιν εἰς προφύλαξιν αὐτῆς ἀπὸ ὑπερπιμήσεως τῶν σιτηρῶν ἢ ἀπὸ παντελοῦς σιτοδείας (Δημ. πρ. Φορμ. §. 39. «ὅτε δ' ὁ σῖτος ἐπετιμήθη πρότερον καὶ ἐγένετο ἑκκαίδεκα δραχμῶν, εἰσαγαγόντες πλείους ἢ μυρίους μεδίμνους πυρῶν διεμετρήσαμεν ὑμῖν τῆς καθεστηκυίας τιμῆς, πέντε δραχμῶν τὸν μέδιμνον.» πρβλ. πρ. Λεπτ. §. 33.). ἡ δ' ἐκ πάντων Ἀθηναίων ἐκλογὴ αὐτῶν ἀποδεικνύει ὅτι ὁ δῆμος ἐνεπιστεύετο τὰ τοιαῦτα μόνον εἰς ἄνδρας ἀπολαύοντας τῆς ὑπολήψεως αὐτοῦ, οἱασδήποτε φυλῆς καὶ ἐπιτηδεύματος καὶ ἂν ἦσαν. ὁ Δημ. καὶ ἐν ταύτῃ τῇ περιπτώσει ἐπέδωκε τῇ πόλει τάλαντον ἐξ ἰδίων. (βίοι Ι'. Ρητ. σ. 850.). W.

249. μετὰ ταῦτα] ἀφ' οὗ ὁ Φίλιππος συνέθετο φιλίαν τε καὶ συμμαχίαν πρὸς Ἀθηναίους, καὶ παρεχώρησεν αὐτοῖς τὸν Ὠρωπόν, τιμαὶ δὲ ἐψηφίσθησαν αὐτῷ Δημάδου γράψαντος. — οἷς ἦν ἐπιμελὲς] ἤτοι τοῖς μακεδονίζουσιν, ἐπαρθεῖσι τότε πολὺ καὶ πειρωμένοις βλάψαι Δημοσθένην. — γραφάς] ὅτι παρανόμων γραφὰς νοητέον δῆλον ἐκ τῶν ἐν §. 250. «ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφευγον, ἔννομα καὶ γράφειν καὶ λέγειν ἀπεδεικνύμην.» W. — εὐθύνας] κατηγορίας περὶ σφετερισμοῦ δημοσίων χρημάτων. — εἰσαγγελίας] ἴδ. τὴν ἐν §. 13. σημ. ἐν δὲ τῷ ἐπιφερομένῳ πάντα ταῦτ'

οὐ δι' ἑαυτῶν τό γε πρῶτον, ἀλλὰ δι' ὧν μάλισθ' ὑπελάμβανον ἀγνοήσεσθαι (ἴστε γὰρ δήπου καὶ μέμνησθε, ὅτι τοὺς πρώτους χρόνους κατὰ τὴν ἡμέραν ἑκάστην ἐκρινόμην ἐγώ, καὶ οὔτ' ἀπόνοια Σωσικλέους οὔτε συκοφαντία Φιλοκράτους οὔτε Διώνδου καὶ Μελάντου μανία οὔτ' ἄλλ' οὐδὲν ἀπείρατον ἦν τούτοις κατ' ἐμοῦ), ἐν τοίνυν τούτοις πᾶσι μάλιστα μὲν διὰ τοὺς θεούς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους Ἀθηναίους ἐσωζόμην, δικαίως· τοῦτο γὰρ καὶ ἀληθές ἐστι καὶ ὑπὲρ τῶν ὁμωμοκότων καὶ γνόντων τὰ εὔορκα δικαστῶν. οὐκοῦν ἐν μὲν οἷς εἰσηγ- 250
γελλόμην, ὅτ' ἀπεψηφίζεσθέ μου καὶ τὸ μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ' ἐψηφίζεσθε τὰ ἄριστά με πράττειν· ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφευγον, ἔννομα καὶ γράφειν καὶ λέγειν ἀπεδεικνύμην· ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε, δικαίως καὶ ἀδωροδοκήτως πάντα πεπρᾶχθαί μοι προσωμολογεῖτε. τούτων οὖν οὕτως ἐχόντων τί προσῆκον ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι τὸν Κτησιφῶντα ὄνομα;

συμπεριλαμβάνει τὰ καθ' ἕκαστα ταῦτα μετ' ἐμφάσεως. W. — οὐ δι' ἑαυτῶν — ἀγνοήσεσθαι] οἱ ἀρχηγοὶ τῶν μακεδονιζόντων μὴ τολμῶντες αὐτοὶ κατηγορεῖν τὸν Δημ., διότι τὰ πνεύματα ἦσαν ἔτι ἐξημμένα, ἡ δὲ ἀνάμνησις τῶν τελευταίων συμβάντων λίαν νεαρά, καὶ ζωηρὰς συμπαθείας εἶχεν ὁ δῆμος τῷ Δημ., ὑπεκίνησαν κατ' αὐτοῦ ἀποπειρώμενοι τῆς πολιτικῆς ἰσχύος αὐτῶν ἀνθρώπους ἀσημάντους, οἷον Σωσικλῆν τινα, περὶ οὗ οὐδὲν ἄλλο γνωρίζομεν, τὸν ἐν §. 222. μνημονευθέντα Διώνδαν, Φιλοκράτην τὸν Ἐλευσίνιον ([Δημ.] κ. Ἀριστογ. Α. §. 44.), καὶ ἄλλους. μόνος ὁ Ἀριστογείτων «ἑπτὰ γραφὰς κέκρικεν αὐτόν, καὶ εὐθύνας διδόντος δὶς κατηγόρησεν» ([Δημ.] κ. Ἀριστογ. Δ, §. 37.). W. τοὺς πρώτους χρόνους] τοὺς ἀμέσως μετὰ τὴν ἐν Χαιρωνείᾳ ἥτταν. — ἀπείρατον — τούτοις] ἡ δοτικὴ τὸ ποιητικὸν αἴτιον δηλοῖ. ἐννοεῖ δὲ ὁ ῥήτωρ τοὺς περὶ τὸν Αἰσχίνην. — τοίνυν] ἐπαναληπτικὸς = τῷ φημί. πρβλ. τὴν ἐν §. 3. π. τ. ἕτερον δ' σημ. — τούτοις πᾶσι] τοῖς εἰρημένοις. — δι' ὑμᾶς] τοὺς δικαστάς, οὐχὶ δηλ. αὐτοὺς τούτους τοὺς παρόντας, ἀλλὰ τοὺς τότε δικαστάς, ὡς ἐνὸς καὶ τοῦ αὐτοῦ ἠθικοῦ προσώπου ἐκλαμβανομένου τοῦ δικαστηρίου. — τοῦτο γὰρ] τὸ εἰπεῖν ὅτι ἐσωζόμην μάλιστα μὲν διὰ τοὺς θεούς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους Ἀθηναίους. — καὶ ἀληθές ἐστι καὶ ὑπὲρ τῶν — δικαστῶν] ἀληθὲς μὲν εἶναι ὡς πρὸς τοὺς θεούς, ὑπὲρ δὲ τῶν ὁμωμοκότων καὶ εὐσυνειδήτως ἀποφασισάντων δικαστῶν εἶναι, καθόσον τιμᾷ καὶ αὐτοὺς καὶ τοὺς ἄλλους Ἀθηναίους ὡς διαφυλάξαντας τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν.

250. ὅτ' ἀπεψηφίζεσθέ μου] ἀποψηφίζομαι = ἀποδοκιμάζω διὰ τῆς ψήφου μου τινά (ὡς ἐν §. 132. «τὸν ἀποψηφισθέντα Ἀντιφῶντα»), ἢ πρᾶγμά τι, ὡς ἐνταῦθα τὴν κατὰ τοῦ Δημ. εἰσαγγελίαν. — ὑπεσημαίνεσθε] ἰδ. τὴν ἐν §. 117. σημ. — τί — ὄνομα] τί ἄλλο ὄνομα προσῆκον ἢ δίκαιον ἦν θέσθαι τὸν Κτησ. τοῖς ὑπ' ἐμοῦ πε-

οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον, οὐχ ὃ τοὺς ὀμωμοκότας δικαστάς, οὐχ ὃ τὴν ἀλήθειαν παρὰ πᾶσι βεβαιοῦσαν;

251 Ναί, φησίν, ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν, τὸ μηδεμίαν γραφὴν φεύγειν. καὶ νὴ Δί' εὔδαιμόν γε. ἀλλὰ τί μᾶλλον* ὁ πολλάκις μὲν φυγών, μηδεπώποτε δ' ἐξελεγχθεὶς ἀδικῶν ἐν ἐγκλήματι γίγνοιτ' ἂν διὰ τοῦτο δικαίως; καίτοι πρός γε τοῦτον, ἄνδρες Ἀθηναῖοι, καὶ τὸ τοῦ Κεφάλου καλὸν εἰπεῖν ἔστι μοι· οὐδεμίαν γὰρ πώποτ' ἐγράψατό με οὐδ' ἐδίωξε γραφήν, ὥστε ὑπὸ σοῦ γε ὁμολογῶ μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πολίτης.

252 Πανταχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ

πραγμένοις, παρὰ τὸ ἀρετή, ἀνδραγαθία καὶ «ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ,» ἅπερ κατηγόρησεν Αἰσχίνης (κ. Κτησ. §. 49.). — οὐχ ὃ] οὐ προσῆκον ἦν θέσθαι τοῦτο τὸ ὄνομα, ὃ ἑώρα κτλ. οὕτω συμπληρωτέον καὶ τὰς ἑτέρας δύο προτάσεις. — τὸν δῆμον — τοὺς δικαστάς — τὴν ἀλήθειαν] κεῖνται κατὰ τὴν αὐτὴν σειράν, καθ' ἣν καὶ αἱ πρὸς ἃς ταῦτα ἀναφέρονται δικαστικῶς γενόμεναι κατ' αὐτοῦ κατηγορίαι «ἐν μὲν οἷς εἰσηγγελλόμην — ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφευγον — ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε.» W.

251. φησίν] ἐν τῷ κ. Κτησ. §. 194. «ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος ἐφιλοτιμεῖτο λέγων ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων, καλῶς οἶμαι σεμνυνόμενος.» τἀνάπαλιν ἐσεμνύνετο ὁ Ἀριστοφῶν. ἴδ. §. 162. σημ. περὶ Κεφάλου πρβλ. καὶ ἀνωτ. §. 219. καὶ Δειν. κ. Δημ. §§. 38—39. καὶ 76. — καλόν] ἐνταῦθα εἶναι κατηγορούμενον (τὸ πλεονέκτημα τοῦ Κεφ. καλόν), κατωτέρω δὲ (ἔστι μοι εἰπεῖν καὶ τὸ τοῦ Κεφ. καλὸν) εἶναι ἀντικείμενον τοῦ εἰπεῖν. — τὸ μηδεμίαν — φεύγειν] = τὸ μηδέποτε κατηγορεῖσθαί τινα, γενικώτερον ἐκλαμβανομένου τοῦ πλεονεκτήματος τούτου καὶ οὐχὶ ἐπὶ τοῦ Κεφάλου μόνον. — ἀδικῶν] κατηγορούμενον τοῦ ἐξελεγχθείς. ἡ δὲ φράσις ἐν ἐγκλήματι γίγνομαι = τῇ ἐγκαλοῦμαι. — διὰ τοῦτο] τὸ πολλάκις μὲν φυγεῖν, μηδεπώποτε δὲ ἐξελεγχθῆναι ἀδικῶν. — πρός γε τοῦτον] τὸν Αἰσχίνην. — οὐδεμίαν — ἐγράψατό με — γραφήν] οὕτω καὶ ἐν §. 15. «οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπήντηκώς ἐμοὶ εἶπε. καὶ κατωτ. ἐν §. 279. λέγει· «μηδενὸς δὲ ἀδικήματος πώποτε δημοσίου, προσθήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ μήθ' ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὐτοῦ κτλ». καὶ ὅμως ἐν τῷ κ. Κτησ. §. 221. εὑρηται· «ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ' ἐμοῦ μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις ἢ σαυτὸν παραλογίζῃ.» πῶς δὲ συμβιβάζονται ταῦτα ἴδ. ἐν τέλει τοῦ παραρτήματος. — ἐγράψατο — ἐδίωξε] κατὰ ῥητορικὸν πλεονασμόν. ἴδ. τὴν ἐν §. 21. σημ. — ὑπὸ σοῦ γε] πάλιν ἔξαφνος ἀποστροφὴ πρὸς τὸν ἀντίδικον. — μηδὲν] = μηδαμῶς.

252. πανταχόθεν] τὰ χειρόγρ. ἐκτὸς τοῦ Σ ἔχουσι πολλαχόθεν, καὶ ὅμως εὑρηται καὶ ἐν τῷ κατὰ Τιμοκράτους §. 110. «πανταχόθεν μὲν τοίνυν δῆλός ἐσθ' ὅτι ταῦτ' ἔγραψεν ἐπιβουλεύσας, — μάλιστα δ' ἐκ τοῦ πάντα τὸν νόμον μέχρι τῆς ὑστάτης

καὶ τὴν βασκανίαν, οὐχ ἥκιστα δ' ἀφ' ὧν περὶ τῆς τύχης διελέχθη. ἐγὼ δ' ὅλως μέν, ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει, ἀνόητον ἡγοῦμαι· ἦν γὰρ ὁ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος οὐκ οἶδεν εἰ μενεῖ τοιαύτη μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; ἐπειδὴ δ' οὗτος πρὸς πολλοῖς ἄλλοις καὶ περὶ τούτων ὑπερηφάνως χρῆται τῷ λόγῳ, σκέψασθ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσατε, ὅσῳ καὶ ἀληθέστερον καὶ ἀνθρωπινώτερον ἐγὼ περὶ τῆς τύχης τούτου διαλεχθήσομαι. ἐγὼ τὴν 253
τῆς πόλεως τύχην ἀγαθὴν ἡγοῦμαι, καὶ ταῦθ' ὁρῶ καὶ τὸν Δία τὸν Δωδωναῖον ὑμῖν μαντευόμενον, τὴν μέντοι τῶν πάντων ἀνθρώπων, ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν. τίς γὰρ Ἑλλήνων ἢ τίς βαρβάρων οὐ πολλῶν κακῶν ἐν τῷ παρόντι πεπείραται; τὸ μὲν τοίνυν προελέσθαι τὰ κάλλιστα καὶ τὸ 254

συλλαβῆς τοιοῦτον εἶναι.» — περὶ τῆς τύχης διελέχθη] οἷον ἐν §. 188. τοῦ κ. Κτησ. «καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν αὐτῷ φυλάξασθαι. οὔτε πόλις γὰρ οὔτ' ἰδιώτης ἀνὴρ οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε Δημοσθένει συμβούλῳ χρησάμενος.» τοιαῦτά τινα εἶπεν Αἰσχίνης καὶ ἐν §. 114. — προφέρει] = ὀνειδίζει, ὅπερ καὶ κεῖται τρεῖς στίχους κατωτέρω. — βέλτιστα πράττειν] = λίαν εὐτυχεῖν, ὡς «εὖ πράττω, κακῶς πράττω.» — ὀνειδίζειν] ἀπὸ κοινοῦ ἐννοεῖται τὸ ταύτην. — περὶ τούτων] τῶν τῆς τύχης. — ἀνθρωπινώτερον] ἁρμοδιώτερον τοῖς ἀνθρωπίνοις. B. κ. P.

253. ἐγὼ — ἀγαθὴν ἡγοῦμαι] τοῦτ' αὐτὸ λέγει καὶ ἐν τῷ κ. Φιλ. Δ. §. 12. «εἴτι πάθοι καὶ τὰ τῆς τύχης ἡμῖν, ἥπερ ἀεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα.» πλατύτερον δ' ἐκτίθενται τὰ περὶ ἀγαθῆς τύχης τῶν Ἀθηνῶν ἐν Δ'. τῶν Δημοσθένους ἐπιγραφομένων ἐπιστολῶν. W. πρβλ. καὶ τὰ Εὐπόλιδος παρ' Ἀθηναίῳ Θ', σ. 425. καὶ τὰ Σόλωνος παρὰ Δημοσθένει π. παραπρ. §. 253. ὑπῆρχε δὲ ἐν Ἀθήναις καὶ ναὸς ἀγαθῆς τύχης. ΓΜ. — ταῦθ'] ὁ πληθυντικὸς πρὸς ἔμφασιν (ὡς καὶ ἐν §§. 72. 200. κ. ἀ. συνεχῶς), = τοῦτο τὸ ἀγαθὴν εἶναι τὴν τῆς πόλεως τύχην. — καὶ τὸν Δία τὸν Δωδωναῖον] θεὸν προσάτην τοῦ ἐν Δωδώνῃ τῆς ἐν Ἠπείρῳ Θεσπρωτίας ἀρχαιοτάτου μαντείου (Ἡρόδ. Β', §. 52.): δὲν ἀναφέρει δὲ πρὸς τοῦτῳ καὶ Ἀπόλλωνα τὸν Πύθιον (εἰ καὶ ἐν τοῖς ἧττον καλοῖς χειρογρ. ὡς καὶ ἐν τῇ εἰρημένῃ [Δημ.] ἐπιστολῇ εὕρηται καὶ οὗτος), εἴτε διότι πλείονος ἀξίας ἐθεωροῦντο οἱ τοῦ ἐν Δωδώνῃ μαντείου χρησμοί, εἴτε διότι ἐν αὐτοῖς τούτοις τοῖς τελευταῖον ἐκτιθεμένοις κατηγορήσας ὁ Δημ. τὴν Πυθίαν ὡς φιλιππίζουσαν (Αἰσχ. κ. Κτησ. §. 130.) ἄτοπον θεωρεῖ τὴν ἐπίκλησιν τούτου τοῦ θεοῦ. W. — τίς γὰρ — οὐ πολλῶν κακῶν — πεπείραται] ὅμοιά τινα ἴδ. καὶ ἐν §. 270. τραγικώτερον δ' ἐκτίθησι τὰ κακὰ ταῦτα Αἰσχίνης ἐν §. 132—134. τοῦ κ. Κτησ.

254. τὸ μὲν τοίνυν — τίθημι] ἡ σύνταξις· τὸ μὲν — προελέσθαι (τὴν πόλιν) τὰ κάλλιστα καὶ τὸ πράττειν (αὐτὴν) ἄμεινον τῶν Ἑλλήνων τῶν οἰηθέντων διάξειν ἐν εὐδαιμονίᾳ, εἰ πρέσοιντο ἡμᾶς, τίθημι εἶναι

τῶν οἰηθέντων Ἑλλήνων, εἰ πρόοιντο ἡμᾶς, ἐν εὐδαιμονίᾳ διάξειν, αὐτῶν ἄμεινον πράττειν τῆς ἀγαθῆς τύχης τῆς πόλεως εἶναι τίθημι· τὸ δὲ προσκροῦσαι καὶ μὴ πάνθ' ὡς* ἠβουλόμεθ' ἡμῖν συμβῆναι τῆς τῶν ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον
255 ἐφ' ἡμᾶς μέρος μετειληφέναι νομίζω τὴν πόλιν. τὴν δ' ἰδίαν τύχην τὴν ἐμὴν καὶ τὴν ἑνὸς ἡμῶν ἑκάστου ἐν τοῖς ἰδίοις ἐξετάζειν δίκαιον εἶναι νομίζω. ἐγὼ μὲν οὖν οὕτωσὶ περὶ τῆς τύχης ἀξιῶ, ὀρθῶς καὶ δικαίως, ὡς ἐμαυτῷ δοκῶ, νομίζω δὲ καὶ ὑμῖν· ὁ δὲ τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς πόλεως κυριωτέραν εἶναί φησι, τὴν μικρὰν καὶ φαύλην τῆς ἀγαθῆς καὶ μεγάλης. καὶ πῶς ἔνι τοῦτο γενέσθαι;
256 Καὶ μὴν εἴ γε τὴν ἐμὴν τύχην πάντως ἐξετάζειν, Αἰσχίνη, προαιρεῖ, πρὸς τὴν σεαυτοῦ σκόπει, κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ. σκόπει τοίνυν εὐθὺς ἐξ ἀρχῆς. καί μου πρὸς Διὸς μηδεμίαν ψυχρότητα καταγνῷ

(ἔργον) τῆς ἀγαθῆς τύχης τῆς πόλεως. — τῶν οἰηθέντων — διάξειν] ἐννοεῖ τὰς ἐν Πελοποννήσῳ πολιτείας τὰς μὴ μετασχούσας τῆς ἐν Χαιρωνείᾳ μάχης. ἴδ. τὰς περὶ τούτου σημ. ἐν §§. 64. καὶ 201. — αὐτῶν] κατ' ἐπανάληψιν τοῦ «Ἑλλήνων» ἐπιπροσθουμένου ὑπὸ ἑτέρων λέξεων. — ἄμεινον πράττειν] καὶ ἐνταῦθα κεῖται οὐδετέρως τὸ πράττειν = εὐδαιμονεῖν μᾶλλον (ἢ αὐτοί). αἱ Ἀθῆναι καὶ τότε ἔτι καίτοι ὑποκύψασαι τοῖς Μακεδόσι καὶ στερηθεῖσαι τῶν ἀποικιῶν αὐτῶν διέσωζον, εἴπερ τις καὶ ἄλλη Ἑλλην. πολιτεία, τὴν αὐτονομίαν αὐτῶν κατὰ τὴν ἐσωτερικὴν διοίκησιν. — τὸ δὲ προσκροῦσαι — νομίζω τὴν πόλιν] ἡ ἔννοια· καθόσον δὲ προσέκρουσεν (ἀπήντησε προσκόμματα) ἡ πόλις καὶ δὲν συνέβησαν ἡμῖν πάντα καθὼς ἠθέλομεν, κατὰ τοῦτο νομίζω ὅτι ἡ πόλις ἡμῶν μετέσχε τῆς κακῆς τύχης τῶν ἄλλων ἀνθρώπων ὅσον μέρος αὐτῆς ἔπιπτεν (ἀνῆκεν) ἐφ' ἡμᾶς.

255. ἐν τοῖς ἰδίοις] ἐν τοῖς ἀνήκουσιν ἐνὶ ἑκάστῳ ἰδίως, ἀντιθέτως τῷ ἐν τοῖς κοινοῖς. — καὶ ὑμῖν] ἐννοεῖται τὸ οὕτω δοκεῖν. — τὴν ἐμὴν τῆς κοινῆς — κυριωτέραν — φησί] «Ἀθηναίους εἰς τὰς ἀτυχίας ἐμβεβληκότα, — κοινὴν τῶν Ἑλλήνων συμφορὰν» καὶ «ἄρδην ἀνατετροφότα τὴν Ἑλλάδα καὶ τὴν πόλιν» ἀπεκάλεσεν Αἰσχίνης (κ. Κτησ. §§. 79. 253. καὶ 158.) τὸν Δημ., ἀλλαχοῦ δὲ (§. 132. κ. ἑ.) ἐπαριθμήσας τὰ δεινὰ τῶν Ἑλλήνων ἐπιφέρει «καὶ ταῦθ' ἡμῖν συμβέβηκεν ἐξ ὅτου Δημοσθένης πρὸς τὴν πολιτείαν προσελήλυθεν. — καὶ γὰρ ναυτικὴ καὶ πεζὴ στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας.» καὶ «συμβέβηκεν αὐτῷ ὅτου ἂν προσάψηται ἀνδρὸς ἢ ἰδιώτου ἢ δυνάστου ἢ πόλεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περιβάλλειν» (§. 136. καὶ 114. πρβλ. καὶ τὰ ἐν §. 138.). ταῦτα πιθανῶς ὑπαινίττεται ἐνταῦθα ὁ Δημ. — καὶ φαύλην] εὐτελῆ, ἀσήμαντον.

256. καί μου πρὸς Διὸς κτλ.] «προδιόρθωσις.» ἴδ. 59. σημ. — καταγνῷ] ἡ σύνταξις· μηδεὶς καταγνῷ ψυχρότητα μοῦ (κατ' ἐμοῦ), = καὶ μηδεὶς με κατακρίνῃ ὡς ψυχρόν

μηδείς. ἐγὼ γὰρ οὔτ' εἴ τις πενίαν προπηλακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ' εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται· ἀλλ' ὑπὸ τῆς τουτουὶ τοῦ χαλεποῦ βλασφημίας καὶ συκοφαντίας εἰς τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι, οἷς ἐκ τῶν ἐνόντων ὡς ἂν δύνωμαι μετριώτατα χρήσομαι.

Ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν, Αἰσχίνη, παιδὶ τὰ προσήκοντα 257
διδασκαλεῖα καὶ ἔχειν ὅσα χρὴ τὸν μηδὲν αἰσχρὸν ποιήσοντα δι' ἔνδειαν, ἐξελθόντι δὲ ἐκ παίδων ἀκόλουθα τούτοις πράττειν, χορηγεῖν, τριηραρχεῖν, εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας μήτε ἰδίας μήτε δημοσίας ἀπολείπεσθαι, ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς φίλοις χρήσιμον εἶναι, ἐπειδὴ δὲ πρὸς τὰ κοινὰ προσελθεῖν ἔδοξέ μοι, τοιαῦτα πολιτεύματα* ἐλέσθαι, ὥστε καὶ ὑπὸ τῆς πατρίδος καὶ ὑπ' ἄλλων Ἑλλήνων πολλῶν πολλάκις ἐστεφανῶσθαι,

(ψυχρολόγον B.). — προπηλακίζει] δίπτωτον τὸ ῥῆμα· ἐννοητέον λοιπὸν τὸ τινί. — νοῦν ἔχειν ἡγοῦμαι] ταῦτα οὕτως ἐν μέσῳ κείμενα συμπληροῦσιν ἐξ ἴσου ἑκατέραν τῶν ἀρνητικῶν προτάσεων. — ἐκ τῶν ἐνόντων] ἐκ τῶν ἐνυπαρχόντων. τὸ δὲ ὡς ἂν δύνωμαι προσδιορίζει τὸ μετριώτατα. φράσις πληρεστέρα τῆς ἐν §. 4. ὡς μετριώτατα.

257. παιδὶ τὰ προσήκοντα διδασκαλεῖα] οὕτω κατὰ τὸ Σ ἐκ πρ. χειρ., ἐν δὲ τοῖς ἄλλοις χειρογρ. «παιδὶ μὲν ὄντι φοιτᾶν εἰς τὰ προσήκοντα διδασκ.» ἴσως ἐκ παραλλήλου τῷ κατωτ. ἐν §. 265. »ἐγὼ δ' ἐφοίτων.» W. — τὰ προσήκοντα] τὰ ἐλευθέρῳ παιδὶ προσήκοντα. τὸ δὲ τοῦ Πλουτάρχου (Δημ. Δ.) περὶ Δημοσθένους ὅτι « τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημάτων ἀπαίδευτος δοκεῖ γενέσθαι » δὲν ἔχεται πιθανότητος. μόνον τοὺς μισθοὺς ἀπεστέρησαν οἱ ἐπίτροποι αὐτοῦ τοὺς διδασκάλους, ὡς διαβεβαιοῖ καὶ ὁ Δημ. (κ. Ἀφόβ. Α. §. 46.). W. — καὶ ἔχειν—δι' ἔνδειαν] ὁ γέρων Δημ. «κατέλιπε τῷ ἑπταετεῖ παιδὶ αὐτοῦ οὐσίαν σχεδὸν τεττάρων καὶ δέκα ταλάντων» (Δημ. κ. Ἀφόβ. Α. §. 4.)· πόσῳ δὲ ἀσυνειδήτως διεχείρισαν αὐτὴν οἱ ἐπίτροποι αὐτοῦ ἐπὶ δέκα ἔτη ἔστι μαθεῖν ἐκ τῶν κατὰ Ἀφόβου λόγων τοῦ ῥήτορος. — ἀκόλουθα] σύμφωνα, συνεπῆ. — τούτοις] τοῖς χρηματικοῖς μου πόροις. — χορηγεῖν, τριηραρχεῖν, εἰσφέρειν] ταῦτα καὶ πλείονα ἔτι, οἷον «δημοθοινίας τε — καὶ τεῖχος, καὶ τάφρον, καὶ λύσεις αἰχμαλώτων, καὶ νομοθεσίας καὶ μέγεθος πολιτευμάτων» ἀναφέρει παρὰ Λουκιανῷ (Δημ. ἐγκωμ. 16.) Θερσαγόρας τις ὡς ὑπόθεσιν ἐγκωμίου Δημοσθένους. J. καὶ χορηγὸς μὲν ἦν, ἐθελοντὴς μάλιστα (κ. Μειδ. §. 13.), Ὀλ. ρς', γ'. 354. ὅτε προὔκυψεν ὁ μετὰ Μειδίου διαπληκτισμός, τριήραρχος δὲ Ὀλ. ρδ', ά. 364. « εὐθὺς ἐκ παίδων ἐξελθών » (κ. Μειδ. §. 78. καὶ 154.), καὶ δεύτερον Ὀλ. ρέ, γ'. 358. κατὰ τὸν Εὐβοϊκὸν πόλεμον (πρβλ. ἀνωτ. §. 99. «τῶν ἐθελοντῶν τότε τριηράρχων — εἷς ἦν ἐγώ.»). εἰσέφερε δέ, καὶ μάλιστα «ὅσον τίμημα εἰσέφερον Τιμόθεος ὁ Κόνωνος καὶ οἱ τὰ μέγιστα κεκτημένοι» ἔτι ὑπὸ ἐπιτρόπους ὢν (κ. Ἀφόβ. Α. §. 7. πρβλ. κ. Μειδ. §. 157. «ἡμῶν συμμορίας ὑμῖν ἐγενόμην ἐγὼ ἔτη δέκα, ἴσον — τοῖς πλουσιωτάτοις εἰσφέρων.»), καθόσον καὶ αἱ τῶν ὀρφανῶν περιουσίαι ὑπέκειντο ταῖς εἰσφοραῖς. W. — πολλάκις ἐστεφανῶ-

καὶ μηδὲ τοὺς ἐχθροὺς ὑμᾶς, ὡς οὐ καλά γ' ἦν ἃ προει-
258 λόμην, ἐπιχειρεῖν λέγειν. ἐγὼ μὲν δὴ τοιαύτῃ συμβεβίωκα τύχῃ, καὶ πόλλ' ἂν ἔχων ἕτερ' εἰπεῖν περὶ αὐτῆς παραλείπω, φυλαττόμενος τὸ λυπῆσαί τινα ἐν οἷς σεμνύνομαι. σὺ δ' ὁ σεμνὸς ἀνὴρ καὶ διαπτύων τοὺς ἄλλους σκόπει πρὸς ταύτην ποίᾳ τινὶ κέχρησαι τύχῃ, δι' ἣν παῖς μὲν ὢν μετὰ πολλῆς ἐνδείας ἐτράφης, ἅμα τῷ πατρὶ πρὸς τῷ διδασκαλείῳ προσεδρεύων, τὸ μέλαν τρίβων καὶ τὰ βάθρα σποggίζων καὶ τὸ παιδαγωγεῖον κορῶν, οἰκέτου τάξιν, οὐκ ἐλευθέρου παιδὸς
259 ἔχων, ἀνὴρ δὲ γενόμενος τῇ μητρὶ τελούσῃ τὰς βίβλους ἀνεγι-

σθαι] πρβλ. τὰ ἐν §§. 83. καὶ 222. — μηδὲ] ἐπιδοτικός.

258. ἂν ἔχων] ἐναντιωματικὴ μετοχὴ μετὰ τοῦ δυνητικοῦ ἄν. οὕτω καὶ ἐν τῷ πρ. Λεπτ. §. 33. «πόλλ' ἂν ἔχων εἰπεῖν.» ἀνωτέρω δὲ ἐν §. 138. (ὡς καὶ ἐν 264.) κεῖται ἄνευ τοῦ ἄν. — πόλλ' — παραλείπω] οὐδὲν σχεδὸν παραλείπει ὁ ῥήτωρ, ἀλλὰ καὶ εἴτι παρέλειψε τυχόν, ἀναπληροῖ διὰ μακρῶν κατωτέρω ἐν §. 267 — 268. καὶ 299—305. καίτοι «εὐλαβούμενος τὸν φθόνον.» — σὺ δ' ὁ σεμνὸς κτλ.] «μακαρίζειν — προσποιούμενος ἐκ τῶν ἐναντίων ἄσεμνόν τε καὶ δυσχέστατον ἐκφαίνειν ἀξιοῖ.» Ἡρωδ. π. Σχημ. σ. 588. — ποίᾳ τινὶ κέχρησαι τύχῃ κτλ.] ἐν ὅλῳ τῷ χωρίῳ ταύτῳ ἀμύνεται ὁ ῥήτωρ τὰς περὶ καταγωγῆς καὶ ἀνατροφῆς αὐτοῦ ὕβρεις τοῦ Αἰσχίνου (κ. Κτησ. §. 171. κ. ἑ.) δι' ἴσου τῷ ἐκείνου πικροτάτου ὄφους. βεβαίως ἔγκειται μὲν ἀλήθειά τις, ἀλλὰ τίς αὕτη καὶ πόση δύσκολον εἰκάσαι. — ἅμα τῷ πατρὶ] πρβλ. καὶ τὰ ἐν §. 129. — τὰ βάθρα] ἁπλᾶ θρανία οὔτε γραφεῖον ἔχοντα, ὡς ἂν εἰκάσειέ τις ἐκ τῶν παρὰ Πλάτωνι (Πρωταγ. σ. 325. Ε), οὔτε ὑψούμενα βαθμηδόν, ἀλλ' εὐτελῆ κινητὰ καθίσματα, οἷα καὶ ἐν ἄλλαις χρείαις ἀπαντῶνται (Πλουτ. Ηθ. 796. — Λουκ. βίων πρ. 1.). W.

259. τῇ μητρὶ τελούσῃ κτλ.] ἡ ζωηρὰ αὕτη καὶ βεβαίως ἐκ τοῦ τότε βίου ληφθεῖσα περιγραφὴ ἀναφέρεται πρὸς τὰς ἐν παραβύστῳ που γιγνομένας τελετὰς τῶν Ορφικῶν καὶ Βαχχικῶν μυστηρίων, ἅτινα διακομισθέντα ἐκ τῆς μικρᾶς Ἀσίας φαίνεται ὅτι, καίτοι ἀπηγορευμένα ὑπὸ τῆς πολιτείας, εὗρον ἐν τῇ τότε ἠθικῶς τε καὶ θρησκευτικῶς παρακμαζούσῃ Ἑλλάδι πολυαρίθμους ὀπαδούς, εἰ καὶ ἀσήμους, καὶ εὐμενοῦς ἔτυχον ὑποδοχῆς ἕνεκα τῶν μετ' αὐτῶν συνδεομένων τελετῶν καὶ γοητειῶν δυναμένων γαργαλίσαι τὰς αἰσθήσεις, καὶ τὴν φαντασίαν ἐξάψαι, καθ' ὅσον μάλιστα ἐχρησίμευον ὡς προκάλυμμα καὶ ἄλλων ῥυπαριῶν (οἷας περὶ τῆς Αἰσχίνου μητρὸς ἀνέφερεν ὁ Δημ. ἀνωτ. ἐν §. 129.), καὶ ἄφθονος πηγὴ χρηματισμοῦ πᾶσιν ἐν γένει τοῖς ἀγύρταις. ὅτι ἡ τοῦ Αἰσχίνου μήτηρ μετεῖχε τῶν τελετῶν τούτων λέγεται καὶ ἐν τῷ Δημ. περὶ παραπρεσβείας §§. 199. 249. 281., πόσον ὅμως καὶ πῶς καὶ ἂν ἐτέλει πρὸς ἴδιον ἑαυτῆς ὄφελος ἢ ὡς ἱέρεια ἀρχαίας τινὸς οἰκογενοῦς λατρείας, ὡς ὑπετόπασάν τινες ἐκ τῶν ἐν τῷ περὶ παραπρ. §. 281. «Γλαυκοθέας τῆς τοὺς θιάσους συναγούσης ἐφ' οἷς ἑτέρα τεθνηκεν ἱέρεια,» ταῦτα μένουσιν ἀμφίβολα. W. — τὰς βίβλους] τὰς τοὺς καθαρτικοὺς καὶ ἱλαστηρίους τύπους περιεχούσας. κατὰ Πλάτωνα (Πολιτ. Β', 364.) «ἀγύρται — καὶ μάντεις ἐπὶ πλουσίων θύρας ἰόντες πείθουσιν ὡς ἔστι παρὰ σφίσι δύναμις ἐκ θεῶν πορίζομένη θυσίαις τε καὶ ἐπῳδαῖς, — βίβλων δὲ ὅμαδον παρέχονται Μουσαίου καὶ Ορφέως, Σελήνης τε καὶ Μουσῶν ἐγγόνων, κτλ.» W. πρβλ. Ισοκρ. Λιγινητ. §. 5. — Διογ. Λαέρτ.

γνωσκες καὶ τἄλλα συνεσκευωροῦ, τὴν μὲν νύκτα νεβρίζων καὶ κρατηρίζων καὶ καθαίρων τοὺς τελουμένους καὶ ἀπομάττων τῷ πηλῷ καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ κελεύων λέγειν « ἔφυγον κακόν, εὗρον ἄμεινον, » ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτ' ὀλολύξαι σεμνυνόμενος (καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτὸν φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ' οὐχ ὑπέρλαμπρον), ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρείας θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν « εὐοῖ, σαβοῖ, » 260

Η', 3. ΓΜ. — συνεσκευωροῦ] σὺν αὐτῇ ἐσκευωροῦ (ἐτεχνάζου). — — νεβρίζων] « οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα ἐνημμένου, ἢ καὶ τοὺς τελουμένους διαζωννύντος νεβρίσιν, οἱ δὲ ἐπὶ τοῦ νεβροὺς ἐκδιασπᾶν κατά τινα ἄρρητον λόγον. » Ἁρποκρ. βακχικὸν καθ' αὐτὸ εἶνε τὸ νεβρίσι διαζωννύναι τοὺς τελουμένους. τοῦτο ἐννεηπέον καὶ ἐνταῦθα. W. — κρατηρίζων] « οἶνον ἀπὸ κρατήρων ἐν τοῖς μυζηρίοις σπένδων. » Φώτιος. — ἀπομάττων] « οἱ μὲν ἁπλοϊκώτερον ἀκούουσιν ἀντὶ τοῦ ἀποψῶν καὶ λυμαινόμενος, ἄλλοι δὲ περιεργότερον, οἷον περιπλάττων τὸν πηλὸν καὶ τὰ πίτυρα τοῖς τελουμένοις, ὡς λέγομεν, ἀπομάττεσθαι τὸν ἀνδριάντα τῷ πηλῷ καὶ τῷ πιτύρῳ τοὺς μυουμένους, ἐκμιμούμενοι τὰ μυθολογούμενα παρ' ἐνίοις, ὡς ἄρα οἱ Τιτᾶνες τὸν Διόνυσον ἐλυμήναντο γύψῳ καταπλασάμενοι ἐπὶ τῷ μὴ γνώριμοι γενέσθαι. » Ἁρποκρ. ἡ ἀ. ἐξήγησις μόνον, τουτέστι τὸ ἀπολούειν διὰ πηλοῦ καὶ πιτύρων συμβιβάζεται τῇ ἐκφράσει τοῦ ῥήτορος. — ἀνιστὰς] ἄρα ὁ καθαρμὸς ἐτελεῖτο ἐπὶ καθημένων. πρβλ. Ἀριστοφ. Νεφ. στ. 254. W. — « ἔφυγον — ἄμεινον »] ὡς ἀκροτελεύτιος τυπικὴ φράσις πρὸς δήλωσιν τῆς ἐπὶ νέον κρείττονα βίον εἰσόδου (εὔχρηστος καὶ ἐν τοῖς γάμοις. Ζηνοβ. παροιμ. Γ', 98.), παραπλησία τῇ « ἔξω τὸ κακό, μέσα τὸ καλό, » συνηθιζομένῃ ἔτι παρ' ἡμῖν ὑπὸ τῶν γητευουσῶν γυναικῶν. — νομίζω] κατὰ λιτότητα ἐκφράσεως, = πιστεύω. — φθέγγεσθαι — μέγα] ὁ Αἰσχίνης πάνυ μέγα ἐφρόνει ἐπὶ τῇ φωνῇ (Δημ. π. παραπρ. §. 337.), τοῦτο ὑπαινιττόμενος ὁ Δημ. συνεχῶς καλεῖ αὐτὸν εὔφωνον, λαμπρόφωνον, οἷον ἐν §. 285. 313. (πρβλ. καὶ τὰ ἐν §. 280.). πλείονα δὲ λέγει περὶ τούτου ἐν τῷ π. παραπρ. §. 337. κ. ἑ.

260. τοὺς καλοὺς] κατ' εἰρωνείαν. — τῷ μαράθῳ — τῇ λεύκῃ] μαγικὰς δυνάμεις ἀποδιδομένας τῷ μαράθῳ ἔστιν ἰδεῖν καὶ παρὰ Jacobs εἰς Αἰλιαν. π. Ζ. ἱστ. Θ', 17. σ. 312. D. — ὅτι δὲ οἱ τὰ Βακχικὰ τελούμενοι ἐστέφοντο τῇ λεύκῃ, σημειοῖ καὶ Ἁρποκρατίων χθόνιόν τινα λόγον ἐπιφέρων. ἕτερα δὲ περὶ λεύκης εὑρηνται παρὰ Παυσανίᾳ Α. Ἠλιακ. ΙΔ'. 2. — τοὺς ὄφεις τ. παρείας] « ὁ παρειὰς ἢ παρούας πυρρὸς τὴν χρόαν, εὐωπὸς τὸ ὄμμα, πλατὺς τὸ στόμα, δακεῖν οὐ σφαλερός· ἀλλὰ πρᾶος· ἔνθεν τοι καὶ τῷ φιλανθρωποτάτῳ θεῷ ἱερὸν ἀφῆκαν αὐτόν, καὶ ἐπεφήμισαν Ἀσκληπιοῦ θεράποντα εἶναι. » Αἰλιαν. π. Ζ. ἱστ. Η', 12. τὴν δ' ἐν τοῖς Βακχικοῖς χρῆσιν τῶν ὄφεων βλέπομεν καὶ παρ' Εὐριπίδῃ (Βακχ. στ. 697.). W. — « εὐοῖ, σαβοῖ »] βακχικὴ ἐκφώνησις, περὶ τῆς ἀρχικῆς σημασίας τῆς ὁποίας μάτην ἐμοχθησαν οἱ ἀρχαῖοι γραμματικοί· τὸ μὲν εὐοῖ παράγοντες ὁτὲ μὲν ἐκ τοῦ εὖ οἷ, ὁτὲ δὲ ἐκ τοῦ εὖ σοί, ὁτὲ δὲ ἐκ τοῦ εὖ οἱ [μύσται], ὁτὲ δὲ τέλος ἐκ τοῦ εὖ υἱέ, τὸ δὲ σαβοῖ συνδέοντες τῷ σαβοὶ

καὶ ἐπορχούμενος «ὕης ἄττης, ἄττης ὕης,» ἔξαρχος καὶ προηγεμὼν καὶ κιττοφόρος καὶ λικνοφόρος καὶ τοιαῦτα ὑπὸ τῶν γραδίων προσαγορευόμενος, μισθὸν* λαμβάνων τούτων ἔνθρυπτα καὶ ςρεπτοὺς καὶ νεήλατα, ἐφ' οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὐτὸν εὐδαιμονίσειε καὶ τὴν αὐτοῦ τύχην; ἐπειδὴ δ' εἰς τοὺς δημότας ἐνεγράφης
261 ὁπωσδήποτε, ἐῶ γὰρ τοῦτο, ἐπειδή γ' ἐνεγράφης, εὐθέως τὸ κάλλιςον ἐξελέξω τῶν ἔργων, γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις. ὡς δ' ἀπηλλάγης ποτὲ καὶ τούτου, πάνθ', ἃ τῶν ἄλλων κατη-

(= βάκχοι) σημαίνοντος ἐν τῇ τῶν Φρυγῶν γλώσσῃ, καθὰ λέγεται, τοὺς τῇ μυστικῇ λατρείᾳ τοῦ Σαβαζίου (= Βάκχου) ἀφιερωμένους. W. — καὶ ἐπορχούμενος «ὕης ἄττης»] ὁ B. κ. P. καὶ ἐνταῦθα ἐννοεῖ τὸ βοῶν (ἤτοι καὶ μετ' ὀρχήσεως βοῶν «ὕης ἄττης»), πιθανώτερον δμως τὸ τοῦ D. καὶ ἐπορχούμενος κατὰ τὸν ῥυθμὸν τοῦ «ὕης ἄττης, ἄττης ὕης.» — ὕης ἄττης] τὸ ὕης θεωρεῖται κοινῶς κατηγορούμ. εἴτε παρώνυμον τοῦ ἄττης ἀντιστοιχοῦντος τῷ Σαβαζίῳ (Βάκχῳ). πιθανῶς αἱ λέξεις αὗται ἀπετέλουν τὴν ἀρχὴν ἢ τὴν ἐπῳδὸν (ἐφύμνιον) βακχικοῦ τινος μυςικοῦ ὕμνου ᾄδομένου μετὰ καταλλήλων διαστροφῶν τοῦ σώματος. Ἄττης δὲ ὅςτις ἦν, τά γε γνωριμώτατα ἴδ. παρὰ Παυσανίᾳ Ἀχαϊκ. IZ', 9—12. — ἔξαρχος — προηγεμὼν] ἔξαρχος μὲν τοῦ χοροῦ, προηγεμὼν δὲ τῆς ὀρχήσεως. — κιττοφόρος] «ἔνιοι διὰ τοῦ σ γράφουσι κιστοφόρος. τὰς γὰρ λεγομένας κίςας ἱερὰς εἶναι ἔλεγον τοῦ Διονύσου καὶ ταῖν θεαῖν.» Ἁρποκρατίων· ἐκ δὲ τῶν νεωτέρων ὁ μὲν West. σημειῶν ὅτι ὁ κισσὸς ἦν ἱερὸς τῷ Διονύσῳ [ὡς εὕρηται καὶ ἐν ἐπιγράμμασιν Ἀνθολ. Θ, 524,» «κισσοστέφανος Βάκχος» κ. ἀ. καὶ παρ' Ἡρωδιανῷ περὶ Ἀντιγόνου· «Διόνυσον πάντα μιμούμενος κισσὸν — περιετίθει τῇ κεφαλῇ], φαίνεται ἑρμηνεύων αὐτὸ διὰ τοῦ «κισσὸν φέρων,» ὡς παραδέχεται καὶ ὁ B. κ. P., ὁ δὲ Jacobs καὶ ὁ ΓΜ. ἐξηγοῦσι διὰ τοῦ «ὁ φέρων τὴν κίστην (καλάθιον ἔχον σκέπασμα).» — λικνοφόρος] «τὸ λίκνον πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἐπιτήδειόν ἐστιν. ὁ τοῦτο οὖν φέρων λικνοφόρος λέγοιτ' ἄν. λίκνον τὸ πτύον.» Ἁρποκρ. οὕτω καὶ κατὰ Οὐάρρωνα (παρὰ Σερβίῳ εἰς Οὐϊργιλ. Γεωργ. 1. 166.) αἱ τελεταὶ τοῦ Διονύσου συνέτεινον εἰς κάθαρσιν τῆς ψυχῆς, ὡς τὸ λίκνον καθαίρει τὸν σῖτον. — τούτων] τῶν βακχικῶν σου ἔργων. — ἔνθρυπτα] «ψωμοὶ οἴνῳ βεβρεγμένοι, οἷς ἐπιχεῖται καὶ φακῆ.» Φώτ. — ςρεπτούς] «πλακοῦντος εἶδος.» Ἁρποκρ. — νεήλατα] «κατ' ἔλλειψιν, ἀντὶ τοῦ νεήλατα ἄλφιτα, τὰ νεωστὶ ἀληλεσμένα, ἃ δὴ μέλιτι ἀναδεύοντες, ἀςαφίδας τε καὶ χλωροὺς ἐρεβίνθους ἐπεμβάλλοντες τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμεν. ἐκάλουν δὲ αὐτὰ οἱ μὲν ἀμβροσίαν, οἱ δὲ μακαρίαν.» Ἁρποκρ. — αὐτὸν] = σεαυτόν, οὕτως ἐξηγητέον καὶ τὸ ἑπόμ. — τὴν αὐτοῦ τύχην. πρβλ. καὶ κατωτ. §. 262. «μισθώσας αὐτὸν — ἐτριταγωνίςεις.»

261. εἰς τοὺς δημ. ἐνεγράφης] ἢ εἰς τοὺς δημότας ἐγγραφὴ τῶν νέων ἐγίνετο μετὰ τὸ 18. ἔτος τῆς ἡλικίας αὐτῶν. W. — ὁπωσδήποτε] παραλείπω, λέγει, τώρα τὸν τρόπον καθ' ὃν ἐνεγράφης, ἀρκεῖ ὅτι δὲν ἐνεγράφης δικαίως. ἐννοεῖ δὲ τὸ δοῦλον τοῦ πατρὸς αὐτοῦ. πρβλ. ἀνωτ. §. 130. W. — τὸ κάλλιςον] καὶ τοῦτο εἰρωνικῶς. — γραμματεύειν] ἴδ. §§. 162. 209. καὶ τὰς αὐτ. σημ. πρβλ. Δημ. π. παραπρ. §. 249., ἔνθα Αἰσχίνης λέγεται ὑπογραμματεύσας καὶ ὑπηρετήσας ἀπάσαις ταῖς ἀρχαῖς ἐπ' ἀργυρίῳ καὶ τελευταῖον γραμματεὺς χειροτονηθείς. W. — ἀρχιδίοις] ταῖς μικραῖς, κατωτέραις ἀρχαῖς. — ἃ — κατηγορεῖς] γενικώτερον ἐκλεκτέον ταῦτα,

γορεῖς αὐτὸς ποιήσας, οὐ κατῄσχυνας, μὰ Δί', οὐδὲν τῶν προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ, ἀλλὰ μισθώσας αὐτὸν 262
τοῖς βαρυστόνοις ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς, Σιμύλῳ καὶ Σωκράτει, ἐτριταγωνίστεις, σῦκα καὶ βότρυς καὶ ἐλάας συλλέγων ὥςπερ ὀπωρώνης ἐκ τῶν ἀλλοτρίων χωρίων, πλείω λαμβάνων ἀπὸ τούτων ἢ τῶν ἀγώνων, οὓς ὑμεῖς περὶ τῆς ψυχῆς ἠγωνίζεσθε· ἦν γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ὑμῖν πρὸς τοὺς θεατὰς πόλεμος, ὑφ' ὧν πολλὰ τραύματ' εἰληφὼς εἰκότως τοὺς ἀπείρους τῶν τοιούτων κινδύνων ὡς δειλοὺς σκώπτεις. ἀλλὰ γὰρ παρεὶς ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς 263
αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα. τοιαύτην γὰρ εἵλου πολιτείαν, ἐπειδή ποτε καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆ-

καὶ οὐχὶ ἐπὶ ὡρισμένου τινὸς χωρίου τοῦ κ. Κτησ.— τ ῶ ν π ρ ο ϋ π η ρ γ μ έ ν ω ν] οὐσιαστικὸν ἐννοητέον τὸ ἐ π ι τ η δ ε υ μ ά τ ω ν, ἢ ἔ ρ γ ω ν.

262. μ ι σ θ ώ σ α ς — ἐ τ ρ ι τ α γ ω ν ί σ τ ε ι ς] ἐπειδὴ πολλοὶ ἦσαν οἱ δῆμοι τῆς Ἀττικῆς, πάντες δὲ σχεδὸν ἤθελον, εἰ δυνατόν, ἔχειν θεατρικὰς παραστάσεις ἐν τῇ ἑορτῇ τῶν κατ' ἀγροὺς Διονυσίων, ὅσοι τῶν ὑποκριτῶν ἦσαν ἄξιοι πρῶτα καὶ δεύτερα ὑποκρίνεσθαι πρόσωπα, ὡς ἐνταῦθα Σίμυλος καὶ Σωκράτης, ἀνεδέχοντο τὰς παραστάσεις ταύτας μισθούμενοι καὶ ἄλλον τινὰ ὡς τριταγωνιστήν, ὡς ἐνταῦθα τὸν Αἰσχίνην. φαίνεται δ' ὅτι ἀπήρχοντο εἰς αὐτάς, τοὐλάχιστον εἰς τὰς τῶν πλησίον δήμων παραστάσεις, καθὸ θρησκευτικὰς πανηγύρεις. πολλοὶ καὶ ἐκ τοῦ Ἀθηναίων δήμου, ὥςτε τοιοῦτοι ὑποκριταί, ὡς Σίμυλος καὶ Σωκράτης, ἦσαν ἱκανῶς γνωστοὶ τοῖς ἀκροαταῖς. W. — β α ρ υ σ τ ό ν ο ι ς] οὕτως ἐπεκαλοῦντο πιθανῶς ἐκ τοῦ, καὶ μέχρι τοῦ γελοίου, ὑπερβολικοῦ πάθους μεθ' οὗ ὑπεκρίνοντο. — σ ῦ κ α — χ ω ρ ί ω ν] τὰ κατ' ἀγροὺς Διονύσια συνέπιπτον τὸν Ποσειδεῶνα εἰς ἐποχὴν τῆς τρύγης. W. — ὀ π ω ρ ώ ν η ς] ὀπώραν πριάμενος πρὸς μεταπώλησιν (πρβλ. Δημ. πρ. Νικόστρ. §. 21.). D.— ἐ κ τ ῶ ν ἀ λ λ ο τ ρ ί ω ν] τοῦτο ἀναφέρεται ἰδίως πρὸς τὸν ὀπωρώνην κλέπτοντα ἐκ τῶν τῷ μεμισθωμένῳ παρακειμένων ξένων κτημάτων, ἀλλ' οὐδὲν ἧττον καὶ τῷ Αἰσχίνῃ προσάπτει μῶμον κλοπῆς. — π λ ε ί ω λ α μ β ά ν ω ν] πλείω ὠφελήματα λαμβάνων ἀπὸ τῶν καρπῶν τούτων. ΓΜ. κατὰ δὲ τὸν Funkhaenel πλείω τραύματα λαμβάνων ἕνεκα τῆς κλοπῆς τούτων. — ὑ μ ε ῖ ς] ὁ Αἰσχίνης μετὰ Σιμύλου καὶ Σωκράτους, καὶ οὐχὶ οἱ Ἀθηναῖοι, ὡς ἐσφαλμένως ἐξέλαβόν τινες, ὅθεν ἐπήγασε καὶ ἡ μετὰ τὸ ἀ π ὸ τ ο ύ τ ω ν προσθήκη τοῦ τ ρ α ύ μ α τ α, ἥτις μόνον ἐν τῷ ἐκ πρ. χειρ. χειρογρ. Σ δὲν ὑπάρχει. W. — π ε ρ ὶ τ ῆ ς ψ υ χ ῆ ς ἠ γ ω ν ί ζ ε σ θ ε] ἐννοεῖ τὰς σκηνικὰς παραστάσεις, αἱ ὁποῖαι οὐ μόνον δὲν ἦσαν ἐπικερδεῖς, ἀλλ' ἐνίοτε καὶ λίαν δυσχερεῖς, ἵνα μὴ εἴπω ἐπικίνδυνοι, καθίζαντο τοῖς ὑποκριταῖς· καθέσον οἱ ἐκ τῆς κακῆς ὑποκρίσεως ἀηδιάσαντες θεαταὶ μὴ ἀρκούμενοι τῷ συνήθει αὐτοῖς «ἐκσυρίττειν καὶ ἐκβάλλειν αὐτοὺς ἐκ τῶν θεάτρων» ἐνίοτε καὶ ἐλιθοβόλουν αὐτούς. τοῦθ' ὅπερ ἐννοεῖ καὶ ὁ ῥήτωρ διὰ τοῦ ἐπιφερομένου «ὑφ' ὧν πολλὰ τραύματ' εἰληφώς.» πρβλ. Δημ. π. παραπρ. §. 337. W. — ὡ ς δ ε ι λ ο ὺ ς σ κ ώ π τ ε ι ς] ἐν §. 175. κ. ἀ. τοῦ κ. Κτησ.

263. π α ρ ε ὶ ς ὧ ν — τ ι ς] παρεὶς ταῦτα, ὧν αἰτίαν τὴν πενίαν εἴποι ἄν τις. — κ α ὶ τ ο ῦ τ '] τὸ πολιτεύεσθαι, ἢ τὸ ἑλέσθαι πολιτείαν τινά. — ἐ π ῆ λ θ έ σ ο ι] ταὐτὸ τῷ

σαι, δι' ἣν εὐτυχούσης μὲν τῆς πατρίδος λαγὼ βίον ἔζης, δεδιὼς καὶ τρέμων καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν ἐφ' οἷς σαυτῷ συνήδεις ἀδικοῦντι, ἐν οἷς δ' ἠτύχησαν οἱ ἄλλοι, θρα-
264 σὺς ὢν ὑφ' ἁπάντων ὤψαι. καίτοι ὅστις χιλίων πολιτῶν ἀποθανόντων ἐθάρρησε, τί οὗτος παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστιν; πολλὰ τοίνυν ἕτερ' εἰπεῖν* ἔχων περὶ αὐτοῦ παραλείψω· οὐ γὰρ ὅσ' ἂν δείξαιμι προσόντ' αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ' οἶμαι δεῖν εὐχερῶς λέγειν, ἀλλ' ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί.

265 Ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα, πράως, μὴ πικρῶς, Αἰσχίνη· εἶτ' ἐρώτησον τουτουσὶ τὴν ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν. ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων. ἐτέλεις, ἐγὼ δ' ἐτελούμην. ἐγραμμάτευες, ἐγὼ δ' ἠκλησίαζον. ἐτριταγωνίστεις, ἐγὼ δ' ἐθεώρουν. ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον. ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα, ἐγὼ δ'
266 ὑπὲρ τῆς πατρίδος. ἐῶ τἄλλα, ἀλλὰ νυνὶ τήμερον, ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδοτιοῦν ἀδι-

παρ' ἡμῖν «σοῦ κατέβη.» τὸ ταγύβουλον δηλοῖ. — λαγὼ βίον ἔζης] τοῦτο ἐλέγετο παροιμιωδῶς ἐπὶ τῶν ἄθλιον καὶ χαλεπὸν βίον βιούντων, ὡς εὑρίσκεται παρὰ Δίωνι Χρυσ. ξς', 24. κ. ά. — ἐν οἷς δ' ἠτύχησαν] τῇ ἐν Χαιρωνείᾳ ἥττῃ δηλ. ὡς ἐκ τῶν ἑξῆς δηλοῦται.

264. χιλίων — ἀποθανόντων] κατὰ Διόδωρον (ΙΣΤ', 86.) ἐκ «τῶν Ἀθηναίων ἔπεσον μὲν ἐν τῇ μάχῃ πλείους τῶν χιλίων, ἥλωσαν δὲ οὐκ ἐλάττους τῶν δισχιλίων.» πρβλ. [Δημάδ.] ἀποσπ. §. 9. — εὐχερῶς λέγειν] ὡς συνειθίζει ὁ Αἰσχίνης. ἴδ. ἀνωτ. §. 70. «ὃ λέγων εὐχερῶς ὅτι ἂν βουληθῇς.» ὥστε τὸ εὐχερῶς ἐν τούτοις πλησιάζει τῇ ἐννοίᾳ τοῦ ἀσυστόλως, ἀναιδῶς. ἀλλ' ἔστιν ἀπορῆσαι ὁποῖον ἄρα ἔτι αἰσχρὸν παρὰ τὰ τοσαῦτα εἰρημένα εἶχεν εἰπεῖν Δημοσθένης. καὶ ὅμως μακρὰν τοῦ ἀποφλεγμαίνειν ὁ ἀνήρ, οὔτε παύεται τῶν κατ' Αἰσχίνου ὕβρεων, πρὶν ἢ ἔτι ἅπαξ ἐπαναλάβῃ διὰ βραχέων μὲν ἀλλ' ἐντόνων προσβολῶν τὸν τῆς ἑαυτοῦ τύχης πρὸς τὴν ἐκείνου παραλληλισμόν.

265. βεβιωμένα] ἐν τῷ βίῳ πεπραγμένα. — πράως, μὴ πικρῶς] αὐτὸ δὴ τοῦτο τὸ πράως καὶ μὴ πικρῶς τοῦ Δημ. ἔχει πολύ τι τὸ πικρὸν καὶ μὴ πρᾶον. — ἐδίδασκες — ἐγὼ δ' ὑπὲρ τῆς πατρίδος] οἱ ἀρχαῖοι γραμματικοὶ δικαίως ἐθεώρησαν τὸ χωρίον τοῦτο ὡς πρότυπον ἀντιθέσεως. μόνος ὁ Δημήτριος (π. Ἑρμην. §. 250.) «κακοτεχνοῦντι —», φησίν, «ἔοικε διὰ τὴν ἀνταπόδοσιν, μᾶλλον δὲ παίζοντι, οὐκ ἀγαναχτοῦντι.» W. — ἐφοίτων] ἀπολύτως ἐκληπτέον, = ἐπορευόμην εἰς διδασκάλου. τὸ χωρίον τοῦτο ἀναφέρει καὶ Μάρκελλος (γράψας «περὶ τῶν παρ' Ἕλλησι παροιμιῶν») ἑρμηνεύων τὴν παροιμίαν «ἀλλ' ἢ τέθνηκεν ἢ διδάσκει γράμματα.» — ἐγὼ δ' ἐτελούμην] τοῖς Ἐλευσινίοις βεβαίως καὶ οὐχὶ τοῖς Βακχικοῖς. — ἐξέπιπτες] ἐξεσυρίττου, ἐξεβάλλου ἐκ τῶν θεάτρων. Δημ. π. παραπρ. §. 337.

266. νυνὶ] τώρα ταύτην τὴν

κεῖν ἀνωμολόγημαι, σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει, κινδυνεύεις δὲ εἴτε δεῖ σ' ἔτι τοῦτο ποιεῖν, εἴτ' ἤδη πεπαῦσθαι μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. ἀγαθῇ γ', οὐχ ὁρᾷς; τύχῃ συμβεβιωκώς, τῆς ἐμῆς κατηγορεῖς.

Φέρε δὴ καὶ τὰς τῶν λειτουργιῶν μαρτυρίας, ὧν λελειτούρ- 267
γηκα, ὑμῖν ἀναγνῶ, παρ' ἃς παρανάγνωθι καὶ σύ μοι τὰς ῥήσεις, ἃς ἐλυμαίνου, « ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας, » καὶ « κακαγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με, » καὶ κακὸν κακῶς σε μάλιστα μὲν οἱ θεοί, ἔπειτα οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα καὶ πολίτην καὶ τριταγωνιστήν.

Λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν τοιοῦτος· ἐν δὲ τοῖς ἰδίοις 268
εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ* φιλάνθρωπος καὶ τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ καὶ οὐδὲν ἂν εἴποιμι οὐδὲ παρασχοίμην περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτ' εἴ τινας ἐκ τῶν

στιγμήν. — σοὶ δὲ—ὑπάρχει] ἡ σύνταξις· σοὶ δὲ ὑπάρχει μὲν δοκεῖν εἶναι συκοφάντῃ. — κινδυνεύεις δὲ] ἀγωνίζεσαι δὲ μετὰ κινδύνου περὶ τοῦ εἴτε πρέπει νὰ ἐξακολουθῇς ἀκόμη τὸ τοῦ συκοφάντου ἔργον, εἴτε νὰ παύσῃς τώρα πλέον, ἂν δὲν μεταλάβῃς τὸ πέμπτον μέρος τῶν ψήφων. — πεπαῦσθαι—ψήφων] ἴδ. §. 3. τὴν π. τ. οὐ περὶ—ἀγωνίζομαι σημ. — ἀγαθῇ γ'] ὁ γε βεβαιωτικὸς (= τῳόντι) μετ' εἰρωνείας ἐπιτεινομένης διὰ τοῦ οὐχ ὁρᾷς, ὡς καὶ ἐν §. 232.

267. φέρε—ἀναγνῶ] διὰ τοῦ γραμματέως, ὡς ἐκ τοῦ κατωτέρω «λέγε τὰς μαρτυρίας» δῆλον. — δὴ] τέλος πάντων. — λειτουργιῶν] αἱ λειτουργίαι (ἐκ τοῦ λεῖτον, ἴδ. §. 104. σημ.) ἦσαν τακτικαὶ δαπάναι πολιτῶν ὑπὲρ τοῦ δημοσίου περιλαμβάνουσαι τὴν χορηγίαν, γυμνασιαρχίαν, ἀρχιθεωρίαν κλπ. πλείονα ἴδ. ἐν τῷ Λεξικῷ τῆς Ἑλλ. Ἀρχαιολ. μεταφρ. Δ. Π. σ. 548. — παρ' ἃς] ἡ παρὰ τὸ ἐκ παραλλήλου δηλοῖ. ἐπανείληπται δὲ καὶ ἐν τῷ ῥήματι πρὸς πλείονα ἔμφασιν. — ἐλυμαίνου] διέστρεφες. ἴδ. §. 139. τὴν π. τ. ἰαμβειοφάγος σημ. — «ἥκω—πύλας»] ὁ ά. στίχος τῆς Εὐριπίδου Ἑκάβης. — «κακαγγελεῖν—με»] ἄδηλον ἐκ τίνος τραγῳδίας εἴληπται. πολλὴν δέ τινα ὁμοιότητα ἔχει τοῖς ἐν Σοφοκλέους Ἀντιγόνῃ (στ. 276 — 277.) CH. ἄλλως δὲ ἦσαν στίχοι ἀπαγγελλόμενοι ὑπὸ τριταγωνιστῶν, οἷος ἦν καὶ Αἰσχίνης. — καὶ κακὸν κακῶς σε] ἐκ τοῦ κακαγγελεῖν λαμβάνων τὸ ἐνδόσιμον ὁ ῥήτωρ προσποιεῖται διὰ τοῦ καὶ ὅτι ἑτέρου τινὸς στίχου ἄρχεται, ἀλλ' αἴφνης στρέφει αὐτὸν εὐφυῶς πρὸς κατάραν τῷ Αἰσχίνῃ. — καὶ πολίτην] ὁ καὶ προσθετικός.

268. τοῖς πρὸς τὴν πόλιν] ἀντιθέτως τῷ τοῖς ἰδίοις. ἐννοεῖται δὲ τὸ ἀνήκουσιν, ἀφορῶσιν. — κοινὸς] δημοτικός, ἢ ὑποχρεωτικός. — οὐδεμίαν μαρτυρίαν] οἵας ἀξιοπίστους μαρτυρίας ἀναφέρει ἐν τῷ π. παραπρ. §. 169. κ. ἑ. περὶ τῶν αἰχμαλώτων οὓς ἐκ Φιλίππου ἐλύσατο καὶ «ἔδωκεν αὐτοῖς

πολεμίων ἐλυσάμην, οὔτ' εἴ τισι θυγατέρας συνεξέδωκα, οὔτε
269 τῶν τοιούτων οὐδέν. καὶ γὰρ οὕτω πως ὑπείληφα. ἐγὼ νομί-
ζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι πάντα τὸν χρόνον,
τὸν δὲ ποιήσαντα εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ,
τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου· τὸ δὲ τὰς ἰδίας
εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι
τῷ ὀνειδίζειν. οὐ δὴ ποιήσω τοιοῦτον οὐδέν, οὐδὲ προαχθήσο-
μαι, ἀλλ' ὅπως ποθ' ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι.
270 Βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς ἔτι μικρὰ πρὸς ὑμᾶς
εἰπεῖν περὶ τῶν κοινῶν. εἰ μὲν γὰρ ἔχεις, Αἰσχίνη, τῶν ὑπὸ
τοῦτον τὸν ἥλιον εἰπεῖν ἀνθρώπων ὅστις ἀθῷος τῆς Φιλίππου
πρότερον καὶ νῦν τῆς Ἀλεξάνδρου δυναστείας γέγονεν, ἢ τῶν
Ἑλλήνων ἢ τῶν βαρβάρων, ἔστω, συγχωρῶ τὴν ἐμὴν εἴτε τύ-
χην εἴτε δυστυχίαν ὀνομάζειν βούλει πάντων αἰτίαν γεγενῆ-
271 σθαι. εἰ δὲ καὶ τῶν μηδεπώποτ' ἰδόντων ἐμὲ μηδὲ φωνὴν ἀ-
κηκοότων ἐμοῦ πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον
κατ' ἄνδρα, ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον
καὶ ἀληθέστερον τὴν ἁπάντων, ὡς ἔοικεν, ἀνθρώπων τύχην

δωρεὰν τὰ λύτρα,» ἐν ᾧ « καὶ οἱ νόμοι κελεύουσι τοῦ λυσαμένου ἐκ τῶν πολεμίων εἶναι τὸν λυθέντα, ἐὰν μὴ ἀπεδιδῷ τὰ λύτρα» (Δημ. πρ. Νικόστρ. §. 11.).— εἴ τισι — συνεξέδωκα] ἡ φράσις πληρεστέρα παρὰ Λυσίᾳ (ὑ. τ. Ἀριστοφ. χρημ. §. 59.), «τισὶ τῶν πολιτῶν ἀποροῦσι συνεξέδωκα θυγατέρας.» τὰς τῶν ἀπόρων πολιτῶν θυγατέρας ἐπροίκιζον δι' εἰσφορῶν (συνεξέδιδον) φιλάνθρωποί τινες, τὰς δ' ἐπικλήρους ὑπεχρεοῦντο ἐκδοῦναι οἱ ἐγγυτάτω συγγενεῖς αὐτῶν. W. — τῶν τοιούτων] οἷον εἰσφορὰς εἰς ταφὴν τῶν ἐνδεῶν (Λυσ. ἔνθ. ἀνωτ.), εἰς καθοπλισμὸν ἀπόρων πολιτῶν (Λυσ.ὑ.Μαντιθ. §. 14.).κτλ.— οὐδέν] συναπτέον τῷ εἴποιμι ἄν. W. — οὕτω πως] ὡς ἀμέσως θέλει εἰπεῖ.

269. μεμνῆσθαι — ἐπιλελῆσθαι] ἀντικείμ.νόει τὸ «τῆς εὐεργεσίας.» — τὸν δὲ ποιήσαντα] ἀπὸ κοινοῦ ἐννοεῖται τὸ εὖ. — προαχθήσομαι] ἐννοεῖται τὸ ποιεῖν τοιοῦτον οὐδέν.— ὑπείλημμαι] ὡς ποιητικὸν αἴτιον νοητέον τὸ ὑφ' ὑμῶν,= εἰανδήποτε ὑπόληψιν ἔχετε σχηματίσει περὶ ἐμοῦ διὰ ταῦτα.

270. ἀθῷος] ἀβλαβής, ἀπαθής.— τὴν ἐμὴν — βούλει] πρβλ.ἀνωτ. §.20.σημ.—πάντων] πάντων τῶν κακῶν, ὡς Αἰσχίνης διισχυρίσθη (κ. Κτησ. §. 253.). πρβλ. ἀνωτ. §. 285. καὶ τὴν αὐτόθι σημ.

271. καὶ δεινὰ] = καὶ ταῦτα δεινά. — δικαιότερον — τὴν ἁπάντων — ἡγεῖσθαι] τοιαῦτά τινα ἐφιλοσόφησεν ὁ ῥήτωρ καὶ ἐν §. 252., οἱονεὶ ἐπιλαθόμενος ὅτι καὶ αὐτὸς οὗτος ἀνωτέρω (ἐν §§. 41. 143. 159.) « ἁπάντων ὅσα πεπόνθασιν οἱ Ἕλληνες κακῶν αἴτιον καὶ κοινὸν ἀλιτήριον τῶν μετὰ ταῦτα ἀπολωλότων ἁπάντων—ἀνθρώπων, τόπων, πόλεων»

κοινὴν καὶ φοράν τινα πραγμάτων χαλεπὴν καὶ οὐχ οἵαν ἔδει
τούτων αἰτίαν ἡγεῖσθαι; σὺ τοίνυν ταῦτ' ἀφεὶς ἐμὲ τὸν παρὰ 272
τουτοισὶ πεπολιτευμένον αἰτιᾷ, καὶ ταῦτ' εἰδὼς ὅτι, καὶ εἰ*
μὴ τὸ ὅλον, μέρος γ' ἐπιβάλλει τῆς βλασφημίας ἅπασι, καὶ
μάλιστα σοί. εἰ μὲν γὰρ ἐγὼ κατ' ἐμαυτὸν αὐτοκράτωρ περὶ
τῶν πραγμάτων ἐβουλευόμην, ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν
ἐμὲ αἰτιᾶσθαι· εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις, 273
ἀεὶ δ' ἐν κοινῷ τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν, πᾶσι
δὲ ταῦτ' ἐδόκει τότ' ἄριστ' εἶναι, καὶ μάλιστα σοί (οὐ γὰρ
ἐπ' εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων καὶ ζήλου καὶ τιμῶν,
ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις ὑπ' ἐμοῦ, ἀλλὰ τῆς
ἀληθείας ἡττώμενος δῆλον ὅτι καὶ τῷ μηδὲν ἔχειν εἰπεῖν βέλ-
τιον), πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς τούτοις νῦν ἐγκαλῶν,
ὧν τότ' οὐκ εἶχες λέγειν βελτίω; παρὰ μὲν τοίνυν τοῖς ἄλλοις 274
ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα πως
τὰ τοιαῦτα. ἀδικεῖ τις ἐκών· ὀργὴν καὶ τιμωρίαν κατὰ τού-
του. ἐξήμαρτέ τις ἄκων· συγγνώμην ἀντὶ τῆς τιμωρίας τούτῳ.
οὔτ' ἀδικῶν τις, οὔτ' ἐξαμαρτάνων, εἰς τὰ πᾶσι δοκοῦντα συμ-
φέρειν ἑαυτὸν δοὺς οὐ κατώρθωσε μεθ' ἁπάντων· οὐκ ὀνειδίζειν
οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συνάχθεσθαι. φα- 275
νήσεται ταῦτα πάντα οὕτως οὐ μόνον τοῖς νόμοις, ἀλλὰ καὶ ἡ

ἔφησεν Αἰσχίνην. — φοράν] = ἀκράτητόν τινα ὁρμητικὴν πορείαν, καὶ οὐχὶ ἀφθονίαν ὡς κεῖται ἄνωτ. ἐν §. 61. ἐν ἀμφοτέροις δὲ τὸ «φέρεσθαι» δηλοῖ. — καὶ οὐχ οἵαν] καὶ τοιαύτην τινὰ φορὰν οἵαν οὐκ ἔδει γενέσθαι.

272. παρὰ τουτοισί] τοῖς Ἀθηναίοις. ἡ δὲ παρὰ τὸ πλησίον καὶ ἑπομένως τὸ ἐκ συμφώνου δηλοῖ. — ἐπιβάλλει] ἀνήκει, ἀναλογεῖ. — αὐτοκράτωρ] αὐτὸς (= μόνος) τὸ κράτος ἔχων, οἷος ἦν ὁ Φίλιππος. πρβλ. τὰ ἐν §. 235.

273. ἐν κοινῷ] πᾶσι κοινῶς. — ταῦτ'] τὰ ἐμὰ ψηφίσματα. — οὐ γὰρ — τιμῶν] διότι παρεχώρεις ἐμοὶ ἐλπίδας (ἀγαθὰς) καὶ θαυμασμὸν καὶ τιμὰς οὐχὶ δι' εὔνοιαν πρὸς ἐμέ, ἀλλὰ κτλ., ὥστε τὸ ἐλπίδων ἀπολύτως ἐκληπτέον, καὶ οὐχὶ ὡς προσδιοριζόμενον ὑπὸ τῶν ἐκ παραλλήλου κειμένων γενικῶν.

274. ἀδικεῖ — ἐξήμαρτε — οὐ κατώρθωσε] ὑποθετικὴ περίστασις θετικῶς ἐκλαμβανομένη, ὅθεν καὶ τὰ ῥήματα καθ' ὁριστικήν. πρβλ. §. 117. καὶ 198. — ὀργὴν καὶ τιμωρίαν] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ ὡρισμένην καὶ τεταγμένην ὁρῶ. καθὼς καὶ ἐν τῷ ἑπομένῳ συγγνώμην. W.

275. φανήσεται] ἐν δὲ §. 317. προτάσσεται τούτου τὸ ἂν τις ὀρθῶς σκοπῇ. — φανήσεται — τοῖς νόμοις] οὕτω καὶ ἐν Ξενοφ. Κυροπ. Η', α, 37. «τοῖς πρὸ

φύσις αὐτὴ τοῖς ἀγράφοις νομίμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν. Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ.

276 Καὶ πρὸς τοῖς ἄλλοις, ὥσπερ αὐτὸς ἁπλῶς καὶ μετ' εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ τηρεῖν ἐκέλευεν, ὅπως μὴ* παρακρούσομαι μηδ' ἐξαπατήσω, δεινὸν καὶ γόητα καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ' ὀνομάζων, ὡς ἐὰν πρότερός τις εἴπῃ τὰ προσόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα, καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους, τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων. ἐγὼ δ' οἶδ' ὅτι γιγνώσκετε τοῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον ἢ ἐμοὶ νομίζετε ταῦτα

277 προσεῖναι. κἀκεῖνο εὖ οἶδ', ὅτι τὴν ἐμὴν δεινότητα—ἔστω γάρ. καίτοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον κυρίους· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν. εἰ δ' οὖν ἐστι καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσε-

εἰρημένοις πᾶσι δῆλον.» συνηθεστέρα δὲ εἶναι ἐν τούτοις ἡ ἐκ μετὰ γενικῆς, ὡς ἀνωτ. (§. 110.), «ἐκ τῶν εἰρημένων δεδηλῶσθαι.—ἀγράφοις νομίμοις] τοῖς φύσει ἐν παντὶ ἀνθρώπῳ πεφυτευμένοις καὶ ἐπὶ ἠθικῆς συναισθήσεως στηριζομένοις, ἀντιθέτως τοῖς θετικοῖς ἤτοι γραπτοῖς νόμοις. πρβλ. κ. Ἀριστοκρ. §. 70. W. —ὡς ἀτυχημάτων ἐμέμνητο] ἐν §. 132. κ. ἑ. τοῦ κ. Κτησ. — ἐμοῦ κατηγορεῖ] κ. Κτησ. §. 134. κ. ἀ.

276. ἁπλῶς] ἀφελῶς, ἀπονήρως. ὡς ἐν §. 58. — φυλάττειν — ἐκέλευεν] καὶ ἀλλαχοῦ μὲν τοῦ κ. Κτησ. μάλιστα δ' ἐν §. 205. κ. ἑ. — παρακρούσομαι—ἐξαπατήσω] ῥητορικὸς πλεονασμός. ἴδ. τὴν ἐν ταῖς σημ. §. 147. ἑρμηνείαν τοῦ Ἁρποκρ. — δεινὸν—ὀνομάζων] οἷον ἐν §. 16. τοῦ κ. Κτησ. «κακοῦργον σοφιστήν.» ἐν 207. «τὸν γόητα καὶ βαλαντιστόμον καὶ διατετμηκότα τὴν πολιτείαν.» καὶ ἐν §. 215. «δεινὸς δημιουργὸς λόγων.» W.—ὡς] συναπτέον ταῖς ἑξῆς μετοχαῖς ἔχοντα καὶ σκεψομένους, ἀποτελούσαις τὴν ἀπόδοσιν τοῦ ὑποθετικοῦ λόγου κατ' αἰτιατικὴν ἀπόλυτον, περὶ ἧς ἴδ. ἀνωτ. §. 122. σημ.

277. τὴν ἐμὴν δεινότητα — ἔστω γάρ] τὴν ἔκφρασιν ταύτην ἀποδίδωσιν ὁ ῥήτωρ τῷ Αἰσχίνῃ «δεινὸν δημιουργὸν λόγων» εἰπόντι αὐτόν· διακόψας δὲ τὴν ἰδίαν διὰ φιλοφρονήματός τινος ἐπιφέρει μετριοφρονέστερον «εἰδ' οὖν ἐστι καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη.» — ὡς γὰρ — ἔδοξε φρονεῖν] οὕτω καὶ ἐν τῷ π. παραπρ. §. 340. «αἱ μὲν — ἄλλαι δυνάμεις ἐπιεικῶς εἰσιν αὐτάρκεις, ἡ δὲ τοῦ λίγειν, ἂν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων ἀντιστῇ, διακόπτεται.» — ὡς] συναπτέον καὶ τῷ ἔχητε. ἡ δὲ φράσις «ὡς ἔχω εὐνοίας πρός τινα» = οἵας εὐνοίας εἰμί, οἵαν εὔνοιαν ἔχω πρός τινα. πρβλ. τὴν ἐν §. 73. τοῦ π. τ. ἐν Χερρον. π. τ.

τε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεὶ καὶ οὐδαμοῦ καθ' ὑμῶν οὐδ' ἰδίᾳ, τὴν δὲ τούτου τοὐναντίον οὐ μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον ἢ προσέκρουσέ που, κατὰ τούτων. οὐ γὰρ αὐτῇ δικαίως, οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει, χρῆται. οὔτε γὰρ τὴν ὀργὴν 278
οὔτε τὴν ἔχθραν οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσεληλυθότας δικαστὰς ἀξιοῦν αὐτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι, ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρ' ἀνάγκη, πράως καὶ μετρίως διακείμεν' ἔχειν. ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστὶ τῷ δήμῳ, ἐν τούτοις· ταῦτα γὰρ γενναίου καὶ ἀγαθοῦ πολίτου. μηδενὸς δὲ ἀδικήματος πώποτε* δημοσίου, προσ- 279
θήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ μήθ' ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὐτοῦ, στεφάνου καὶ ἐπαίνου κατηγορίαν ἥκειν συνεσκευασμένον, καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι ἰδίας ἔχθρας καὶ φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον,

ὡς ἔχω σημ. — ἐξεταζομένην] κατηγορηματικὴ μετοχὴ διὰ παρατατικοῦ ἐξηγητέα. — οὐδ' ἰδίᾳ] ὁ West. ἐξηγεῖ· «οὐδ' ὅτε προὔκειτο περὶ τοῦ προσωπικοῦ μου συμφέροντος.» νομίζω, οὐκ ὀρθῶς· καθόσον τὰ ἀμέσως ἐπιφερόμενα «τὴν δὲ τούτου τοὐναντίον οὐ μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον ἢ προσέκρουσέ που, κατὰ τούτων, σαφῶς δηλοῦσιν ὅτι καὶ ἐνταῦθα ὁ ῥήτωρ θηρώμενος τὴν ψῆφον τῶν ἀκροατῶν ἐπιφέρει τὸ ἰδίᾳ ἀντιθέτως τῷ γενικῷ καθ' ὑμῶν· = οὐ μόνον οὐδαμοῦ καθ' ὑμῶν γενικῶς, ἀλλ' οὐδ' ἰδιαιτέρως κατά τινος ἐξ ὑμῶν.— τοὐναντίον] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ εὑρήσετε ἐξεταζομένην. — οὐ μόνον] συναπτέον τῷ ὑπὲρ τῶν ἐχθρῶν, καὶ οὐχὶ τῷ προσεχεῖ τῷ λέγειν. — ἀλλὰ καὶ] συναπτέον τῷ κατὰ τούτων. — κατὰ τούτων] ἐπαναληπτικὸν τοῦ προηγουμένου τις (εἴ τις). πρβλ. §. 62. «καὶ τούτων λόγον παρ' ἐμοῦ λαβεῖν» μετὰ τῆς αὐτόθι σημ. καὶ §. 99.

278. εἰσεληλυθότας] εἰς τὸ δικαστήριον.—ἀξιοῦν—βεβαιοῦν] διὰ τῆς καταδίκης τοῦ ἀντιδίκου. W. — ὑπὲρ τούτων] τῶν παθῶν, ὀργῆς, ἔχθρας κτλ.—εἰς ὑμᾶς εἰσιέναι] πρβλ. ἀνωτ. §. 103. «εἰς ὑμᾶς εἰσῆλθον» καὶ τὴν αὐτόθι σημ.—πρὸς τοὺς ἐναντίους ἐστὶ τῷ δήμῳ] οὕτω καὶ ἐν τῷ [Δημ.] κ. Στεφ. Α. §. 22. «οὔτε γὰρ νῦν μοι πρὸς ἐκεῖνόν ἐστιν·» ὥστε περιττὴ ἡ ἐν τοῖς πλείοσι χειρογρ. προσθήκη τοῦ τί. W. ἡ δὲ φράσις «ἔστι μοί τι πρός τινα» ἀντιστοιχεῖ τῇ παρ' ἡμῖν «ἔχω τι (ἔχω νὰ κάμω) πρός τινα.»

279. μηδενὸς δὲ ἀδικήματος κτλ.] πρβλ. τὰ ἐν §. 231. καὶ τὴν αὐτ. σημ. ἔστι δὲ ταὐτά πως τοῖς ἐν

οὐδενὸς χρηστοῦ. τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἐμὲ αὐτὸν ἀγῶνας ἐά-
280 σαντα νῦν ἐπὶ τόνδ' ἥκειν καὶ πᾶσαν ἔχει κακίαν. καί μοι δοκεῖς
ἐκ τούτων, Αἰσχίνη, λόγων ἐπίδειξίν τινα καὶ φωνασκίας βου-
λόμενος ποιήσασθαι τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδική-
ματος οὐδενὸς λαβεῖν τιμωρίαν. ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτο-
ρος, Αἰσχίνη, τίμιον, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ
προαιρεῖσθαι τοῖς πολλοῖς καὶ τὸ τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν,
281 οὕσπερ ἂν ἡ πατρίς. ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ'
εὐνοίᾳ πάντ' ἐρεῖ· ὁ δ' ἀφ' ὧν ἡ πόλις προορᾶταί τινα κίνδυνον
ἑαυτῇ, τούτους θεραπεύων οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολ-
λοῖς, οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν.
ἀλλ' ὁρᾷς; ἐγώ· ταὐτὰ γὰρ συμφέρονθ' εἱλόμην τουτοισί, καὶ
282 οὐδὲν ἐξαίρετον οὐδ' ἴδιον πεποίημαι. ἆρ' οὖν οὐδὲ σύ; καὶ

§. 15—16.—χ ρ η σ τ ο ῦ] συμπλη-
ρωτέον τὴν ἔννοιαν διὰ τοῦ ἤ θ ο υ ς.
— ἐ π ὶ τ ό ν δ'] τὸν Κτησιφῶντα.
—κ α ὶ π ᾶ σ α ν] ὁ καὶ ἐπιδοτικός.

280. ἐ κ τ ο ύ τ ω ν] τῶν εἰρη-
μένων, ἤτοι τοῦ ἥκειν συνεσκευασμέ-
νον κατηγορίαν στεφ. καὶ ἀνηλωκέναι
τοσουτουσὶ λόγους, καὶ ἐπὶ τόνδ' ἥκειν.
— λ ό γ ω ν ἐ π ί δ ε ι ξ ι ν κτλ.]
πρβλ. τὰ ἐν §. 226. «καὶ λόγου κρίσιν
(νομίζων) οὐχὶ τοῦ τῇ πόλει συμφέ-
ροντος ἔσεσθαι.» ἄλλως δέ πως ἀναφέ-
ρει ταῦτα Αἰσχίνης (κ. Κτησ. §. 216.).
«καὶ κατὰ τῆσδε τῆς κρίσεως — φέρει
[ὁ Δημ.] τινὰ αἰτίαν, λέγων, ὡς ἐγὼ
τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγρα-
ψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ
διὰ τὴν πρὸς αὐτὸν ἔχθραν.» πλείονα
ἴδ. ἐν τέλει τοῦ παραρτήματος. —
φ ω ν α σ κ ί α ς] τὸν ὑποκριτικὸν τοῦ
Αἰσχίνου βίον ἐννοεῖ. διότι ὑποκριτῶν
κυρίως ἴδιον ἡ φωνασκία. Β. κ. Ρ. — ὁ
τ ό ν ο ς τ ῆ ς φ ω ν ῆ ς] ἐκ τῶν ἀ-
νωτέρω ὅτι Αἰσχίνης προείλετο τὸν ἀ-
γῶνα τοῦτον «λ ό γ ω ν ἐ π ί δ ε ι ξ ί ν τ ι ν α
κ α ὶ φ ω ν α σ κ ί α ς βουλόμενος
ποιήσασθαι» εὐκόλως κατανοεῖται ὅτι
ταῦτα ἀναφέρονται οὐχὶ τόσῳ πρὸς τὰ
ἐν §. 209. τοῦ κ. Κτησ. «περὶ δὲ τῶν
δακρύων καὶ τ ο ῦ τ ό ν ο υ τ ῆ ς φω-
ν ῆ ς, ὅταν ὑμᾶς ἐπιρωτᾷ, ποῦ κατα-
φύγω κτλ.» ὡς σημειοῖ ὁ Wrst., ὅσῳ
πρὸς τὸ εὔφωνον τοῦ Αἰσχίνου, ὃ αἰνίτ-
τεται ὁ ῥήτωρ καὶ κατωτ. ἐν §. 291.,
ῥητῶς δ' ἀναφέρει ἐν τῷ π. παραπρ. §.
126. 206. καὶ 337. πλὴν οὐ τοῦτο τι-
μιόν ἐστι, λέγει ὁ Δημ., «ἀλλὰ τὸ
ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς κτλ.»
—τ α ὐ τ ὰ — τ ο ῖ ς π ο λ λ ο ῖ ς] = ταὐ-
τὰ ἅπερ ἂν (προαιρῶνται) οἱ πολλοί,
κατὰ τὸ εὐθὺς ἐπιφερόμενον «οὕσπερ
ἂν ἡ πατρίς.» οὕτω καὶ κατωτ. «ἐπὶ
τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς» = ὁρ-
μεῖ ἐπὶ τῆς αὐτῆς, ἐφ' ἧς ἂν (ὁρμῶσιν)
οἱ πολλοί. πρβλ. ἀνωτ. §. 196. καὶ τὴν
αὐτόθι σημ.

281. ὁ δ' ἀ φ' ὧ ν — τ ο ύ τ ο υ ς
θ ε ρ α π ε ύ ω ν] οἷον ὁ Αἰσχίνης Φί-
λιππον καὶ Ἀλέξανδρον. — ἐ π ὶ τ ῆ ς
α ὐ τ ῆ ς ὁ ρ μ ε ῖ] «παροιμία ἐστὶν
ἐλλειπτικῶς λεγομένη· προσυπακου-
στέον οὖν ἔξωθεν τὸ ἀ γ κ ύ ρ α ς.»
Ἁρποκρ. — ἐ γ ώ] ἐννοεῖται κατ' ἀνα-
λογίαν τὸ «τὴν αὐτὴν ἔχω προσδοκίαν
τῆς ἀσφαλείας.» «ὅρα μεθ' ὁποίας πεποι-
θήσεως ὁμιλεῖ ὁ ῥήτωρ, ἐπιφέρων καὶ
τὸν λόγον αὐτῆς. — ἐ ξ α ί ρ ε τ ο ν]
ἐξῃρημένον πρὸς ἴδιον ἐμοῦ συμφέρον,
ὡς διασαφηνίζεται ἐκ τοῦ ἑπομένου οὐδ'
ἴ δ ι ο ν ἐκ παραλλήλου κειμένου.

282. ο ὐ δ ὲ σ ύ ;] συμπλήρου τὴν
πρότασιν διὰ τοῦ «οὐδὲν ἐξαίρετον

πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι, καὶ ταῦτ' ἀρνούμενος πάντα τὸν ἔμπροσθε χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασιν. καίτοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; τῷ δ' ὁ κήρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα* κατ' ἀνδρὸς ῥήτορος ἢ εἰ μὴ ταὐτὰ φρονεῖ καὶ λέγει; σὺ τοίνυν οὗτος εὑρέθης. εἶτα 283
σὺ φθέγγῃ καὶ βλέπειν εἰς τὰ τούτων πρόσωπα τολμᾷς; πότερ' οὐχ ἡγεῖ γιγνώσκειν αὐτοὺς ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν, ὥστ' οὐ μεμνῆσθαι τοὺς λόγους οὓς ἐδημηγόρεις ἐν τῷ πολέμῳ, καταρώμενος καὶ διομνύμενος μηδὲν εἶναι σοὶ καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ' ἐμὲ τὴν αἰτίαν σοι ταύτην ἐπάγειν τῆς ἰδίας ἕνεκ' ἔχθρας, οὐκ οὖσαν ἀληθῆ; ὡς δ' 284

οὐδ' ἴδιον πεποίησαι;» — εὐθέως — πρὸς Φίλιππον] τοῦτο διαβεβαιοῖ καὶ Αἰσχίνης (κ.Κτησ.§.227.)· «ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν.» σκοπὸς δὲ τῆς πρεσβείας ἦν συνθέσθαι ἀνακωχὴν καὶ ἐκπειρᾶσθαι οἵας γνώμης ἦν Φίλιππος περὶ Ἀθηνῶν. — καὶ ταῦτ'] = καὶ μάλιστα. — τὴν χρείαν] τὴν ὑπηρεσίαν, ἤτοι τὸ μεσιτεῦσαι Φιλίππῳ συνδιαλλαγῆναι τῇ πόλει, ὡς ἐκ τῶν κατωτ. ἐν §. 284. δῆλον. — τῷ δ'] ἐρωτημ.ἀντωνυμ.= τίνι δέ; — καταρᾶται] ἴδ. 130. καὶ τὴν αὐτ. σημ. — οὗτος] ὁ μὴ ταὐτὰ φρονῶν καὶ λέγων.

283. ὕπνον — ἔχειν] ὑποκείμ. τοῦ ἔχειν νόει τὸ ὕπνον καὶ λήθην (τοσοῦτος ὕπνος καὶ λήθη κατέχει ὅλους). οὐδὲν βεβαίως κωλύει καὶ τὸ ἅπαντας δέχεσθαι ὡς ὑποκείμ., πλὴν ἐμφαντικώτερός ἐστιν ὁ λόγος κατὰ τὴν ἀ. σύνταξιν. οὕτω καὶ παρ' ἡμῖν ἡ φράσις «θέρμη τὸν ἔχει» εἶν' ἐκφραστικωτέρα πολὺ τῆς «ἔχει θέρμην,» προσωποποιοῦσα τὴν νόσον ὡς κατέχουσαν δῆθεν καὶ τινάσσουσαν τὸν πυρέσσοντα. — ὡς τ' οὐ μεμνῆσθαι] τίθεται οὐ καὶ οὐχὶ μή, καίτοι ἐν ἐξαρτωμένῳ λόγῳ, διὰ τὸ θετικὸν τῆς ἀρνήσεως. οὕτω καὶ ἀνωτ. ἐν §. 120. «ὥστε οὐ δύνασαι λογίσασθαι.» τοιοῦτόν τι ῥῆμα, οἷον τὸ δύνανται νοητέον καὶ ἐνταῦθα (= ὥστε δὲν δύνανται, κατ' ἐσέ, νὰ ἐνθυμῶνται), ἄλλως ἀνεξήγητον καθίσταται τὸ οὐ. οὕτω καὶ κατὰ Κρύγερον ἐν ἐξαρτωμένῳ λόγῳ ἐπὶ ἀρνήσεως μετὰ τὸ ὥστε ἢ ὡς τίθεται τὸ οὐ μὲν ἂν ἔπηται ὁριστικὴ μετὰ ἢ ἄνευ τοῦ ἂν ἢ εὐκτικὴ μετὰ τοῦ ἄν, τὸ μὴ δὲ ἂν ἔπηται ὑποτακτικὴ ἢ ἀπαρέμφατος μετὰ ἢ ἄνευ τοῦ ἄν. — ἐν τῷ πολέμῳ] ἐν ὅσῳ διήρκει ὁ πόλεμος, ἀντιθέτως τῷ κατωτ. «ὡς δ' ἀπηγγέλθη — ἡ μάχη.» — καταρώμ. καὶ διομνύμ. — ὡς δ' ἀπηγγέλθη κτλ.] ταὐτά πως τοῖς ἀνωτέρω ἐν §. 282. «ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον — καὶ ταῦτ' ἀρνούμενος κτλ.» ἐνδιατρίβει δὲ τῇ ἰδέᾳ ταύτῃ ὁ ῥήτωρ ὡς τρανῇ ἀποδείξει τῆς Αἰσχίνου δωροδοκίας, γενικώτερον δ' ἐπαναλαμβάνει αὐτὴν ἐν §.286. «ἃ γὰρ ἠρνεῖσθε διομνύμενοι κτλ.» — πρᾶγμα] ἐννοητέον τὸ κοινόν. — οὐκ οὖσαν ἀληθῆ] ἐκ τούτου ἐξηγεῖται καὶ τὸ ἀνωτ. ἐν παραλλήλῳ χωρίῳ (§. 143.) κενήν.

ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων φροντίσας εὐθέως ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα· ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας προφάσεως Αἰσχίνῃ τῷ Γλαυκοθέας τῆς τυμπανιστρίας ξένος ἢ φίλος ἢ γνώριμος ἦν Φίλιππος; ἐγὼ μὲν οὐχ ὁρῶ, ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέροντα διαφθείρειν. ἀλλ' ὅμως οὕτω φανερῶς αὐτὸς εἰλημμένος προδότης καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσι γεγονὼς ἐμοὶ λοιδορεῖ καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις.

285 Πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ πόλις, Αἰσχίνη, καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησεν. σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι

284. οὐδὲν] = οὐδαμῶς.—τούτων] τῶν οὓς ἐδημηγόρεις ἐν τῷ πολέμῳ λόγων.—ξενίαν] ξενίαν ἔλεγον οἱ πρόγονοι ἡμῶν κυρίως τὴν σχέσιν καὶ φιλίαν ἣν συνῆπτον τοῖς ξενίζουσιν αὐτοὺς ὅτε ἀπεδήμουν εἰς ἄλλας πόλεις, ἔπειτα δὲ καὶ πᾶσαν μετὰ ξένων γνωριμίαν, καίτοι μὴ συνεχομένην τοῖς ξενίας δεσμοῖς. τοιαύτην τινὰ ἐκληπτέον καὶ ἐνταῦθα. — ταῦτα — τὰ ὀνόματα] φιλίαν καὶ ξενίαν δηλ. πρβλ. καὶ τὰ ἀνωτ. ἐν §. 51. κ. ἑ. — τῆς τυμπανιστρίας] τυμπανίστριαν καλεῖ τὴν Αἰσχίνου μητέρα, πρὸς περιφρόνησιν βεβαίως, καθόσον αἱ ἀνωτ. ἐν §. 259. περιγραφεῖσαι ἡμιβαρβαρικαὶ τελεταί, ὧν μετεῖχε καὶ αὕτη, μετὰ κρούσεως κυμβάλων καὶ τυμπάνων ἐτελοῦντο. — τουτωνί] τῶν Ἀθηναίων. — πάντας μᾶλλον] ὅλους τοὺς ἄλλους μᾶλλον ἢ ἐμέ (ὅπερ καὶ προστέθειται ἔν τινι τῶν χειρογρ.).

285. πολλὰ καὶ καλὰ καὶ μεγάλα] ταῦτα κεῖνται βαθμοειδῶς. ὀλίγην ἔχουσιν ἀξίαν τὰ πολλὰ εἰμὴ καὶ καλά, καὶ ταῦτα πάλιν εἰμὴ καὶ μεγάλα, ὅθεν συνεχῶς ἐπιτείνει ὁ ῥήτωρ τὴν ἔννοιαν τοῦ ποσοῦ διὰ προσθήκης ἑτέρας τινὸς ἐννοίας καὶ ἰδίως τῆς τοῦ ποιοῦ, οἷον ἐν §§. 94. «πολλὰ καὶ δίκαια.» — 271. «πολλὰ καὶ δεινά» — 158. «ὑπὸ πολλῶν καὶ πονηρῶν.» κ. ἀ. καὶ ὅμως οἱ ἐκδόται οὐκ οἶδ' ὅπως ἀνεξήγητον ἀφήνουσι τὸν καὶ ἑρμηνεύοντες ἁπλῶς «πολλὰ καλὰ κτλ.» — χειροτονῶν — τετελευτηκόσι] τὸ ἔθος τοῦ δημοσίᾳ θάπτειν τοὺς ἐν πολέμῳ πεσόντας (πρβλ. ἀνωτ. §. 208.) ὑπῆρχεν ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων ἐπὶ Σόλωνος ἔτι (Διογ. Λαέρτ. Α', 55.). περὶ δὲ τῶν ἐπιταφίων λόγων ὁ Διόδωρος (ΙΑ', 33.) εἰπὼν ὅτι «καὶ ὁ τῶν Ἀθηναίων δῆμος ἐκόσμησε τοὺς τάφους τῶν ἐν τῷ περσικῷ πολέμῳ τελευτησάντων,» ἐπιφέρει «καὶ τὸν ἀγῶνα τὸν ἐπιτάφιον τότε πρῶτον ἐποίησε, καὶ νόμον ἔθηκε λέγειν ἐγκώμιον τοῖς δημοσίᾳ θαπτομένοις τοὺς προαιρεθέντας τῶν ῥητόρων.» τοιοῦτοι ἐπιτάφιοι σώζονται ὁ τοῦ Περικλέους παρὰ Θουκυδίδῃ (Β', 35—46.) ὁ ἐν Μενεξένῳ τοῦ Πλάτωνος, καὶ δύο ἕτεροι ὁ μὲν Λυσίου ὁ δὲ Δημοσθένους ἐπιγραφόμενοι. τὸν ἐροῦντα ἐχειροτόνει ὁ δῆμος, ὡς λέγει καὶ ὁ Θουκυδίδης (Β', 34.), «ἀνὴρ ἡρημένος ὑπὸ τῆς πόλεως — λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα· ἢ δὲ βουλὴ εἶχε μόνον τὸ δικαίωμα τοῦ προβάλλειν αὐτόν (ὅθεν καὶ ἡ ἐξῆς φράσις ἐχειροτόνησε προ-

παρ᾽ αὐτὰ τὰ συμβάντα οὐ σὲ ἐχειροτόνησε προβληθέντα, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ᾽ Ἡγήμονα, οὐδ᾽ ἄλλον ὑμῶν οὐδένα, ἀλλ᾽ ἐμέ. καὶ παρελθόντος σοῦ καὶ Πυθοκλέους* ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, καὶ κατηγορούντων ἐμοῦ ταὐτὰ ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτ᾽ ἄμεινον ἐχειροτόνησεν ἐμέ. τὸ δ᾽ αἴτιον 286
οὐκ ἀγνοεῖς μέν, ὅμως δὲ φράσω σοι κἀγώ. ἀμφότερ᾽ ἦδεσαν αὐτοί, τήν τ᾽ ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ᾽ ἧς τὰ πράγματ᾽ ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν· ἃ γὰρ εὐθενούντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύμενοι, ταῦτ᾽ ἐν οἷς ἔπταισεν ἡ πόλις ὡμολογήσατε. τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν ὧν ἐφρόνουν λαβόντας ἄδειαν ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ᾽ ἡγήσαντο αὐτοῖς γεγενῆσθαι. εἶτα καὶ προσ- 287
ήκειν ὑπολαμβάνοντες τὸν ἐροῦντ᾽ ἐπὶ τοῖς τετελευτηκόσι καὶ τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα μήθ᾽ ὁμωρόφιον μήθ᾽ ὁμόσπονδον γεγενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις,

βληθέντα), εἰ καὶ παρὰ Πλάτωνι (Μενέξ. σ. 234.) λέγεται «ὅτι ἡ βουλὴ μέλλει αἱρεῖσθαι ὅστις ἐρεῖ ἐπὶ τοῖς ἀποθανοῦσι» — παρ᾽ αὐτὰ τὰ συμβάντα] οὐχὶ ἀμέσως μετὰ τὴν μάχην, ἀλλὰ μετὰ τὰς περὶ εἰρήνης διαπραγματεύσεις, ὡς δῆλον ἐκ τοῦ ἑξῆς «ἄρτι πεποιηκότα τὴν εἰρήνην.» — εὔφωνον ὄντα] ἴδ. §. 280. τὴν π. τ. ὁ τόνος τῆς φωνῆς σημ. — Δημάδην] υἱὸν Δημέου Παιανιέα, τὰ Φιλίππου πολιτευόμενον (Λουκ. π. παρασ. §. 42.). «ἐν Χαιρωνείᾳ δὲ αἰχμάλωτος γενόμενος ἀφείθη [διὰ τὴν παρρησίαν μεθ᾽ ἧς ἐπέπληξε τὴν Φιλίππου ὕβριν], καὶ πρεσβευτὴς ὑπὲρ τῶν αἰχμαλώτων ἀπεστάλη, οὓς ἀνῆκε Φίλιππος.» Σουίδ. πρβλ. Διόδ. ΙΣΤ΄, 87. καὶ Πλουτ. Φωκ. Λ. — Ἡγήμονα] ἐπίσης φιλιππίζοντα, οὗ μέμνηται καὶ Αἰσχίνης ἐν τῷ Κτησ. §. 25. πρβλ. καὶ Πλουτ. Φωκ. ΛΓ. καὶ ΛΕ. — Πυθοκλέους] υἱοῦ τοῦ Πυθοδώρου ἐκ Κηδῶν, ὡς φαίνεται, φίλου τοῦ Δημ. ὕστερον δὲ φιλιππίσαντος (Δημ. π. παραπρ. §. 225). καὶ-

ΔΗΜΟΣΘ. Π. Τ. ΣΤΕΦ. 11

κῶς ἀπώλετο καὶ οὗτος. Πλουτ. Φωκ. ΛΕ.

286. τὰ πράγματ᾽] τὰ πολιτικά. — εὐθενούντων] εὐοδούντων, εὐημερούντων. χρονικὴ μετοχή. — ταῦτ᾽ — ὡμολογήσατε] τὴν μετὰ Φιλίππου σύμπνοιαν δηλ. — ἔπταισεν] προσέκρουσεν, ἠτύχησεν. — ἄδειαν] ἀσφάλειαν, παρρησίαν. — αὐτοῖς] ἠθικὴ δοτική. ἢ συναπτέα τῷ ἐχθρούς.

287. εἶτα — ὑπολαμβάνοντες — συναλγεῖν] τὸ ῥῆμα τοῦ λόγου τούτου ἐπέρχεται κατωτέρω μετὰ τὸ συγκεφαλαιωτικὸν διὰ ταῦτα (διὰ ταῦτ᾽ ἐμὲ ἐχειροτόνησαν), τὸ δ᾽ ἐν τῷ μεταξὺ τοῦτο δ᾽ ἐώρων κτλ. εἶναι ἕτερος λόγος παρεμπίπτων οὐδὲν ἔχων κοινὸν τούτῳ. — ἐπὶ τοῖς τετελευτηκόσι] κατὰ τοπικὴν ἔννοιαν ἰδίως ἐκληπτέον τοῦτο, = ἐπὶ τῶν μνημάτων τῶν τετελευτηκότων, ἔπειτα δὲ γενικώτερον καὶ πρὸς τιμὴν καὶ μνήμην αὐτῶν (πρβλ. πρ. Λεπτ. §. 141. «μόνοι τῶν ἁπάντων ἀνθρώπων ἐπὶ τοῖς τελευτήσασι δημε-

μηδ' ἐκεῖ μὲν κωμάζειν καὶ παιωνίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντα τιμᾶσθαι, μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινόμενον τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν· τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρὰ δ' ὑμῖν οὔ· διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν
288 καὶ οὐχ ὑμᾶς. καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ ἀδελφοὶ οἱ ὑπὸ τοῦ δήμου τόθ' αἱρεθέντες ἐπὶ τὰς ταφὰς ἄλλως πως, ἀλλὰ δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον ὡς παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥσπερ τἄλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί. εἰκότως· γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω· ᾧ γὰρ ἐκείνους σωθῆναι* καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ παθόντων ἃ μήποτ' ὤφελον τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχεν.

289 Λέγε δ' αὐτῷ τουτὶ τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προεί-

μοσίᾳ ποιεῖτε λόγους ἐπιταφίους, ἐν οἷς κοσμεῖτε τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἔργα.»). W. — μηδ' ἐκεῖ] παρὰ τῷ ἐχθρῷ.—κωμάζειν καὶ παιωνίζειν] μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ὁ Φίλιππος ἐπὶ δεῖπνον εἶχε καλέσει τοὺς παραγενομένους αὐτῷ τῶν Ἀθηναίων πρέσβεις κατὰ Θεόπομπον παρ' Ἀθην. Ι', 435. τοῦτο ὀνειδίζει τῷ Αἰσχίνῃ ὁ ῥήτωρ. τοιαῦτά τινα εἶπε κατ' αὐτοῦ καὶ ἐν τῷ π. παραπρ. §. 128. «οὗτος εἰς ταπινίκια τῶν πραγμάτων καὶ τοῦ πολέμου [τοῦ Φωκικοῦ], ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον, εἰστιᾶτο ἐλθὼν καὶ σπονδῶν μετεῖχε καὶ εὐχῶν, ἃς ἐπὶ τοῖς τῶν συμμάχων τῶν ὑμετέρων τείχεσι καὶ χώρᾳ καὶ ὅπλοις ἀπολωλόσιν εὔχετο ἐκεῖνος, καὶ συνεστεφανοῦτο καὶ συνεπαιώνιζεν Φιλίππῳ καὶ φιλοτησίας προὔπινεν.»—τῇ φωνῇ δακρύειν ὑποκρινόμενον] ἴσως ὑπαινίττεται τὰ ἐν §. 137. τοῦ κ. Κτησ. πρβλ. ἀνωτ. §. 41. καὶ τὴν αὐτ. σημ.—τοῦτο δ'] τὸ τῇ ψυχῇ συναλγεῖν. — διὰ ταῦτ'] διὰ ταῦτα λέγω (= διότι πρέπει τὸν ἐπὶ τοῖς τετελευτηκόσιν ἐροῦντα εἶναι τοιοῦτον καὶ τοιοῦτον).

288. ὁ μὲν δῆμος] ἐκ τοῦ κατωτέρω «τοῦτ' ἐποίησαν» καὶ ἐνταῦθα κατ' ἀναλογίαν ἐννοεῖται τὸ ἐποίησεν. — ἐπὶ τὰς ταφάς] κατὰ βραχυλογίαν = ἐπὶ τὴν τῶν ταφῶν παρασκευήν. πρβλ. τὸ κατωτ. ἐν §. 312. «εἰς τὴν ἐπιτιμίαν.» οὕτω καὶ ἐν §. 27. τοῦ κ. Κτησ. «ἐλέσθαι τοὺς ἐπιμελησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη» = ἐπὶ τὴν τῶν τειχῶν ἐπισκευήν. — ὡς παρ' οἰκειοτάτῳ] τὸ ὡς ἐπιτατικὸν καὶ οὐχὶ ὁμοιωματικόν, = παρά τινι ὡς οἰκειοτάτῳ τῶν τετελ.— τἄλλ'] τἆλλα ἐν ταῖς ἐπικηδείοις τελεταῖς νομιζόμενα, ὧν τὸ τελευταῖον ἦν τὸ περίδειπνον. πρβλ. Λουκ. π. πένθ. §. 24.—παρ' ἐμοί] ἐνταῦθα ταὐτὸ τῷ γαλλικῷ chez moi (= ἐν τῇ οἰκίᾳ τῇ ἐμῇ). — κοινῇ] ἀντίθετον τοῦ ἐν τῷ γένει (= γενεᾷ) περιλαμβανομένου ἰδίᾳ. W. — ἕκαστος ἑκάστῳ] ἕκαστος τῶν ὑπὸ τοῦ δήμου ἐπὶ τὰς ταφὰς αἱρεθέντων ἑκάστῳ τῶν τετελευτηκότων. — ὤφελον] ἐννοεῖται τὸ παθεῖν.

289. αὐτῷ] ἠθικὴ δοτική. — δημοσίᾳ—ἐπιγράψαι] οἱ τάφοι τῶν ἐν Χαιρωνείᾳ πεσόντων ἐκείντο κατὰ Παυσανίαν (Ἀττικ. ΚΘ', 13.) ἐν τῷ

λετο ἡ πόλις αὐτοῖς ἐπιγράψαι, ἵν' εἰδῇς, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. λέγε.

ΕΠΙΓΡΑΜΜΑ.

[Οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο
ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν.
μαρνάμενοι δ' ἀρετῆς καὶ λήματος οὐκ ἐσάωσαν
ψυχάς, ἀλλ' Ἀΐδην κοινὸν ἔθεντο βραβῆ,
(5) οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες
δουλοσύνης στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν.
γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις·

ἔξω Κεραμεικῷ κατὰ τὴν ὁδὸν τὴν ἐς Ἀκαδημίαν (ἴδ. καὶ ἀνωτ. §. 208. σημ.). αἱ δ' ἐπὶ τοῖς τάφοις στῆλαι ἐκοσμοῦντο διά τε ἐπιγραφῶν τὰ ὀνόματα, καὶ τὸν δῆμον ἑκάστου τῶν πεσόντων σημαινουσῶν (Παυσ. Αττικ. 4.—Θουκυδ. Β', 43.), καὶ δι' ἐπικηδείων ἐπιγραμμάτων, οἷον τὸ παρ' Ἡροδότῳ (Ζ', 228.) ἐπὶ τοὺς ἐν Θερμοπύλαις πεσόντας Σπαρτιάτας, κ. ἄ. ἴδ. ἐπικήδ. ἐπιγράμμ. Σιμωνίδου.

ΕΠΙΓΡΑΜΜΑ] καὶ τοῦτο προσετέθη μεταγενεστέρως, ὅθεν καὶ λείπει καὶ ἐν χειρογρ. ΣΑks. ἀγνοεῖται καὶ ὁ ποιητὴς αὐτοῦ. ἐν δὲ τῷ πεζῷ λόγῳ ἀπηθανάτισε τὴν μνήμην τῶν ἐν Χαιρωνείᾳ πεσόντων τούτων ὁ Λυκοῦργος ἐν §. 46—51. τοῦ κ. Λεωκρ.· πρὸς τούτους ἀναφέρεται καὶ ὁ Δημοσθένους ἐπιγραφόμενος ἐπιτάφιος. W.—στ. 1. εἰς δῆριν — ὅπλα] ἔθεντο ὅπλα εἰς πόλεμον, ἵνα πολεμήσωσιν. — ἀντιπάλων ὕβριν ἀπεσκέδασαν] κατὰ τὴν ἔκβασιν τῆς μάχης ἐπίσης ὑπερβολικόν, ὡς καὶ τὸ τοῦ Λυκούργου (§. 49.) καίτοι κολάζοντος αὐτὸ διὰ προδιορθώσεως, «εἰδὲ δεῖ παραδοξότατον μὲν εἰπεῖν, ἀληθὲς δέ, ἐκεῖνοι νικῶντες ἀπέθανον.» W. — στ. 3. μαρνάμενοι] ἐκ τοῦ μάρη (ἡ χείρ) μάρνασθαι τὸ διὰ τῶν χειρῶν μάχεσθαι, ὅθεν καὶ εὐμαρής, ὁ εὐχερής. B. — λήματος] =θελήσεως, φρονήματος, κατὰ διόρθωσιν τοῦ Valckenaer, τὰ χειρόγρ. ἔχουσι δείματος. προσδιορίζει δέ, ὡς καὶ ἡ ἑτέρα γενικὴ ἀρετῆς, τὸ βραβῆ καθ' ὑπερβατόν,=μαρνάμενοι δὲ οὐκ ἔσωσαν ψυχάς, ἀλλ' ἄδην κοινὸν ἔθεντο βραβευτὴν ἀρετῆς καὶ μεγαλοφροσύνης. ὅμοιόν τι ὑπερβατὸν εὑρηται ἐν Ξενοφ. Ἑλλ. Ζ'. γ'. 7. «ὑμεῖς τοὺς περὶ Ἀρχίαν καὶ Ὑπάτην—, οὐ ψῆφον ἀνεμείνατε, ἀλλὰ ὁπότε πρῶτον ἐδυνάσθητε ἐτιμωρήσασθε.» W. — στ. 5. — Ἀΐδην—ἔθεντο βραβῆ] μεταφορικῶς,=ἔλαβον βραβεῖον τὸν κοινὸν θάνατον. ὁ D. τὸ κοινὸν συνάπτει τῷ βραβῆ, γενικωτέραν ὅμως ἔννοιαν σχηματίζει συναπτόμενον τῷ προσεχεῖ Ἀΐδην.—οὕνεκεν Ἑλλήνων] οὕτω καὶ Λυκοῦργος (§. 47) «ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας μαχούμενοι.» καὶ (§. 50.) «μόνοι γὰρ τῶν ἁπάντων τὴν τῆς Ἑλλάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον. ἅμα γὰρ οὗτοί τε τὸν βίον μετήλλαξαν, καὶ τὰ τῆς Ἑλλάδος εἰς δουλείαν μετέπεσεν. συνετάφη γὰρ τοῖς τούτων σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθερία.» — στ. 6. ἀμφὶς ἔχωσιν] περὶ ἑαυτοὺς ἔχωσιν. περιβάλλωνται. — στ. 8. σώματ'] τὰ ὁστᾶ [ὡς παρὰ Θουκυδίδῃ Β', 34.], διότι τὰ σώματα αὐτῶν εἶχον καῆ ἐπὶ τοῦ πεδίου τῆς μάχης. W. — στ. 7. ἥδε κρίσις] ἡ ἐξῆς ῥηθησομένη.

μηδὲν ἁμαρτεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν
(10) ἐν βιοτῇ μοῖραν δ' οὔ τι φυγεῖν ἔπορεν.]

290 Ἀκούεις, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ, μηδὲν ἁμαρτεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν, οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν, ἀλλὰ τοῖς θεοῖς. τί οὖν, ὦ κατάρατ', ἐμοὶ περὶ τούτων λοιδορεῖ, καὶ λέγεις ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν;

291 Πολλὰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου, μάλιστ' ἐθαύμασα πάντων, ὅτε τῶν συμβεβηκότων τότε τῇ πόλει μνησθεὶς οὐχ ὡς ἂν εὔνους καὶ δίκαιος πολίτης ἔσχε τὴν γνώμην, οὐδ' ἐδάκρυσεν, οὐδ' ἔπαθε τοιοῦτον οὐδὲν τῇ ψυχῇ, ἀλλ' ἐπάρας τὴν φωνήν, καὶ γεγηθὼς καὶ λαρυγγίζων ᾤετο μὲν ἐμοῦ κατηγορεῖν δῆλον ὅτι, δεῖγμα δ' ἐξέφερε καθ' ἑαυτοῦ, ὅτι τοῖς γεγενημένοις
292 ἀνιαροῖς οὐδὲν ὁμοίως ἔσχε τοῖς ἄλλοις. καίτοι τὸν τῶν νόμων καὶ τῆς πολιτείας φάσκοντα φροντίζειν, ὥσπερ οὗτος νυνί, καὶ εἰ μηδὲν ἄλλο, τοῦτό γ' ἔχειν δεῖ, ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι. ὃ σὺ νυνὶ πεποιηκὼς εἶ φα-

— στ. 9. μηδὲν ἁμαρτεῖν] = μηδαμῶς ἀποτυχεῖν. — στ. 10. οὔτι] οὐδαμῶς. — ἔπορεν] ἔδωκεν (ὁ Ζεὺς τοῖς ἀνθρώποις).

290. ἐν αὐτῷ τούτῳ] τῷ ἐπιγράμματι. — ἀνέθηκε] ὁ ποιητής. — περὶ τούτων] τῶν ἀτυχημάτων. — σοὶ καὶ τοῖς σοῖς — εἰς κεφαλήν] σχῆμα καθ' ὅλον καὶ μέρος, οὕτω καὶ ἐν §. 294. «οἷς ἂν — τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες.»

291. τῶν συμβεβηκότων] ἀτυχημάτων ἐννοεῖ, ὡς καὶ ἀνωτ. §. 199. ἐσημείωται. — ὡς ἂν] ἐννοεῖται τὸ ἔχοι· οὕτως ἐλλειπτικῶς κεῖται καὶ ἐν Ὀλυνθ. Α. §. 21. «οὐδ' ὡς ἂν κάλλιστ' αὐτῷ τὰ παρόντα ἔχει.» — εὔνους] τῇ πόλει. — τοιοῦτον] οἷον τὸ δακρύειν. — λαρυγγίζων] «λαρυγγίζειν τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι ἐλέγετο.» Ἁρποκρ. — τοῖς γεγενημένοις] ἓν μόνον χειρόγρ. ἔχει ἐμπροθέτως «ἐπὶ τοῖς γεγενημένοις.» — τοῖς ἄλλοις] προσδιορίζει τὸ ὁμοίως· οὕτω καὶ ὀλίγον κατωτέρω «ταὐτὰ λυπεῖσθαι — τοῖς πολλοῖς.»

292. ὥσπερ οὗτος νυνί] ἐν τῷ κατὰ Κτησ. δι' ὅλου μὲν τοῦ λόγου, μάλιστα δὲ ἀπὸ §§. 1—49. καὶ 177—200. — καὶ εἰ μηδὲν ἄλλο] ἐννοεῖται τὸ ἔχει· οὕτως ἐλλειπτικῶς λέγομεν καὶ ἡμεῖς, «ἂν ὄχι τίποτ' ἄλλο, τοῦτο τουλάχιστον πρέπει νἄχῃ.» — τῇ προαιρέσει τῶν κοινῶν] ταὐτὸ τῷ ἐν §. 192. «τῇ προ-

νερός, ἐμὲ πάντων αἴτιον καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων
ἐμπεσεῖν τὴν πόλιν, οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας οὐδὲ προαι-
ρέσεως ἀρξαμένων ὑμῶν τοῖς Ἕλλησι βοηθεῖν· ἐπεὶ ἔμοι γ' εἰ 293
τοῦτο δοθείη παρ' ὑμῶν, δι' ἐμὲ ὑμᾶς ἠναντιῶσθαι τῇ κατὰ
τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ, μείζων ἂν δοθείη δωρεὰ συμ-
πασῶν ὧν τοῖς ἄλλοις δεδώκατε. ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα
φήσαιμι (ἀδικοίην γὰρ ἂν ὑμᾶς), οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι συγ-
χωρήσαιτε· οὗτός τ' εἰ δίκαια ἐποίει, οὐκ ἂν ἕνεκα τῆς πρὸς
ἐμὲ ἔχθρας τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτε καὶ διέ-
βαλλεν.

Ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερα ἄλλα κατη- 294
γορηκότος αὐτοῦ καὶ κατεψευσμένου; ὃς γὰρ ἐμοῦ φιλιππι-
σμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ, τί οὗτος οὐκ ἂν εἴποι; καί
τοι νὴ τὸν Ἡρακλέα καὶ πάντας θεούς, εἴ γ' ἐπ' ἀληθείας
δέοι σκοπεῖσθαι, τὸ καταψεύδεσθαι καὶ δι' ἔχθραν τι λέγειν
ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀληθῶς εἰσιν οἷς ἂν εἰκότως καὶ
δικαίως τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν
ἅπαντες, τοὺς ὁμοίους τούτῳ* παρ' ἑκάστῃ τῶν πόλεων εὕ-
ροιτ' ἄν, οὐ τοὺς ἐμοί· οἵ, ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγ- 295
ματα καὶ κομιδῇ μικρά, πολλάκις προλεγόντων ἡμῶν καὶ

αιρέσει τῆς πολιτείας.»— πάντων] οὕτως ἀορίστως «πάντων αἰτίαν» εἶπε καὶ ἐν §. 270. ἴδ. τὴν αὐτόθι σημ. — εἰς πράγματα] κατ' εὐφημισμὸν ἀντὶ τοῦ εἰς ἀτυχήματα, ὡς ἔχει τὸ τοῦ Αἰσχίνου, πρὸς ὃ ταῦτα ἀναφέρονται· «προσδοκῶ ἐπιδείξειν — τῶν ἀτυχημάτων ἁπάντων Δημοσθένην αἴτιον γεγενημένον.» κ. Κτησ. §. 57. W.

293. ἠναντιῶσθαι] ἐπεξήγησις τοῦτο. — πραττομένῃ] ἐνεργουμένῃ, διοργανιζομένῃ· ἐννοεῖ δὲ τὴν μακεδονικὴν δυναστείαν. — οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι] καὶ ὅμως ἀνωτέρω (ἐν §. 88.), ἔνθα προὔκειτο περὶ ἐπαίνων, τιμῶν, στεφάνων καὶ χαρίτων ἃς ἀπήλαυσεν ἡ πόλις διαπράξασα τὰς αὐτοῦ συμβουλάς, εἶπεν ὁ ῥήτωρ τοιαῦτά τινα, ἐνταῦθα ὅμως ἕνεκα τῆς δυσχοῦς ἐκβάσεως τῶν κατὰ ψήφισμα αὐτοῦ πεπραγμένων φαίνεται μᾶλλον τῷ τῆς πόλεως φρονήματι ἑπόμενος. — τὰ μέγιστα τῶν ὑμετέρων καλῶν] ἴδε πῶς χαρακτηρίζει τὸν ἐν Χαιρωνείᾳ ἀγῶνα.

294. κατηγορηκότος] ἀντικείμ. ἐννοεῖται ἐμοῦ. — ἐμοῦ φιλιππισμόν — κατηγορεῖ] φιλιππισμὸν κατηγόρησε Δημοσθένους Αἰσχίνης συνεχῶς, οἷον ἐν §. 61. 66. 69—72. 81. 149. κ. ἀ. τοῦ κ. Κτησ. — νὴ τὸν Ἡρακλέα καὶ πάντας θεούς] ἄπορόν μοι εἶναι, ἐπὶ τίνι λόγῳ ὁ ῥήτωρ ἐνταῦθα ἐκ πάντων θεῶν τὸν Ἡρακλέα μόνον διαμαρτύρεται οὕτως ὀνομαστί. — τούτῳ] τῷ Αἰσχίνῃ.

295. ἡμῶν] = ἐμοῦ καὶ τῶν ἐ-

παρακαλούντων καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ᾽ αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος, Κινέας, Θρασύδαος, Ἀρκάδας Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαμπίδας, Ἀργείους Μύρτις, Τελέδαμος, Μνασέας, Ἠλείους Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος, Μεσσηνίους οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες Νέων καὶ Θρασύλοχος, Σικυωνίους Ἀρίστρατος, Ἐπιχάρης, Κορινθίους Δείναρχος, Δημάρατος, Μεγαρέας Πτοιόδωρος, Ἐλιξος, Περίλαος, Θηβαίους Τιμόλας, Θεογείτων, Ἀνεμοίτας,
296 Εὐβοέας Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος. ἐπιλείψει με

μοφρόνων ἐμοί. — τοὺς ὑπάρχοντας] τοὺς ἐν ταῖς πόλεσιν αὐτῶν ὑπάρχοντας = τοὺς ἑαυτῶν. — ἕκαστοι — διαφθείροντες ἕως δούλους ἐποίησαν] ὁ Πολύβιος (ΙΖ΄, 14.) ἐπικρίνων Δημοσθένην ὅτι « πικρότατον ὄνειδος τοῖς ἐπιφανεστάτοις τῶν Ἑλλήνων εἰκῇ καὶ ἀκρίτως προσέρριψε φήσας » ταῦτα, καὶ ἐπιφέρων « εἰδὲ τηροῦντες τὰ πρὸς τὰς πατρίδας δίκαια κρίσει πραγμάτων διεφέροντο, νομίζοντες οὐ ταὐτὸ συμφέρον Ἀθηναίοις εἶναι καὶ ταῖς ἑαυτῶν πόλεσιν, οὐ δήπου διὰ τοῦτο καλεῖσθαι προδότας ἐχρῆν αὐτοὺς ὑπὸ Δημοσθένους. ὁδὲ πάντα μετρῶν πρὸς τὸ τῆς ἰδίας πατρίδος συμφέρον καὶ πάντας ἡγούμενος δεῖν τοὺς Ἕλληνας ἀποβλέπειν πρὸς Ἀθηναίους, εἰδὲ μὴ προδότας ἀποκαλεῖν, ἀγνοεῖν μοι δοκεῖ καὶ πολὺ παραπεσεῖν τῆς ἀληθείας » φαίνεται ἄντικρυς αὐτὸς μᾶλλον παραπεσὼν πολὺ τῆς ἀληθείας, καὶ ἀγνοῶν ὅτι ὁ κατὰ τῆς μακεδονικῆς δυναστείας συνασπισμὸς γενικὸν συμφέρον ἦν τῶν Ἑλλήνων ἁπάντων ὀρθῶς φρονούντων, ὡς ἀπέδειξεν ἡ ἐν Χαιρωνείᾳ μάχη ἀφαιρέσασα τὴν αὐτονομίαν συμπάσης τῆς Ἑλλάδος καὶ οὐχὶ τῶν Ἀθηνῶν μόνον. ἄλλως δὲ καὶ παρ᾽ ἄλλοις ἐξιστόρηνται οἱ πλεῖστοι τούτων ὡς κόλακες καὶ προδόται, οὓς ὁ καλὸς Πολύβιος ἐπιφανεστάτους τῶν Ἑλλήνων καλεῖ.— Δάοχος, Θρασύδαος] ἴδ. ἀνωτ. τὴν ἐν §. 211. π. τ. τῶν ἄλλων συμμάχων σημ.. τὸν Θρασύδαον καὶ Θεόπομπος παρ᾽ Ἀθηναίῳ (ΣΤ΄, 219.) καλεῖ « μικρὸν μὲν ὄντα τὴν γνώμην, κόλακα δὲ μέγιστον. » — Ἱερώνυμος, Εὐκαμπίδας] ἐκ Μαινάλου (πόλεως τῆς Ἀρκαδίας), αἱρεθέντες πρὸς πολλοῖς ἄλλοις εἰκιταὶ τῆς Μεγαλοπόλεως (Παυσ. Ἀρκαδ. ΚΖ΄, 2.). πρὸς τοῦτον τὸν Ἱερώνυμον ὑπὲρ Φιλίππου λέγοντα ἀντέστη Αἰσχίνης ἐν τῇ εἰς Μεγαλόπολιν πρεσβείᾳ αὐτοῦ, ὅτε δὲν εἶχεν ἔτι διαφθαρῇ ὑπὸ Φιλίππου (Δημ. π. παραπρ. §. 11.). — οἱ Φιλιάδου παῖδες] οὓς φυγόντας ὑπὸ Μεσσηνίων κατήγαγεν Ἀλέξανδρος (Δημ. π. τ. πρ. Ἀλέξ. συνθ. §. 4.). — Δείναρχος] οὐ κακῶς ἀπολομένου μνείαν ποιεῖται καὶ Πλούταρχος (Φωκ. ΛΓ.), ἑτέρου τινὸς παρὰ τὸν ῥήτορα Δείναρχον καίτοι Κορίνθιον καὶ τοῦτον. — Δημάρατος] « εὔνους καὶ πατρῷος φίλος Ἀλεξάνδρου φιλοτιμηθεὶς ἤδη πρεσβύτερος ὢν πρὸς Ἀλέξανδρον εἰς Ἀσίαν ἀναβῆναι » (Πλουτ. Ἀλέξ. 37. 56. πρβλ. Ἀρριαν. Ἀνάβ. Α΄, 15, 6.). — Πτοιόδωρος] « καὶ πλούτῳ καὶ γένει καὶ δόξῃ πρῶτος Μεγαρέων. » Δημ. π. παραπρ. §. 295. — Πλουτ. Δίων ΙΖ. — Ἵππαρχος Κλείταρχος] ὧν μέμνηται ὁ Δημ. καὶ ἐν τῷ κ. Φιλ. Γ΄, §. 58. περὶ Κλειτάρχου ἴδ. καὶ ἀνωτ. §. 71 καὶ 81.

λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα. οὗτοι πάντες εἰσίν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων ἐν ταῖς αὑτῶν πατρίσιν ὥνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην αὐτῶν, ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετραφότες.

Ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστά- 297
σεως καὶ κακίας, μᾶλλον δ', ὦ ἄνδρες* Ἀθηναῖοι, προδοσίας, εἰ δεῖ μὴ ληρεῖν, τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων καὶ ἐγὼ παρ' ὑμῖν. εἶτά μ' ἐρωτᾷς, ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; ἐγὼ δέ σοι λέγω, ὅτι τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι διαφθαρέντων ἁπάντων, ἀρξαμένων ἀπὸ σοῦ, πρότερον μὲν ὑπὸ Φιλίππου, νῦν δ' ὑπ' Ἀλεξάνδρου, ἐμὲ οὔτε καιρὸς οὔ- 298
τε φιλανθρωπία λόγων οὔτ' ἐπαγγελιῶν μέγεθος οὔτ' ἐλπὶς οὔ-

296. λέγοντα] καταλέγοντα, ἐπαριθμοῦντα. — οὗτοι — εἰσὶν — τῶν αὐτῶν βουλευμάτων] εἰσὶν ἄνδρες κάτοχοι τῶν αὐτῶν βουλευμάτων (ἔχοντες τὰ αὐτὰ βουλ.), ὡς λέγομεν, «ἀνὴρ γενναίου φρονήματος, ἀκεραίου χαρακτῆρος κτλ.» — ἀλάστορες] τῆς αὐτῆς ῥίζης τῷ ἀλιτήριοι, κακοὶ δαίμονες, ὀλέθριοι. Β. κ. Ρ. — ἠκρωτηριασμένοι] «ἀντὶ τοῦ λελυμασμένοι. οἱ γὰρ λυμαινόμενοι τισιν εἰώθασι περικόπτειν αὐτῶν τὰ ἄκρα. — τὸ μέντοι ἠκρωτηριασμένοι ἀντὶ τοῦ ἐνεργητ. ἠκρωτηριακότες κεῖται.» Ἁρποκρ. οὕτω μεταφορικαὶ εἶναι καὶ αἱ ὑπ' Αἰσχίνου (κ. Κτησ. §. 166.) ψεγόμεναι φράσεις τοῦ Δημ. «ἀνατετμήκασί τινες τὰ κλήματα τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων.» πρβλ. κ. Φιλ. Γ, §. 22. καὶ Ολυνθ. Γ, §. 31. — τὴν ἐλευθερίαν προπεπωκότες — Ἀλεξάνδρῳ] ἡ φράσις προῆλθεν ἐκ τοῦ ἔθους, καθ' ὃ οἱ προπίνοντές τινι ἐδωροῦντο αὐτῷ καὶ τὸ ἔκπωμα καὶ ἄλλα τινὰ δῶρα, οἷον ἐν Ξενοφ. Ἀναβ. Ζ', γ', 26. «προπίνω σοι ὦ Σεύθη καὶ τὸν ἵππον τοῦτον δωροῦμαι κτλ.» πρβλ. Δημ. π. παραπρ. §. 139. «ὁ Φίλιππος ἄλλα τε δὴ πολλά, οἷον αἰχμάλωτα καὶ τοιαῦτα, καὶ τελευτῶν ἐκπώματ' ἀργυρᾶ καὶ χρυσᾶ προὔπινεν αὐτοῖς.» — τοῖς αἰσχίστοις] τὰς σαρκικὰς ἡδονὰς ἐννοεῖ. — ἃ] εἰς πληθυντικὸν κατὰ συνεφέλκυσιν τῷ ἑξῆς ὅροι καὶ κανόνες.

297. ἐκ τῶν — πολιτευμάτων] τὸ ὀργανικὸν αἴτιον δηλοῖ. πρβλ. κ. Κτησ. §. 79. — εἶτά μ' ἐρωτᾷς] ἐν §. 236. τοῦ κ. Κτησ. «ἡδέως δ' ἂν ἔγωγε, — ὁμολογησαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἄξιοι Δημοσθένην στεφανῶσαι.» — ἀρξαμένων ἀπὸ σοῦ] φράσις ἴση ἑτέρᾳ ἐπίσης εὐχρήστῳ τῇ «ὢν πρῶτος εἶ σύ.».

τε φόβος οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν οὐδὲ προηγάγετο ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι οὐδὲν προδοῦναι, οὐδ', ὅσα συμβεβούλευκα πώποτε τουτοισί, ὁμοίως ὑμῖν ὥσπερ ἂν τρυτάνη ῥέπων ἐπὶ τὸ λῆμμα συμβεβούλευκα, ἀλλ' ἀπ' ὀρθῆς καὶ δικαίας καὶ ἀδιαφθόρου τῆς ψυχῆς, καὶ μεγίστων δὴ πραγμάτων τῶν κατ' ἐμαυτὸν ἀνθρώπων προστὰς πάντα ταῦτα ὑγιῶς καὶ δικαίως πεπολίτευμαι. διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι. τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρεί- 299
αν ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω, πῶς γὰρ οὔ; πόρρω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγώ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα καὶ πόλεις καὶ τόπους καὶ λιμένας καὶ ναῦς καὶ πολλοὺς ἵππους καὶ τοὺς ὑπὲρ τούτων ἀ- 300
μυνομένους. ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον

298. πώποτε] καὶ ἐνταῦθα ἄνευ προηγουμένης ἀρνήσεως = ποτέ. πρβλ. §§. 139. καὶ 312. — ἂν τρυτάνη] ἀπὸ κοινοῦ ἐννοεῖται τὸ ῥέποι. τὴν αὐτὴν παραβολὴν ἴδ. καὶ ἐν τῷ περὶ εἰρήνης §. 12. — ἀλλ' ἀπ' ὀρθῆς — τῆς ψυχῆς] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ συμβεβούλευκα, ὥστε περιττὴ ἡ μετὰ τὸ τῆς ψυχῆς προσθήκη τὰ πάντα μοι πέπρακται. — μεγίστων — τῶν κατ' ἐμαυτὸν ἀνθρώπων] σύμπτυξις ἰδεῶν, ἧς τοσαῦτα παραδείγματα εἴδομεν ἐν τῷ λόγῳ τούτῳ, = μεγίστων ἢ ὧν προέστησαν οἱ κατ' ἐμαυτὸν ἄνθρωποι. — τῶν κατ' ἐμαυτόν] τῶν κατὰ τὴν ἐμαυτοῦ τάξιν, τῶν ῥητόρων δηλ. καὶ οὐχὶ τῶν στρατηγῶν, ἀρχόντων, κλπ. πρβλ. καὶ κατωτ. §. 318. τὴν π. τ. τοὺς καθ' αὑτόν σημ.

299. τειχισμὸν — ταφρείαν] ἴδ. ἀνωτ. §. 248. σημ. — διέσυρες] κ. Κτησ. §. 236. «εἰ μὲν γὰρ λέγεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου (τοῦ Κτησιφ.). τοῦ γὰρ ταῦτ' ἐξεργασθῆναι καλῶς τὸ γεγενῆσθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει· οὐ γὰρ περιχαρακώσαντα χρὴ τὰ τείχη οὐδὲ τὰς δημοσίας ταφὰς ἀνελόντα τὸν ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινος αἴτιον γεγενημένον τῇ πόλει.» — οὐ λίθοις] ὃ ἔνιοι ἐκδόσεσι μετὰ τὸν οὐ κείμενος γὰρ ἐξασθενοῖ τὸν λόγον. καλὸν τὸ ἀσύνδετον. B. κ. P. — οὐ λίθοις ἐτείχισα] πρβλ. [Δημάδ.] ἀποσπ. §. 2. «τὸν ἡσύχιον βίον ἠγαπηκώς, — ᾧ τὴν Ἀττικὴν ἐτείχισα, τοὺς ὅρους τῆς χώρας περιβαλὼν οὐ λίθοις, ἀλλὰ τῇ τῆς πόλεως ἀσφαλείᾳ,» καὶ τὸ παρὰ Πλουτάρχῳ (Λυκ. ΙΘ.) ἀπόφθεγμα Λυκούργου «οὐκ ἂν εἴη ἀτείχιστος πόλις, ἅτις ἀνδρείοις καὶ οὐ πλίνθοις ἐστεφάνωται.» — μέγιστον] συναπτέον τῷ φρονῶ. — ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν κτλ.] πρβλ. ἀνωτ. τὴν ἐν §. 188. σημ. — ναῦς καὶ πολλοὺς ἵππους] τὸ ἐπίθετον ἐκλαμβάνεται καὶ ἐπὶ τοῦ ναῦς. πρβλ. §. 33. σημ. — ὑπὲρ τούτων] τούτων τῶν εἰρημένων καὶ οὐχὶ τῶν Ἀθηναίων [ὡς σημειοῖ ὁ Yost]. B. κ. P.

ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατόν, καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον* τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεος. οὐδέ γ' ἠττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου, πολλοῦ γε καὶ δεῖ, οὐδὲ ταῖς παρασκευαῖς, ἀλλ' οἱ τῶν συμμάχων στρατηγοὶ καὶ αἱ δυνάμεις τῇ τύχῃ. τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί. σκοπεῖτε δέ.

Τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν, τί τὸν μετὰ πάσης 301
προνοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων τοὺς ὁμόρους ταύτῃ; οὐ τὴν σιτοπομπίαν, ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται, προϊδέσθαι; καὶ τὰ μὲν σῶσαι τῶν 302
ὑπαρχόντων ἐκπέμποντα βοηθείας καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον, τὴν Χερρόννησον, τὴν Τένεδον, τὰ δ' ὅπως οἰκεῖα καὶ σύμμαχ' ὑπάρξει πρᾶξαι, τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχου-

300. οὐχὶ τὸν κύκλον τοῦ — ἄστεος] ἀντιθέτως τῷ γενικωτέρῳ τὴν χώραν. πρβλ. καὶ Θουκυδ. Β, 13. — οἱ τῶν συμμάχων στρατηγοί] ἐννοεῖται τὸ ἠττήθησαν. ἄλλως ὅμως ἐφρόνουν οἱ Ἀθηναῖοι μετὰ τὴν ἧτταν θάνατον καταγνόντες Λυσικλέους στρατηγοῦντος μετὰ Χάρητος (Διόδ. ΙΣΤ', 88. καὶ 85.) καὶ Στρατοκλέους (Αἰσχ. κ. Κτησ. §. 143.). ἐκ δὲ τῶν συμμάχων στρατηγῶν γνωστοὶ εἶναι μόνον οἱ Θηβαῖοι Θεαγένης (Πλουτ. Ἀλέξ. ΙΒ'.) καὶ Πρόξενος ὁ «ἐπὶ τοῖς ξένοις τοῖς εἰς Ἀμφισσαν συλλεγεῖσι» (Δειν. κ. Δημ. §. 74.). W.

301. Εὔβοιαν—Βοιωτίαν] πρβλ. τὰ ἀνωτ. ἐν §. 229. κ. έ.—τοὺς ὁμόρους ταύτῃ] τῇ Ἀττικῇ· Μέγαρα, Κόρινθον, Ἀχαΐαν. πρβλ. τὰ ἐν §. 237.— τὴν σιτοπομπίαν —προϊδέσθαι] οὕτω καὶ ἐν τῷ κ. Κόνωνος §. 17. «τὰς ἀναγκαίας προφάσεις, ὅπως μὴ μείζους γίγνωνται, προεῖδοντο.» περὶ τῆς σιτοπομπίας πρβλ. ἀνωτ. §. 87. καὶ 241.— παρὰ πᾶσαν φιλίαν] ἐννοεῖται τὸ χώραν.

302. καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα] οἷα ἔλεγον καὶ ἔγραφον ἐγώ. — τὴν Προκόννησον — Τένεδον] ἐπεξήγησις τοῦ «τὰ μὲν τῶν ὑπαρχόντων.» — Προκόννησον] νῆσον τῆς Προποντίδος σύμμαχον Ἀθηναίοις κατ' Ὀλ. ρδ', γ', 362. (Δημ. πρ. Πολυκλ. §. 5.). — Χερρόννησον] ἴδ. ἀνωτ. §. 80. σημ. — Τένεδον] νῆσον πλησίον τῆς Τρωϊκῆς παραλίας περισπούδαστον Ἀθηναίοις ἕνεκα τῆς θέσεως αὐτῆς. ἦν δ' ὑπὸ Ἀθηναίους ἔτι κατ' Ὀλ. ρδ', δ', 361. (Δημ. πρ. Πολυκλ. §. 53. κ. έ.). ἐν δὲ τῷ κ. Θεοκρίνου §. 35. γίνεται λόγος περὶ ψηφίσματός τινος «ὃ Ἀντιμέδων ἔγραψε τοῖς Τενεδίοις.» W. — Βυζάντιον] ἴδ. ἀνωτ. §. 87. σημ.— Ἄβυδον] πόλιν ἐπὶ τοῦ στενοτάτου μέρους τοῦ Ἑλλησπόντου κατὰ τὴν Ἀσιατικὴν παραλίαν. ὁ Δημ. ἐν τῷ κ. Ἀριστοκρ. §. 158. ἅπαντα τὸν χρόνον

σῶν δυνάμεων τὰς μεγίστας ἀφελεῖν, ὧν δ' ἐνέλειπε τῇ πόλει, ταῦτα προσθεῖναι; ταῦτα τοίνυν ἅπαντα πέπρακται τοῖς ἐμοῖς
303 ψηφίσμασι καὶ τοῖς ἐμοῖς πολιτεύμασιν, ἃ καὶ βεβουλευμένα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντα οὐδ' ἀγνοηθέντα οὐδὲ προεθέντα ὑπ' ἐμοῦ, καὶ ὅσα εἰς ἑνὸς ἀνδρὸς δύναμιν καὶ λογισμὸν ἦκεν, οὐδὲν ἐλλειφθέν. εἰ δὲ ἡ δαίμονός τινος ἢ τύχης ἰσχὺς ἢ στρατηγῶν φαυλότης ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία ἢ πάντα ταῦτα ἐλυμαίνετο* τοῖς ὅλοις, ἕως ἀνέτρεψαν, τί Δημοσθένης
304 ἀδικεῖ; εἰ δ' οἷος ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ' εἰ ἕνα ἄνδρα μόνον Θετταλία καὶ ἕνα ἄνδρα Ἀρκαδία ταὐτὰ φρονοῦντα ἔσχεν ἐμοί, οὐδεὶς οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων

ἐχθρὰν Ἀθηναίοις καλεῖ αὐτήν. πρβλ. καὶ τὰ ἐν §. 202. (αὐτόθι). — ὧν ἐνέλειπε τῇ πόλει] ἀπροσώπως, = ὧν δὲ ἦν ἔλλειψις τῇ πόλει. οὕτω καὶ παρὰ Πλάτωνι Νόμ. ε, 740. «οἷς ἂν τῆς γενέσεως ἐλλείπῃ τῶν πολιτῶν.»

303. προεθέντα] τὸ ἐν ταῖς παρ' ἡμῖν ἐκδόσεσι προδοθέντα οὐδὲν ἄλλο εἶναι ἢ ἐξηγητικὸν τούτου. — ἦκεν] = ἀνῆκεν· οὕτω καὶ ἐν τῷ Δημ. π. παραπρ. §. 30. «ὅσα τῆς Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἦκεν.» — οὐδὲν] ἐννοεῖται τὸ τούτων. — στρατηγῶν] ἀορίστως, οἱωνδήποτε. — τί Δημοσθένης ἀδικεῖ] οὕτως ὡς περὶ γ'. τινὸς προσώπου ὠμίλησε περὶ ἑαυτοῦ ὁ ῥήτωρ καὶ ἐν §. 197. οἱονεὶ παντός τινος περὶ τούτων σκεπτομένου καὶ οὐχὶ ἰδίαν ἑαυτοῦ κρίσιν ἐκφέρων. πρβλ. π. παραπρ. §. 229. τοιαύτη δ' ἔκφρασις ἐπὶ περιαυτολογίας συνηθεστέρα Ρωμαίοις μᾶλλον ἢ Ἕλλησιν.

304. εἰ δ' οἷος ἐγὼ — μᾶλλον δ' εἰ κτλ.] «ἀμφιδιόρθωσις· ὅταν καὶ πρὶν εἰπεῖν καὶ εἰπόντες ἀσφαλιζώμεθα τὸν λόγον. γίνεται δὲ τοῦτο — ἐπὶ τῶν μείζονος προμηθείας δεομένων, οἷον εἰ δ' οἷος ἐγὼ κτλ. καὶ γὰρ λέγων κατὰ τὴν ἐμαυτοῦ τάξιν [= κατὰ τὴν ἐν τῇ πολιτείᾳ θέσιν, εἰς ἣν ἔταξα ἐξ ἀρχῆς ἐμαυτὸν] προαπολύεται τὸ ἐπαχθὲς [τοῦ οἷος ἐγώ], καὶ τῷ μᾶλλον δ' εἰ ἕνα κτλ. τὸ δοκοῦν ἐνδεεστέρως εἰρῆσθαι προσεπηνώρθωται.» Ἀλέξ. π. Σχημ. σ. 436. — ἀνὴρ] ἐννοεῖται τὸ τοιοῦτος. — ἕνα ἄνδρα — Θετταλία — Ἀρκαδία] σπουδαῖον λόγον εἶχεν ἂν ὁ ῥήτωρ, ἵνα τὰς δύο μόνον ταύτας Ἑλληνικὰς πολιτείας προκρίνῃ τῶν λοιπῶν· καὶ τὰ μὲν περὶ Θεσσαλίας αἰτιολογοῦνται ἱκανῶς ἔκ τε τῶν ἀνωτέρω ἐν §. 145—148., καὶ ἐκ τῶν ἐν τοῖς ἑξῆς ἀμέσως λεγομένων, ὅτι δηλ. ἔξω τῶν Θερμοπυλῶν οἰκοῦντες ἠδύναντο ἐν πάσῃ περιπτώσει γενέσθαι πρόμαχοι μὲν τοῖς εἴσω Πυλῶν Ἕλλησι, σύμμαχοι δὲ τοῖς ἔξω, καὶ εὐχερῶς κωλύειν τὴν Φιλίππου εἰς τὴν μεσημβρινὴν Ἑλλάδα εἴσοδον, περὶ Ἀρκαδίας δὲ ἀγνοεῖται μὲν τίνα λόγον εἶχεν ὁ ῥήτωρ, ἔστιν ὅμως εἰκάσαι ὅτι καὶ ταύτην προέκρινεν ὁ ῥήτωρ καθὸ χώραν εὐανδροῦσαν καὶ πολύν τινα στρατὸν δυναμένην ἐξάγειν, καὶ ὅμως ὀλιγωροῦσαν τῶν Ἑλληνικῶν συμφερόντων ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι. πρβλ. ἀνωτ. §. 64. — τ. ἔξω Πυλῶν — τ. εἴσω] αἱ Πύλαι πολιτι-

οὔτε τῶν εἴσω τοῖς παροῦσι κακοῖς ἐκέχρητ' ἄν, ἀλλὰ πάντες 305
ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι μετὰ πάσης ἀδείας ἀσφαλῶς
ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τῶν τοσούτων καὶ
τοιούτων ἀγαθῶν ὑμῖν καὶ τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χά-
ριν δι' ἐμέ. ἵνα δ' εἰδῆτε ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι
χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον, λέγε μοι ταυτὶ
καὶ ἀνάγνωθι λαβών.

ΨΗΦΙΣΜΑΤΑ.

Ταῦτα καὶ τοιαῦτα πράττειν, Αἰσχίνη, τὸν καλὸν κἀγαθὸν 306
πολίτην δεῖ, ὧν κατορθουμένων μὲν μεγίστοις ἀναμφισβητή-
τως ὑπῆρχεν εἶναι καὶ τὸ δικαίως προσῆν, ὡς ἑτέρως δὲ συμ-
βάντων τὸ γοῦν εὐδοκιμεῖν περίεστι καὶ τὸ μηδένα μέμφεσθαι
τὴν πόλιν μηδὲ τὴν προαίρεσιν αὐτῆς, ἀλλὰ τὴν τύχην κακί-
ζειν τὴν οὕτω τὰ πράγματα κρίνασαν, οὐ μὰ Δί' οὐκ ἀποξάντα 307
τῶν συμφερόντων τῇ πόλει, μισθώσαντα δ' αὐτὸν τοῖς ἐναν-
τίοις, τοὺς ὑπὲρ τῶν ἐχθρῶν καιροὺς ἀντὶ τῶν τῆς πατρίδος
θεραπεύειν, οὐδὲ τὸν μὲν πράγματ' ἄξια τῆς πόλεως ὑποστάν-
τα λέγειν καὶ γράφειν καὶ μένειν ἐπὶ τούτων βασκαίνειν,

κῶς οὐδὲν ὅριον ἀπετέλουν, ἀλλὰ γεω-
γραφικῶς θεωροῦνται ὡς κέντρον τῶν
ἀπὸ Βυζαντίου μέχρι Ταινάρου τῆς
Πελοποννήσου τόπων οἰκουμένων ὑπὸ
Ἑλλήνων, οἷς ἔμελε τῶν συμβάντων
ἐκείνων. W.

305. μετὰ πάσης ἀδείας ἀσφαλῶς ἐν εὐδαιμονίᾳ] ὅρα καὶ ἐνταῦθα τοὺς ἀλλεπαλλήλους προσδιορισμούς, ἐπίσης ἀσυνδέτως ὡς καὶ ἀνωτ. ἐν §. 226. — ὑμῖν] τοῖς ἀκροαταῖς. B. κ. P. — ταυτὶ] ἄδηλον τίνα ψηφίσματα ἐννοεῖ ὁ ῥήτωρ. βεβαίως εἶχον ἂν ταῦτα σχέσιν τοῖς ἀνωτ. ἀπὸ §. 301. κ. ἑ., τὰ καθ' ἕκαστα ὅμως ἀγνοεῖται. ἐκ τούτου, φαίνεται, προῆλθε καὶ ἡ ἔν τινι τῶν χειρογρ. μετὰ τὸ λαβὼν προσθήκη «τὸν ἀριθμὸν τῶν βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα.»

306. κατορθουμένων] ὑποθετικὴ μετοχή, εἰ κατωρθοῦντο. B. — μεγίστοις] κατὰ συνεφέλκυσιν τῷ ἐν τῷ ὑπῆρχεν ἐννοητέῳ ἡμῖν. W. — καὶ τὸ δικαίως] ἐννοεῖται ἀπὸ κοινοῦ τὸ «μεγίστοις εἶναι.» — ὡς ἑτέρως] ἴδ. ἀνωτ. §. 85. σημ. — συμβάντων] χρονικὴ μετοχή.

307. οὐ μὰ Δί' οὐκ] τὸ οὐκ δὲν αἴρει τὴν προηγουμένην ἄρνησιν οὐ μὰ Δί', ἀλλὰ μετ' ἐμφάσεως ἐπαναλαμβάνει αὐτήν. οὕτω καὶ ἐν τῷ Δημ. π. παραπρ. §. 285. «οὐ μὰ Δί' οὐχὶ τῶν ὑμετέρων παίδων, ὅπως ἔσονται σώφρονες, προορῶν.» — ἀποξάντα τῶν συμφερόντων κτλ.] οὕτω χαρακτηρίζει τὸν Αἰσχίνην ἀντιθέτως τῷ ἀνωτ. «ταῦτα — πράττειν τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ.» — καὶ μένειν] ἐξαρτᾶται ὡς καὶ τὰ λέγειν καὶ γράφειν ἐκ τοῦ ὑποστάντα, εἰ καὶ κατὰ μετοχὴν μᾶλλον (μένοντα) προσεδέκα τις αὐτό. ὅθεν καὶ ἔν τισι χειρογρ. μετὰ τὸ ἀπὸ τούτων προστίθεται τὸ προσλόμε-

ἂν δέ τις ἰδίᾳ τι λυπήσῃ, τοῦτο μεμνῆσθαι καὶ τηρεῖν, οὐδέ γ'
308 ἡσυχίαν ἄγειν ἄδικον καὶ ὕπουλον,* ὃ σὺ ποιεῖς πολλάκις. ἔστι
γάρ, ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα τῇ πόλει, ἣν οἱ πολ-
λοὶ τῶν πολιτῶν ὑμεῖς ἁπλῶς ἄγετε. ἀλλ' οὐ ταύτην οὗτος
ἄγει τὴν ἡσυχίαν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἀποστάς, ὅταν
αὐτῷ δόξῃ, τῆς πολιτείας (πολλάκις δὲ δοκεῖ) φυλάττει, πη-
νίκ' ἔσεσθε μεστοὶ τοῦ συνεχῶς λέγοντος ἢ παρὰ τῆς τύχης τι
συμβέβηκεν ἐναντίωμα ἢ ἄλλο τι δύσκολον γέγονε (πολλὰ δὲ
τἀνθρώπινα)· εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς
ἡσυχίας ὥσπερ πνεῦμ' ἐφάνη, καὶ πεφωνασκηκὼς καὶ συνειλο-
χὼς ῥήματα καὶ λόγους συνείρει τούτους σαφῶς καὶ ἀπνευσί,
ὄνησιν μὲν οὐδεμίαν φέροντας οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός,
συμφορὰν δὲ τῷ τυχόντι τῶν πολιτῶν καὶ κοινὴν αἰσχύνην.
309 καίτοι ταύτης τῆς μελέτης καὶ τῆς ἐπιμελείας, Αἰσχίνη, εἴ
περ ἐκ ψυχῆς δικαίας ἐγίγνετο καὶ τὰ τῆς πατρίδος συμφέ-
ροντα προῃρημένης, τοὺς καρποὺς ἔδει γενναίους καὶ καλοὺς
καὶ πᾶσιν ὠφελίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρη-
μάτων, ἐμπορίου κατασκευήν, νόμων συμφερόντων θέσεις, τοῖς
310 ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα. τούτων γὰρ ἁπάντων ἦν

νον. — ἂν δέ τις ἰδίᾳ — τηρεῖν] πρβλ. τὰ ἐν §. 277. «εἴτις ἐλύπησέ τι τοῦτον ἢ προσέκρουσέ που.»

308. ἔστι γάρ, ἔστιν κτλ.] ἀναφέρεται πρὸς τὰ τοῦ Αἰσχίνου (κ. Κτησ. §. 215.)· «οὕτω γάρ ἐστιν — δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴτι πεπολίτευμαι παρ' ὑμῖν ἐγὼ ἢ εἴ τινας δημηγορίας εἰρηκα, τούτων κατηγορεῖν, ἀλλὰ καὶ τὴν ἡσυχίαν μου τοῦ βίου διαβάλλει καὶ τῆς σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλείπηται κτλ.» — ἁπλῶς] καὶ ἐνταῦθα = ἀφελῶς, ἀκάκως. — εἶτ'] = καὶ τότε. ἀποδοτικὸν τοῦ πηνίκα. — ἐφάνη] ὁ ἀόριστος συνήθης οὕτως εἰς ἔνδειξιν τοῦ αἴφνης γινομένου. Β. κ. Ρ. — πεφωνασκηκὼς] καὶ τοῦτο ἐκ τοῦ ὑποκριτικοῦ ἐπιτηδεύματος τοῦ Αἰσχίνου εἴληπται. — ῥήματα καὶ λόγους] λέξεις καὶ φράσεις. — σαφῶς καὶ ἀπνευστί] καὶ ἐν τούτοις τὸ εὔφωνον αὐτοῦ ὑπαινίττεται. — συμφορὰν δὲ τῷ τυχόντι — κοινὴν αἰσχύνην] ἀντίθετον τῷ ἀνωτέρω ἐν §. 8. «ὅ τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ.»

309. συμμαχίας πόλεων — ἐναντιώματα] ὁποῖά τινα ἔπραξε Δημοσθένης. — πόρους χρημάτων] τοῦθ' ὅπερ ἀνωτ. ἐν §. 237. χρημάτων συντέλειαν εἶπεν. — ἐμπορίου κατασκευήν] ἐπαύξησιν καὶ στερέωσιν ἐμπορίου διὰ προσκτήσεως ἐμπορικῶν (εὐλιμένων) τόπων.

310. τούτων ἁπάντων — ἐξέτασις] τούτων ἁπάντων τῶν εἰρημένων ἀνάκρισις ἦν, ἤτοι ἐξήταζον

ἐν τοῖς ἄνω χρόνοις ἐξέτασις, καὶ ἔδωκεν ὁ παρελθὼν χρόνος πολλὰς ἀποδείξεις ἀνδρὶ καλῷ τε κἀγαθῷ, ἐν οἷς οὐδαμοῦ σὺ φανήσει γεγονώς, οὐ πρῶτος, οὐ δεύτερος, οὐ τρίτος, οὐ τέταρτος, οὐ πέμπτος, οὐχ ἕκτος, οὐχ ὁποστοσοῦν, οὔκουν ἐπί γε οἷς ἡ πατρὶς ηὐξάνετο. τίς γὰρ συμμαχία σοῦ πράξαντος γέ- 311
γονε τῇ πόλει; τίς δὲ βοήθεια ἢ κτῆσις εὐνοίας ἢ δόξης; τίς δὲ πρεσβεία, τίς διακονία, δι'* ἣν ἡ πόλις ἐντιμοτέρα; τί τῶν οἰκείων ἢ τῶν Ἑλληνικῶν καὶ ξενικῶν, οἷς ἐπέστης, ἐπηνώρθωται; ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν; τί τῶν ἁπάντων σὺ χρήσιμος εἶ; τίς ἢ τοῖς εὐπόροις ἢ τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων; οὐδεμία. ἀλλ', ὦ 'τᾶν, εἰ μηδὲν τούτων, εὔνοιά γε καὶ 312
προθυμία. ποῦ; πότε; ὅστις, ὦ πάντων ἀδικώτατε, οὐδ' ὅτε

οἱ ἄνθρωποι ἐὰν ταῦτα πάντα ἔπραττον οἱ πολιτευόμενοι. — ὁ παρελθὼν χρόνος] ὁ πρὸ μικροῦ παρελθών, καθ' ὃν ἐπολιτεύετο Αἰσχίνης ἀντιθέτως τοῖς ἄνω ἤτοι τοῖς ἀνέκαθεν ἐξ ἀρχῆς τῆς δημοκρατίας χρόνοις. — ἀποδείξεις] ἀφορμὰς ἀποδεῖξαι τὴν ἑαυτοῦ εὔνοιαν. — ἐν οἷς] τοῖς καλοῖς τε κἀγαθοῖς ἀνδράσιν, περιληπτικῶς ἐκλαμβανομένου τοῦ καθ' ἑνικὸν ἀνδρὶ καλῷ τε κἀγαθῷ. W. — οὐ πρῶτος — ὁποστοσοῦν] ὡς καλοῦνται Μεγαρεῖς κατὰ τὸν παρὰ τοῦ Σχολιαστοῦ τοῦ Θεοκρίτου ἀναφερόμενον χρησμόν· «ὑμεῖς δ' ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι οὔτε δυωδέκατοι οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ.» — οὔκουν ἐπί γε οἷς] «οὔκουν φανήσει ὁποσοσοῦν ἐπὶ τούτοις γε, ἐφ' οἷς ἡ πατρὶς ηὐξάνετο.» ὁ γὲ μειωτικὸς καὶ τέθειται ἀπὸ σκοποῦ, καθόσον κατωτέρω ἐν §.313. ἐπιφέρει ὁ ῥήτωρ, ἐν τίσιν ἦν νεανίας Αἰσχίνης.

311. τίς συμμαχία κτλ.] ἐνταῦθα Δημοσθένης δὲν ἀναφέρει μὲν καὶ τὰ ἑαυτῷ πεπολιτευμένα, πλὴν ἐκ τῶν μέχρι τοῦδε εἰρημένων εὐκόλως ἐννοεῖται ὅτι ταῦτα οὐδὲν ἄλλο εἶναι ἢ σιωπηλός τις παραλληλισμὸς τῆς ἑαυτοῦ πολιτείας τῇ τοῦ Αἰσχίνου. — ἐντιμοτέρα] ἐννοεῖται τὸ γέγονε, ὅπερ καὶ προσέθειται ὑπό τινων. — ποῖαι τριήρεις — νεώσοικοι] ἐννοεῖται πρὸς τὸ σημαινόμενον τὸ γεγόνασιν. ἐνταῦθα λαμπρὸν παράδειγμα εἶναι ὁ Λυκοῦργος, περὶ οὗ ἐν τῷ περὶ αὐτοῦ ψηφίσματι (Βίοι Γ', Ρητ. σ. 852.) λέγεται ὅτι «χειροτονηθεὶς — ἐπὶ τὴν τοῦ πολέμου παρασκευὴν ὅπλα μὲν πολλὰ καὶ βελῶν μυριάδας πέντε ἀνήνεγκεν εἰς τὴν ἀκρόπολιν, τετρακοσίας δὲ τριήρεις πλωίμους κατεσκεύασε, τὰς μὲν ἐπισκευάσας, τὰς δ' ἐξ ἀρχῆς ναυπηγησάμενος, πρὸς δὲ τούτοις ἡμίεργα παραλαβὼν τούς τε νεωσοίκους καὶ τὴν σκευοθήκην καὶ τὸ θέατρον τὸ Διονυσιακὸν ἐξειργάσατο καὶ ἐπετέλεσε.» W. — τῶν ἁπάντων] ἁπάντων τῶν δυνατῶν γενέσθαι. — τίς ἢ — χρημάτων] διὰ δικαιοτέρας διανομῆς τῶν συνεισφορῶν, ὡς λόγου χάριν ἔπραξεν ἄλλοτε Δημοσθένης διὰ τοῦ τριηραρχικοῦ νόμου αὐτοῦ. §.102. κ. ἑ. W. — πολιτικὴ καὶ κοινὴ] ἀνήκουσα τοῖς πολίταις καὶ κοινωφελής.

312. ὦ 'τᾶν] ἄγνωστος ἡ ἐτυμολογία αὐτοῦ, τινὲς λέγουσιν ἀπὸ τοῦ ἔτης. εἶναι δ' εὔχρηστος ἀδιακρίτως καθ' ὅλους τοὺς ἀριθμούς. Β. κ. Ρ. — εὔνοιά γε — προθυμία] ἔστι μοι, ἢ τοιοῦτόν τι νοητέον. λέγει δὲ ταῦτα ὁ ῥήτωρ ὡς ἀπὸ τοῦ Αἰσχίνου. —

ἅπαντες, ὅσοι πώποτ' ἐφθέγξαντο ἐπὶ τοῦ βήματος, εἰς σωτηρίαν ἐπεδίδοσαν, καὶ τὸ τελευταῖον Ἀριστόνικος τὸ συνειλεγμένον εἰς τὴν ἐπιτιμίαν, οὐδὲ τότε οὔτε παρῆλθες οὔτ' ἐπέδωκας οὐδεν, οὐκ ἀπορῶν, πῶς γάρ; ὅς γε κεκληρονόμηκας μὲν τῶν Φίλωνος τοῦ κηδεστοῦ χρημάτων πλειόνων ἢ πέντε ταλάντων, διτάλαντον δ' εἶχες ἔρανον δωρεὰν παρὰ τῶν ἡγεμόνων τῶν συμμοριῶν, ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νό-
313 μον. ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου λέγων τοῦ παρόντος ἐμαυτὸν ἐκκρούσω, παραλείψω ταῦτα. ἀλλ' ὅτι γ' οὐχὶ δι' ἔνδειαν οὐκ ἐπέδωκας, ἐκ τούτων δῆλον, ἀλλὰ φυλάττων τὸ μηδὲν ἐναντίον γενέσθαι παρὰ σοῦ τούτοις, οἷς ἅπαντα πολιτεύῃ. ἐν τί-

πώποτε] καὶ ἐνταῦθα ἄνευ προηγουμένης ἀρνήσεως, ὡς καὶ ἐν §. 298. — ὅτε—ἐπεδίδοσαν] ἀμέσως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην. ἴδ. ἀνωτ. §. 171. καὶ 248. καὶ τὴν αὐτ. σημ. —Ἀριστόνικος] ἄγνωστον τίς οὗτος. γνωστὸς δὲ μάλιστα κατὰ ταύτην τὴν ἐποχὴν εἶναι ὁ Μαραθώνιος [Πλουτ. Δημ. ΙΗ. καὶ ὁ ἀνωτ. §. 83. Ἀναγυράσιος]. Β. κ. Ρ.—συνειλεγμένον] ἐννοεῖται τὸ «ἀργύριον.» — εἰς τὴν ἐπιτιμίαν] κατὰ βραχυλογίαν,= εἰς τὴν τῆς ἐπιτιμίας ἀνάληψιν, ὡς καὶ ἐν §. 288. «ἐπὶ τὰς ταφάς.» ἐπίτιμος ἦν ὁ ἀπολαύων ὅλων τοῦ πολίτου τῶν δικαιωμάτων ἀντιθέτως τῷ ἄτιμος (Λυσ. κ. Ἐρατ. §. 21.), ἐπιτιμία δὲ ἡ ἀπόλαυσις αὐτῶν, ἧς στερούμενος Ἀριστόνικος καθὼ χρεώστης τῷ δήμῳ (πρβλ. §. 15. καὶ τὴν αὐτ. σημ.), συνέλεγε χρήματα παρὰ τῶν φίλων (ἔρανον), ἵν' ἀποδοὺς τὸ ὀφειλόμενον ἀναχτήσηται αὖθις τὴν ἐπιτιμίαν. κατὰ δὲ τὴν δεινὴν ταύτην περίστασιν ἐπέδωκε ταῦτα εἰς σωτηρίαν τῆς πόλεως. ὁ Αἰσχίνης ὅμως οὐδὲ τότε ἐπέδωκεν οὐδέν, καίτοι οὐκ ἀπορῶν. ἀπόδειξις ἀληθῶς τραχυτάτη τῆς τῇ πόλει δυσμενείας αὐτοῦ.—Φίλωνος τοῦ κηδεστοῦ] Φίλων υἱὸς Φιλοδήμου Παιανιεὺς ἦν ἀδελφὸς τῆς Αἰσχίνου γυναικός (κηδεστὴς κατὰ τὴν γενικωτέραν ἔννοιαν), ὡς αὐτὸς Αἰσχίνης λέγει· «ἐμοὶ δὲ ἐκ τῆς Φιλοδήμου θυγατρὸς καὶ Φίλωνος ἀδελφῆς—τρεῖς παῖδες εἰσι, μία μὲν θυγάτηρ, δύο δὲ υἱεῖς.» π. παραπρ. §. 152. — χρημάτων] μεριστικὴ γενικὴ (= ἐκ τῶν χρημάτων). ἀντικείμ. δὲ τοῦ κεκληρονόμηκας εἶναι τὸ πλειόνων ἢ πέντε ταλάντων.—διτάλαντον δ' εἶχες —νόμον] ὅτε ὁ Δημ. δὲν συγκατένευσεν ἐὰν ἐν ὑπωμοσίᾳ (ἴδ. §. 103. σημ.) τὸν τριηραρχικὸν αὐτοῦ νόμον, οἱ πλουσιώτατοι, ἐφ' ὧν ἔπιπτε τὸ κυριώτερον βάρος, ἔπεισαν Αἰσχίνην χρήμασιν, ὡς Δημοσθένης λέγει, διαστρέφειν τὸν νόμον, πῶς ὅμως ἀγνοεῖται. W. ἐν τούτοις ἴδ. καὶ τὰ τοῦ Αἰσχίνου κ. Κτησ. §. 222. καὶ τὰ ἀνωτέρω (ἐν §. 107.) περὶ τούτου σημειωθέντα. — ἔρανον] τὰ χρήματα ταῦτα ἔρανον καλεῖ ὁ ῥήτωρ, διότι ἀπὸ κοινοῦ κατέβαλον αὐτὰ οἱ πλούσιοι· ἄλλως οὐδὲν κοινὸν ἔχουσι τοῖς ἐν Ἀθήναις ἐπὶ βοηθείᾳ τινῶν συνεστηκόσιν ἐράνοις. W.

313. τοῦ παρόντος—ἐκκρούσω] ἀποπλανήσω ἐμαυτὸν ἐκ τοῦ προκειμένου. — οὐχὶ δι' ἔνδειαν οὐκ ἐπέδωκας] = οὐκ ἦν ἔνδεια ἡ αἰτία, δι' ἣν οὐκ ἐπέδωκας. — φυλάττων] αἰτιολογικὴ μετοχή.— οἷς] ηθικὴ δοτικὴ = πρὸς χάριν τῶν ἐπαίων. ἐννοεῖ δὲ τοὺς Μακεδόνας.—ἅπαντα πολιτεύῃ] ἅπαντα πράττεις πολιτευόμενος. —

σιν οὖν σὺ νεανίας καὶ πηνίκα λαμπρός; ἡνίκ' ἂν κατὰ τούτων τι δέῃ, ἐν τούτοις λαμπροφωνότατος, μνημονικώτατος, ὑποκριτὴς ἄριστος, τραγικὸς Θεοκρίνης.

Εἶτα τῶν πρότερον γεγενημένων ἀγαθῶν ἀνδρῶν μέμνησαι. 314
καὶ καλῶς ποιεῖς. οὐ μέντοι δίκαιόν ἐστιν, ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τοὺς τετελευτηκότας εὔνοιαν ὑπάρχουσαν προλαβόντα παρ' ὑμῶν πρὸς ἐκείνους ἐξετάζειν καὶ παραβάλλειν ἐμὲ τὸν νῦν ζῶντα μεθ' ὑμῶν. τίς γὰρ οὐκ οἶδε τῶν πάντων, ὅτι 315
τοῖς μὲν ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς τεθνεῶτας δὲ οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ; οὕτως οὖν ἐχόντων τούτων τῇ φύσει, πρὸς τοὺς πρὸ ἐμαυτοῦ νῦν ἐγὼ κρίνωμαι καὶ θεωρῶμαι; μηδαμῶς· οὔτε γὰρ δίκαιον οὔτ' ἴσον, Αἰσχίνη, ἀλλὰ πρὸς σὲ καὶ ἄλλον εἴ τινα βούλει τῶν ταὐτά σοι προῃρημένων καὶ ζώντων. κἀκεῖνο σκόπει. πότερον 316
κάλλιον καὶ ἄμεινον τῇ πόλει, διὰ τὰς τῶν πρότερον εὐεργεσίας, οὔσας ὑπερμεγέθεις, οὐ μὲν οὖν εἴποι τις ἂν ἡλίκας, τὰς ἐπὶ τὸν παρόντα βίον γιγνομένας εἰς ἀχαριστίαν καὶ προπηλακισμὸν ἄγειν, ἢ πᾶσιν, ὅσοι τι μετ' εὐνοίας πράττουσι, τῆς

νεανίας] ταὐτὸ τῷ παρ' ἡμῖν «παλληκαρᾶς.» — λαμπρός] τοῦτο συνεχῶς εὕρηται μετὰ τοῦ «νεανίας καὶ νεανικός,» ὡς ἐν τῷ κ. Μειδ. §. 131. «οὐ γὰρ ἡγεῖτο — λαμπρὸν οὐδὲ νεανικόν.» καὶ κ. Κόνωνος §. 35. «καὶ ταῦτα τὰ λαμπρὰ καὶ νεανικὰ ἐστιν αὐτῶν.» — ἡνίκ' ἂν κατὰ τούτων τι δέῃ] οὕτω κατὰ τὸ ἐκ πρ. χ. χειρόγρ. Σ ἄνευ τῆς προσθήκης τοῦ εἰπεῖν — ὅταν πράκηταί τι κατὰ τούτων τῶν Ἀθηναίων. — ἐν τούτοις] ἐπαναλαμβάνει τὸ προηγούμενον περιληπτικόν τι, ὡς καὶ ἐν §. 277. «εἴ τις ἐλύπησε — κατὰ τούτων.» — λαμπροφωνότατος] ἴδ. §. 259. π. τ. φθέγγεσθαι μέγα σημ. — τραγικὸς Θεοκρίνης] «βούλεται λέγειν αὐτὸν συκοφάντην, ἐπειδὴ ὁ Θεοκρίνης τοιοῦτος, ὡς ἔστι δῆλον ἐκ τοῦ κατὰ Θεοκρίνου [λόγου τοῦ Δημ.]. — τὸν γοῦν πάλαι μὲν ὑποκριτὴν τραγικόν, ὕστερον δὲ συκοφάντην εἰκότως ὠνόμασε τραγικὸν Θεοκρίνην.» Ἁρποκρ.

314. μέμνησαι] ἐν §. 178. κ. ἐ. τοῦ κ. Κτησ. — καὶ καλῶς ποιεῖς] καθόσον ὀφείλομεν πρὸ ὀφθαλμῶν ἔχειν ἀεὶ τὰς ἐνδόξους πράξεις τῶν προγόνων, καὶ μιμεῖσθαι αὐτάς. D. — τὴν πρὸς τοὺς — εὔνοιαν ὑπάρχουσαν] ὡς τὸ ἀνωτ. ἐν §. 78. «τὴν τότε Θηβαίοις ῥώμην καὶ δόξαν ὑπάρχουσαν.» πρβλ. τὴν ἐν §. 35. σημ.

315. τίς γὰρ — μισεῖ] οὕτω καὶ παρὰ Θουκυδίδῃ (Β'. 45.) «τὸν γὰρ οὐκ ὄντα ἅπας εἴωθεν ἐπαινεῖν — . φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὰ δὲ μὴ ἐμποδὼν ἀνταγωνίζῳ εὐνοίᾳ τετίμηται.» — ὕπεστι] ὑπάρχει ἐν τῷ κρυπτῷ. πρβλ. ἀνωτ. §. 36. σημ. — πρὸς σὲ] ἐννοεῖται τὸ θεώρει ἢ ὅρα, ὡς κατωτ. ἐν §. 319.

316. τὸν παρόντα βίον]

317 τούτων τιμῆς καὶ φιλανθρωπίας μετεῖναι; καὶ μὴν εἰ καὶ τοῦτ' ἄρα δεῖ με εἰπεῖν, ἡ μὲν ἐμὴ πολιτεία καὶ προαίρεσις, ἂν τις ὀρθῶς σκοπῇ, ταῖς τῶν τότ' ἐπαινουμένων ἀνδρῶν ὁμοία καὶ ταὐτὰ βουλομένη φανήσεται, ἡ δὲ σὴ ταῖς τῶν τοὺς τοιούτους τότε συκοφαντούντων· δῆλον γὰρ ὅτι καὶ κατ' ἐκείνους ἦσάν τινες, οἳ διασύροντες τοὺς ὄντας τότε, τοὺς δὲ πρότερον γεγενημένους ἐπῄνουν, βάσκανον πρᾶγμα καὶ ταὐτὸ ποιοῦντες σοί.
318 εἶτα λέγεις ὡς οὐδὲν ὅμοιός εἰμι ἐκείνοις ἐγώ; σὺ δ' ὅμοιος, Αἰσχίνη; ὁ δ' ἀδελφὸς ὁ σός; ἄλλος δέ τις τῶν νῦν ῥητόρων; ἐγὼ μὲν γὰρ οὐδένα φημί. ἀλλὰ πρὸς τοὺς ζῶντας, ὦ χρηστέ, ἵνα μηδὲν ἄλλ' εἴπω, τὸν ζῶντα ἐξέταζε καὶ τοὺς καθ' αὑτόν, ὥσπερ τἄλλα πάντα, τοὺς ποιητάς, τοὺς χορούς, τοὺς
319 ἀγωνιστάς. ὁ Φιλάμμων οὐχ ὅτι Γλαύκου τοῦ Καρυστίου καί τινων ἑτέρων πρότερον γεγενημένων ἀθλητῶν ἀσθενέστερος ἦν,

τ

ἦν νῦν γενεάν, τὴν παροῦσαν ἐποχήν. — τούτων] τῶν Ἀθηναίων. ἡ δ' ἔντισι χειρογρ. παρὰ προσετέθη πρὸς σαφήνειαν.

317. ἡ — πολιτεία καὶ προαίρεσις] « ἓν διὰ δυοῖν. » πρβλ. ἀνωτ. §. 93. — τότ'] ὅτ' ἔζων ἔτι. — κατ' ἐκείνους] νοητέον τοὺς ἄνδρας (= κατὰ τὴν ἐποχὴν ἐκείνων τῶν ἀνδρῶν), ὥστε περιττὴ ἡ προσθήκη τοῦ χρόνους. — οἳ διασύροντες — ἐπῄνουν] τὰ πλεῖστα χειρόγρ. καὶ τὸ Ω ἔτι ἔχουσιν οἱ διασύροντες, ἡ δὲ κοινοτέρα διόρθωσις οἳ διέσυρον μὲν προῆλθεν ἐκ τοῦ ἀνωμάλου δέ, ὅπερ ἐνταῦθα κεῖται εἰς ἐπίτασιν τῆς μεταξὺ τοῦ τοὺς ὄντας τότε καὶ τοῦ τοὺς πρότερον γεγενημένους ἀντιθέσεως, = οἳ ἐν ᾧ διέσυρον τοὺς συγχρόνους αὐτῶν, τοὐναντίον ἐπῄνουν τοὺς προγενεστέρους. οὕτω καὶ ἐν Ξενοφ. Ἀπομνημ. Γ', ζ', 8. « θαυμάζω σου, εἰ ἐκείνους — ῥᾳδίως χειρούμενος, τούτοις δὲ μηδένα τρόπον οἴει δυνήσεσθαι προσενεχθῆναι. » — ταὐτὸ — σοί] = ταὐτὸ τοῦτο, ὃ σὺ ποιεῖς νῦν.

318. ἀδελφὸς ὁ σός;] ὁ Αἰσχίνης εἶχε δύο ἀδελφοὺς πρεσβύτατον Φιλοχάρην καὶ νεώτερον Ἀφόβητον (Αἰσχ. π. παραπρ. §. 149.— Δημ. π. παραπρ. §. 237. [καὶ ὅμως ἐν τῇ β'. ὑποθέσει τοῦ Δημ. π. παραπρ. ἀναφέρεται καὶ Εὔνομός τις Αἰσχίνου ἀδελφός]), ἐνταῦθα δὲ εἷς μόνον ἀναφέρεται, πιθανὸν διότι ὁ ἕτερος δὲν ἔζη πλέον. — ὦ χρηστέ] κατ' εἰρωνείαν, ὡς καὶ ἐν §. 89.— ἵνα μηδὲν ἄλλ' εἴπω] παρὰ τοῦτο τὸ ὦ χρηστέ. — τοὺς καθ' αὑτόν] πρὸς τοὺς κατὰ σεαυτόν, ἤτοι τοὺς συγχρόνους σεαυτῷ, ἀλλὰ δὴ καὶ τοὺς τὸ αὐτὸ ἐπιτήδευμα ἔχοντας, ὡς ἐκ τῶν ἑξῆς δῆλον.

319. ὁ Φιλάμμων] « πύκτης Ἀθηναῖος. λέγεται νικᾶν τοὺς ἀντιπάλους πάντα τὸν χρόνον. » Εὐσταθ. εἰς Ἰλ. Ψ'. σ. 1324. μέμνηται δ' αὐτοῦ καὶ Ἀριστοτέλης (Ρητορ. Γ', 11.). περὶ δὲ τοῦ παρ' Αἰσχίνῃ ἐντεῦθεν πηγάσαντος χωρίου (κ. Κτησ. §. 189.) ὡ. ἐν τέλει τοῦ παραρτήματος. — Γλαύκου] πύκτης καὶ οὗτος ἐκ τῆς ἐν Εὐβοίᾳ Καρύστου νικήσας ἐν Ὀλ. οἱ, κατὰ Παυσανίαν (Β. Ἠλιακ. Γ', 3,) « γεφάνους, λέγεται, καὶ ἄλλους Πύθια μὲν δὶς λαβεῖν, Νεμείων δὲ καὶ Ἰσθμίων ἑκτάκις ἐν ἑκατέρῳ ἀγῶνι. » τοῦτον ἐνεψύχωσεν ὁ πατὴρ « ὦ παῖ τὴν ἀπ' ἀρότρου » βεβηκώς, ὡς λέγεται (Παυσ.

ἀστεφάνωτος ἐκ τῆς Ὀλυμπίας ἀπῄει, ἀλλ ὅτι τῶν εἰσελθόντων πρὸς αὐτὸν ἄριστα ἐμάχετο, ἐστεφανοῦτο καὶ νικῶν ἀνηγορεύετο. καὶ σὺ πρὸς τοὺς νῦν ὅρα με ῥήτορας, πρὸς σαυτόν, πρὸς ὁντινα βούλει τῶν ἁπάντων· οὐδένα ἐξίσταμαι. ὧν, ὅτε 320
μὲν τῇ πόλει τὰ βέλτιστα ἐλέσθαι παρῆν, ἐφαμίλλου τῆς εἰς τὴν πατρίδα εὐνοίας ἐν κοινῷ πᾶσι κειμένης, ἐγὼ κράτιστα λέγων ἐφαινόμην, καὶ τοῖς ἐμοῖς καὶ ψηφίσμασι καὶ νόμοις καὶ πρεσβείαις ἅπαντα διῳκεῖτο, ὑμῶν δὲ οὐδεὶς ἦν οὐδαμοῦ, πλὴν εἰ τούτοις ἐπηρεάσαι τι δέοι· ἐπειδὴ δὲ ἃ μήποτ' ὤφελε συνέβη, καὶ οὐκέτι συμβούλων, ἀλλὰ τῶν τοῖς ἐπιταττομένοις ὑπηρετούντων καὶ τῶν κατὰ τῆς πατρίδος μισθαρνεῖν ἑτοίμων καὶ τῶν κολακεύειν ἕτερον βουλομένων ἐξέτασις ἦν, τηνικαῦτα σὺ καὶ τούτων ἕκαστος ἐν τάξει καὶ μέγας καὶ λαμπρὸς ἱπποτρόφος, ἐγὼ δ' ἀσθενής, ὁμολογῶ, ἀλλ' εὔνους μᾶλλον ὑμῶν τουτοισί. δύο δ', ἄνδρες Ἀθηναῖοι, τὸν φύσει μέτριον πολίτην 321
ἔχειν δεῖ (οὕτω γάρ μοι περὶ ἐμαυτοῦ λέγοντι ἀνεπιφθονώ-

αὐτόθι.).—εἰσελθόντων πρὸς αὐτὸν] εἰσελθόντων εἰς τὸ στάδιον ἀγωνίσασθαι πρὸς αὐτόν. — ὅρα] = θεώρει, ὡς ἐν §. 315. « κρίνωμαι καὶ θεωρῶμαι. » —τῶν ἁπάντων] ῥητόρων. τοῦτο ἐννοητέον καὶ εἰς τὸ οὐδένα, ὡς δῆλον ἐκ τῶν ἀμέσως ἑπομένων « ὧν — ἐγὼ κράτιστα λέγων ἐφαινόμην. » —οὐδένα] κατ' αἰτιατικήν, ὡς καὶ ἐν τῷ πρ. Λεπτ. §. 10.— κ. Ἀνδροτ. §. 76. κ. ἀ.

320. ἐφαμίλλου — κειμένης] = προκειμένου κοινῶς πᾶσιν εἰς ἁμιλλαν, τίς πλείονα ἐνδείξαιτ' ἂν εὔνοιαν τῇ πατρίδι. — τούτοις] τοῖς Ἀθηναίοις. — ἐξέτασις] κατὰ μεταφορὰν ἀπὸ τῆς στρατιωτικῆς ἐπιθεωρήσεως = ἀνάκρισις, ἀναζήτησις. —καὶ τούτων] τῶν ὁμοίων σοί, ἤτοι τῶν μακεδονιζόντων. — ἐν τάξει] ἐξακολουθεῖ ἡ μεταφορά.— καὶ μέγας — ἐγὼ δ' ἀσθενής,] οὐδεμία ὑπερβολὴ ἐν τούτοις· πραγματικῶς ἀσθενεῖς καὶ ἀσήμαντοι ἦσαν τότε οἱ τῆς πατριωτικῆς μερίδος, ἰσχυροὶ δὲ καὶ μεγάλοι οἱ μακεδονίζοντες, πρβλ. Πλουτ. Δημ. ΚΔ. ὅθεν καὶ τὴν δίκην τότε τελευταῖον ἐκίνησεν ὁ Αἰσχίνης· ἂν δὲ παρ' ἐλπίδα τούτων ἡθῳώθη ὁ τότ' ἐλάχιστα ἰσχύων Δημ., τοῦτο προῆλθεν ἐκ τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ δήμου φιλοτιμηθέντος διὰ τῆς λευκῆς αὐτοῦ ψήφου ἀμεῖψαι τοὺς ὑπὲρ αὐτοῦ πολυειδεῖς ἐκείνους ἀγῶνας, οὓς ἡ δεινότης τοῦ ῥήτορος τοσῳ τεχνηέντως παρέστησεν αὐτῷ ἐπανειλημμένως, ὅτε καὶ ὅπου ἔδει, ἐν συγκρίσει τῇ τοῦ ἀντιδίκου αὐτοῦ διαγωγῇ, δυσμενεῖ ὅλως καὶ ἀντιπατριωτικῇ, καθ' ἃ τοὐλάχιστον ἀπέδειξεν αὐτήν.— ἱπποτρόφος] εὐχρηστος, ἡ λέξις ἐπὶ παντὸς τρέφοντος ἵππον εἴτε πρὸς ὑπηρεσίαν εἴτε πρὸς διασκέδασιν ἢ χάριν ἱππικῶν ἀγώνων· ἐν γένει ὅμως τὸ τρέφειν ἵππον ἐθεωρεῖτο ὡς σημεῖον τοῦ πλουτεῖν (πρβλ. Ἰσοκρ. π. τ. ζεύγ. §. 33. — [Δημ.] πρ. Φαίν. §. 24.). οὕτως ἐκληπτέον αὐτὸ καὶ ἐνταῦθα.

321. οὕτω γάρ — εἰπεῖν] ἡ σύνταξις· ἐμοὶ γὰρ λέγοντι περὶ ἐμαυτοῦ ἀνεπιφθονώτατόν ἐστιν εἰπεῖν

τατον εἰπεῖν), ἐν μὲν ταῖς ἐξουσίαις τὴν τοῦ γενναίου καὶ τοῦ πρωτείου τῇ πόλει προαίρεσιν διαφυλάττειν, ἐν παντὶ δὲ καιρῷ καὶ πράξει τὴν εὔνοιαν· τούτου γὰρ ἡ φύσις κυρία, τοῦ δύνασθαι δὲ καὶ ἰσχύειν ἕτερα. ταύτην τοίνυν παρ' ἐμοὶ μεμε-
322 νηκυῖαν εὑρήσετε ἁπλῶς. ὁρᾶτε δέ. οὐκ ἐξαιτούμενος, οὐκ Ἀμφικτυονικὰς δίκας ἐπαγόντων,* οὐκ ἐπαγγελλομένων, οὐχὶ τοὺς καταράτους τούτους ὥσπερ θηρία μοι προσβαλλόντων, οὐδαμῶς ἐγὼ προδέδωκα τὴν εἰς ὑμᾶς εὔνοιαν. τὸ γὰρ ἐξ ἀρχῆς εὐθὺς ὀρθὴν καὶ δικαίαν τὴν ὁδὸν τῆς πολιτείας εἱλόμην, τὰς τιμάς, τὰς δυναστείας, τὰς εὐδοξίας τὰς τῆς πατρίδος θεραπεύειν,
323 ταύτας αὔξειν, μετὰ τούτων εἶναι. οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων εὐτυχήμασι φαιδρὸς ἐγὼ καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι, τὴν δεξιὰν προτείνων καὶ εὐαγγελιζόμενος τούτοις, οὓς ἂν ἐκεῖσε ἀπαγγέλλειν οἴωμαι, τῶν δὲ τῆς πόλεως ἀγαθῶν περῳκὼς ἀκούω καὶ στένων καὶ κύπτων εἰς τὴν γῆν, ὥσπερ οἱ δυσσεβεῖς οὗτοι, οἳ τὴν μὲν πόλιν διασύρουσιν, ὥσπερ οὐχ

(περὶ ἐμαυτοῦ) οὕτως (ἤτοι «μέτριον εἶναι πολίτην,» ὡς εἶπε καὶ ἀνωτ. §. 10. ἴδ. καὶ τὴν αὐτόθι σημ.). — λέγοντι] χρονικὴ μετοχή,= ὅτε λέγω, ὁσάκις ὁμιλῶ. — ἐν μὲν — διαφυλάττειν] = ὅτε μὲν ἐξουσίαν ἔχει, εὐδαιμονεῖ ἡ πόλις προαιρεῖσθαι τοιαῦτα, δι' ὧν διαφυλάττεται τῇ πόλει τὸ μεγαλόφρον καὶ τὸ πρωτεῖον (ὁ ἐν ταῖς λοιπαῖς πολιτείαις πρωτεύων βαθμὸς) αὐτῆς. — τούτου γὰρ] τοῦ διαφυλάττειν τὴν εὔνοιαν. — ἕτερα] συμπλήρου τὴν πρότασιν διὰ τοῦ εἰσὶ κύρια. — ταύτην] τὴν εὔνοιαν. — ἁπλῶς] ἁπλούτως, γενικῶς.

322. ἐξαιτούμενος] ὑπὸ Ἀλεξάνδρου μετὰ τὴν καταστροφὴν τῶν Θηβῶν. ἴδ. ἀνωτ. §. 41. σημ. — Ἀμφικτυονικὰς δίκας] ταύτας ἐννοεῖ καὶ Αἰσχίνης λέγων· «ὑμεῖς τοῦτον οὐ προὔδοτε οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ» (κ. Κτησ. §. 161.). πιθανὸν ὁ Ἀλέξανδρος ἠθέλησεν ἐφ' οἱαδήποτε προφάσει καταστάναι εἰς δίκην ἐνώπιον τοῦ Ἀμφικτυονικοῦ συνεδρίου Δημοσθένην καὶ ὅσους ἄλλους ἐζήτει παραδοθῆναι αὐτῷ. W. ὡς πρόφασιν δ' εἰκάζει ὁ ΓΜ. ὅτι «πρεσβευτὴς (ὁ Δημ.) χειροτονηθείς, ὅτε περὶ Θήβας ἦν τὸ Ἀλεξάνδρου στρατόπεδον, ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος ἦκεν ὑποστρέψας» (Αἰσχ. ἔνθ. ἀνωτ.)· ὁ δὲ D. ἐπὶ Φιλίππου παραδεχόμενος γενέσθαι τὰς δίκας ταύτας, αἰτίαν εὑρίσκει ὅτι τοῖς ὑπὸ τῶν Ἀμφικτυόνων πολεμουμένοις Ἀμφισσεῦσιν «ἐξεμίσθωσε (Δημοσθένης) πρὸς μυρίους ξένους» (Αἰσχ. κ. Κτησ. §. 146.). — ἐπαγόντων] ὑποκείμενον νόει, ὡς καὶ ἐν ταῖς ἑξῆς γενικαῖς ἀπολύται τὸ τῶν Μακεδόνων ἢ μακεδονιζόντων. — ὀρθὴν — τὴν ὁδὸν] ὅρα τὴν θέσιν τοῦ ἄρθρου, = ταύτην τὴν ὁδὸν τῆς πολιτείας, ἥτις ἐστὶν ὀρθὴ καὶ δικαία. — θεραπεύειν — αὔξειν — εἶναι] ἐπεξηγήσεις τοῦ ὀρθὴν καὶ δικαίαν τὴν ὁδὸν τῆς πολιτείας.

323. ἑτέρων] τῶν ἐχθρῶν τῆς πολιτείας, τῶν Μακεδόνων. W. — ἐκεῖσε] εἰς Μακεδονίαν. — οἱ δυσσεβεῖς οὗτοι] ὁ Αἰσχίνης καὶ

αὐτοὺς διασύροντες, ὅταν τοῦτο ποιῶσιν, ἔξω δὲ βλέπουσι, καὶ ἐν οἷς ἀτυχησάντων τῶν Ἑλλήνων εὐτύχησεν ἕτερος, ταῦτ' ἐπαινοῦσι καὶ ὅπως τὸν ἅπαντα χρόνον μενεῖ φασι δεῖν τηρεῖν.

Μὴ δῆτ', ὦ πάντες θεοί, μηδεὶς ταῦθ' ὑμῶν ἐπινεύσειεν, ἀλ- 324
λὰ μάλιστα μὲν καὶ τούτοις βελτίω τινὰ νοῦν καὶ φρένας ἐνθείητε, εἰ δ' ἄρ' ἔχουσιν ἀνιάτως, τούτους μὲν αὐτοὺς καθ' ἑαυτοὺς ἐξώλεις καὶ προώλεις ἐν γῇ καὶ θαλάττῃ ποιήσατε, ἡμῖν δὲ τοῖς λοιποῖς τὴν ταχίστην ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων δότε καὶ σωτηρίαν ἀσφαλῆ.

οἱ περὶ αὐτόν. — ἔξω δὲ βλέπουσι] πληρεστέρα ἡ φράσις παρὰ Πλουτάρχῳ (Λρατ. 1Ε.) « ταῖς ἐλπίσιν ἔξω βλέπων. » D. ἴδ. καὶ τὰ ἀνωτ. ἐν §. 89. σημειωθέντα. — εὐτύχησεν ἕτερος] οὕτως ἀνωνύμως ἀναφέρεται ὁ Ἀλέξανδρος καὶ ἀνωτ. ἐν §. 41. « ὑπὸ τοῦ ταῦτα πράξαντος. » τοῦτον πιθανῶς ἐννοεῖ ὁ ῥήτωρ καὶ ἐν §. 281. διὰ τοῦ « ἀφ' ὧν ἡ πόλις προσῄρηται τινα κίνδυνον ἑαυτῇ, » καὶ ἐν τῇ φράσει « τῶν κολακεύειν ἕτερον βουλομένων » (§. 320.), ὡς καὶ ἐν τῇ « ἐπὶ μὲν τοῖς ἑτέρων εὐτυχήμασι κτλ., » καὶ ἐνδέχεται μὲν ταῦτα τυχαίως πως οὕτως εἰρῆσθαι, ἀλλ' ἴσως καὶ ἀπὸ σκοποῦ κεῖνται, οὐδ' εἶναι παράδοξον πεφυλαγμένως νὰ ὁμιλῇ περὶ Ἀλεξάνδρου ὁ ῥήτωρ ἐπτοημένος ταῖς τότ' ἐν τῇ Ἀσίᾳ νίκαις αὐτοῦ, καθὼς καὶ πάντες οἱ τῆς πατριωτικῆς μερίδος (ὡς ἔστιν εἰκάσαι ἐκ τοῦ κατωτέρω « ἡμῖν δὲ — ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων δότε »), ἐν ᾧ ὁ Αἰσχίνης πολλαχοῦ τοῦ κ. Κτησ. αὐθορμήτως ἀναδέχεται οἱονεὶ πρόσωπον πανηγυριστοῦ τοῦ Ἀλεξάνδρου ἐγκαυχώμενος τῇ αὐτοῦ ξενίᾳ καὶ ὀνειδίζων Δημοσθένει συνεχῶς τὰς Ἀλεξάνδρῳ δυσμενεῖς φράσεις αὐτοῦ. — ὅπως — μενεῖ] ἀντικείμενον τοῦ τηρεῖν. — φασὶ δεῖν τηρεῖν] πρβλ. ἀνωτ. §. 89. « ἣν (εἰρήνην) οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοὶ ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν. »

324. ὦ πάντες θεοί — δότε καὶ σωτηρίαν ἀσφαλῆ] ὡς δι' ἐπικλήσεως τῶν θεῶν ἤρξατο ὁ ῥήτωρ τοῦ λόγου, οὕτω καὶ δι' ἐπικλήσεως πάλιν πάνυ σεμνῶς καὶ μεγαλοπρεπῶς καταστρέφει αὐτὸν ἀποτείνων δεήσεις πρὸς τοὺς θεοὺς ὑπὲρ τοῦ ὅλου τῆς πατρίδος, περὶ ἑαυτοῦ δὲ οὐδὲν ἰδίως προστιθείς, καὶ οὕτω διαβεβαιώσας τοὺς πάντας τοῦτο μὲν ὅτι τῆς σωτηρίας τῆς πατρίδος κήδεται μᾶλλον ἢ ἑαυτοῦ, τοῦτο δὲ ὅτι τηλικαύτην σταθερὰν πεποίθησιν ἔχει ἐπὶ τῇ εὐνοίᾳ τῶν δικαστῶν, ὥστε καὶ τὴν ἐλαχίστην περὶ ἑαυτοῦ δέησιν θεωρεῖ περιττήν. — καὶ τούτοις φρένας — ἐνθείητε] εὔχεται ὁ Δημ. καὶ ὑπὲρ τῶν ἐχθρῶν αὐτοῦ, ἵνα δικαιότερον ἐπιφέρῃ τὴν κατ' αὐτῶν βαρυτάτην ἀράν. — ἐξώλεις καὶ προώλεις — ποιήσατε] κατάρα συνήθης τοῖς ἀρχαίοις. οὕτω καὶ ἐν τῷ Δημ. π. παραπρ. §. 172. « ἐξώλης ἀπολοίμην καὶ προώλης » τῆς μὲν ἐξ δηλούσης τὸ « ἐντελῶς, ἐξ ὁλοκλήρου, » τῆς δὲ πρὸ τὸ « πρόωρον, » ἤτοι τὸ « πρὸ τοῦ πεπρωμένου καιροῦ. »

ΠΑΡΑΡΤΗΜΑ

ΠΕΡΙ ΤΩΝ

ΕΝ ΤΩ ΔΗΜΟΣΘΕΝΟΥΣ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ

ΔΗΜΟΣΙΩΝ ΓΡΑΜΜΑΤΩΝ.

Τὰ ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ ἀπαντώμενα δημόσια γράμματα (ἔγγραφα) ἕξη καὶ εἴκοσίν εἰσι τὸν ἀριθμόν, ἤτοι

10) *ψηφίσματα Ἀθηναίων* τῆς βουλῆς καὶ τοῦ δήμου (α),

2) *ἐκθέσεις*, ἡ μὲν περὶ ἐκλογῆς; πρέσβεων πρὸς Φίλιππον (§. 75), ἡ δὲ περὶ παρανόμων γραφῆς τοῦ τριηραρχικοῦ νόμου τοῦ Δημοσθένους, ᾗ προστέθεινται καὶ δύο *κατάλογοι*, ὅ τε ἐκ τοῦ προτέρου νόμου δηλ. καὶ ὁ ἐκ τοῦ νέου νόμου (§. 105. κ. ἑ.),

2) *δόγματα Ἀμφικτυόνων* (§. 154—155.),

1) *ψήφισμα Βυζαντίων* (§. 90—91.),

1) *ψήφισμα Χερρονησιτῶν* (§. 92.),

5) *ἐπιστολαὶ Φιλίππου* (β),

1) *Αἰσχίνου κατὰ Κτησιφῶντος γραφή* (§. 54—55.),

2) *δικαστικαὶ μαρτυρίαι* (§. 135. καὶ 137.),

1) *ἀπόσπασμα νόμου* (§. 120.),

1) *χρόνοι*, καθ' οὓς ἐπυλαγόρησεν Αἰσχίνης (§. 155.).

Πρώτη ἐν τούτοις δυσχέρεια εἶναι ὅτι ὅσων ἐπωνύμων ἀρχόντων μνεία γίνεται ἐν αὐτοῖς πάντες εἰσὶν ψευδώνυμοι, ἤ, ὡς πρῶτος ὁ Corsini ὠνόμασεν αὐτούς, *ψευδεπώνυμοι*, ἤτοι ἔχοντες ἕτερα παρὰ τὰ ἐν τοῖς χρονολογικοῖς πίναξι διασωθέντα ἐπωνύμων τότε ἀρχόντων ὀνόματα. ἐκ τούτου καὶ ἐξ ἄλλων ἐπίσης σπουδαίων λόγων ἀφορμὴν λαβόντες οἱ κριτικοὶ

(α) α) ψήφισμα Δημοσθένους §. 29.
β) » Καλλισθένους §. 37 κ. ἑ.
γ) » Εὐβούλου Κοπρίου §. 73. κ.ἑ.
δ) » Ἀριστονίκου §. 84.
ε—ζ) ψηφίσματα Καλλίου §. 115. κ.ἑ.
ζ) ψήφισμα Κτησιφῶντος §. 118.
η) » βουλῆς γνώμη §. 164.
θ) ψήφ. πολεμάρχου γνώμη §. 165.
ι) » Δημοσθένους §. 131-187.

(β) τρεῖς Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ §§. 39. 77 — 78. καὶ 166.
μία Θηβαίοις §. 167.
καὶ ἄλλη Πελοποννησίων τοῖς ἐν τῇ συμμαχίᾳ §. 157.

ἀπὸ τοῦ ιζ'. ἔτι αἰῶνος εἰς βαθυτέραν ἐνέκυψαν μελέτην τῶν ἐγγράφων τούτων, καί τινα μὲν τῶν ἐν αὐτοῖς ἀναφυομένων ζητημάτων διεφώτισαν ἱκανῶς, ἕτερα ὅμως οὐκ ὀλίγα μένουσιν ἔτι δύσλυτα αἰνίγματα Οἰδίπου χρῄζοντα.

Ἐνταῦθα περιοριζόμενοι εἰς τὰ ἀπολύτως ἀναγκαῖα πρὸς σχηματισμὸν εὐκρινοῦς τινος, εἰ δυνατόν, περὶ τούτων ἰδέας πλείονος προσοχῆς ἄξια θεωροῦμεν δύο κυριώτερα ζητήματα, τὰ ἑξῆς·

Α. Τὰ ἔγγραφα ταῦτα παρενετέθησαν τῷ λόγῳ ὑπ' αὐτοῦ τοῦ Δημοσθένους, ἢ εἶναι μεταγενεστέρα προσθήκη;

Β. Ἀποδειχθέντος ὅτι προσετέθησαν ὑπὸ μεταγενεστέρας χειρός, εἶναι τοὐλάχιστον αὐτὰ ἐκεῖνα τὰ ἐν Ἡλιαίᾳ τῇ Δημοσθένους αἰτήσει ὑπὸ τοῦ γραμματέως ἀναγνωσθέντα, ἢ ἕτερά τινα;

Α.

Μόνος, καθόσον γνωρίζομεν, ὁ **Spengel** φρονεῖ ὅτι τὰ ἔγγραφα ταῦτα παρενέβαλε τῷ λόγῳ αὐτὸς ὁ ῥήτωρ ἄνευ χρονολογίας, ὅπως ἀναγνώσθησαν (α), ἤτοι ἄνευ τοῦ ἐπωνύμου ἄρχοντος, ἡμέρας καὶ μηνός, τὰ ὁποῖα ὕστερον ἀμαθής τις πλάσας καὶ προσθεὶς μετά τινων ἐπισκευῶν παρέφθειρε καὶ τὰ ἔγγραφα. ἀλλ' ἐπειδὴ μεταξὺ τούτων ὑπάρχει καί τι χρόνοι ἐπιγραφόμενον (§. 155.) ἐπίσης ἐσφαλμένον κατὰ τοὺς χρόνους, τοῦτο ὁ **Spengel** καθὸ ἀντιφάσκον τῇ γνώμῃ αὐτοῦ δὲν διστάζει νὰ διακηρύξῃ νόθον καὶ παρέγγραπτον.

Ἐὰν τὰ τοῦ **Spengel** ἔχωνται πιθανότητός τινος ἀνάγκη νὰ ὑποθέσωμεν ὅτι ταῦτα παρενέβαλε τῷ λόγῳ ὁ ῥήτωρ ἢ πρὸ

(α) τοῦτο εἰκάζουσιν ἔκ τινων ῥητορικῶν χωρίων. οὕτως ὁ Αἰσχίνης (π. παραπρ. §. 89.) «καὶ γὰρ τοὺς χρόνους, λέγει, καὶ τὰ ψηφίσματα καὶ τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι τὸν ἅπαντα χρόνον φυλάττετε.» ὀλίγῳ δὲ κατωτέρω (§. 91.) εἰπὼν πρὸς τὸν γραμματέα «καί μοι λέγε τὸ τῆς βουλῆς ψήφισμα,» μετὰ τὴν ἀνάγνωσιν αὐτοῦ, λέγει· «παρανάγνωθι δὴ καὶ τὸν χρόνον ὅστις ἦν.» ἀφοῦ δ' ἀνεγνώσθη καὶ ὁ χρόνος ἐπιφέρει· «ἀκούετε ὅτι μουνυχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου.» ὡσαύτως καὶ Δημοσθένης (ἀνωτ. §. 155.), ἀφοῦ ὁ γραμματεὺς ἀνέγνω τὰ Ἀμφικτυόνων δόγματα, ἐπιπροσθέτει· «λέγε δὴ καὶ τοὺς χρόνους, ἐν οἷς ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ καθ' οὓς ἐπυλαγόρησεν οὗτος.» καὶ ἕπεται ἡ ἀνάγνωσις τῶν χρόνων, ἤτοι τοὔνομα τοῦ ἐπωνύμου ἄρχοντος, τοῦ μηνὸς καὶ ἡ ἡμέρα. τοὐναντίον ἐν τοῖς ἐπὶ λίθων διασωθεῖσι ψηφίσμασι βλέπομεν τὸν ἑξῆς τύπον. ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ. ἡ δεῖνα (φυλὴ) ἐπρυτάνευεν, ὁ δεῖνα ἐγραμμάτευεν, ὁ δεῖνα ἐπεστάτει, ὁ δεῖνα εἶπεν· ὅπως δὲ ἡ πρόταξις κατ' ἀπαρέμφατον.

τῆς ἐκφωνήσεως αὐτοῦ ἢ μετ' αὐτὴν ἐν τῇ ἐκδόσει. τὸ πρῶτον δὲν δυνάμεθα νὰ παραδεχθῶμεν, καθόσον τοῦ γραμματέως ἔργον ἦν νὰ λάβῃ ἀπὸ τοῦ Μητρῴου κατ' αἴτησιν τοῦ ῥήτορος ὅσα ἐχρειάζοντο ἔγγραφα καὶ ἀναγνοὺς αὐτὰ ἐν καιρῷ τῷ δέοντι νὰ καταθέσῃ πάλιν ἕκαστον εἰς τὸν οἰκεῖον τόπον· ἄλλως δὲ εἰς οὐδὲν ἐχρησίμευε τότε τῷ ῥήτορι ἡ προσθήκη αὕτη. ἀλλ' ἐπίσης ἀπίθανος εἶναι καὶ ἡ ἐν τῇ ἐκδόσει τοῦ λόγου προσθήκη αὐτῶν· διότι τί καὶ βουλόμενος ἔμελλε νὰ παρεμβάλῃ ταῦτα τῷ λόγῳ ὁ ῥήτωρ; χάριν τῶν συγχρόνων; ἀλλ' ἦτο περιττὸν διασωζομένων ἐν τῷ Μητρῴῳ ὅλων τῶν δημοσίων γραμμάτων. πρὸς γνῶσιν τῶν μεταγενεστέρων; τοῦτο ἴσως ἤθελεν εἰκάσει τις, ἂν δὲν ἦτο γενικῶς παραδεδεγμένον ὅτι οἱ ἀρχαῖοι ἔλεγον καὶ ἔγραφον διὰ τοὺς συγχρόνους κυρίως καὶ οὐχὶ δι' αἰωνιότητα, ἧς ἠξιώθησαν τὰ συγγράμματα αὐτῶν ἕνεκα τῆς ἐν αὐτοῖς ἀμωμήτου καλλονῆς καὶ τελειότητος. ἀρκεῖ εἰς ἀπόδειξιν ὅτι πλείστας ὅσας ἀπορίας ἀπαντῶμεν ἑκάστοτε παρ' αὐτοῖς περὶ πραγμάτων σπουδαιοτάτων καὶ βασίμων (α), ὧν ἐλάχιστον μόνον λόγον ποιοῦνται καθὸ γνωστῶν τοῖς ἀκούουσιν. ἔπειτα, ἐν πλείστοις τῶν χειρογράφων καὶ τοῖς καλλίστοις τὰ ἔγγραφα ταῦτα ἢ λείπουσιν ὅλως, ἢ κεῖνται ἐν σελίδι (στὸ περιθώρι) γεγραμμένα ὑπὸ ξένης ἢ καὶ τῆς αὐτῆς χειρός, ἐν ἅπασι δὲ λείπουσι τὰ ἀπὸ §. 210. καὶ ἑξῆς ἀναφερόμενα ἔγγραφα (πλὴν τοῦ ἐν §. 289. ἐπιγράμματος ἓν τισι μόνον χειρογράφοις ὑπάρχοντος, ἐν ἄλλοις δὲ οὐχί). ἐὰν λοιπὸν πραγματικῶς εἶχε παρενείρει ταῦτα τῷ λόγῳ αὐτὸς ὁ ῥήτωρ, βεβαίως δὲν ἤθελε παραλείψει ἐκεῖνα καθὸ οὐδὲν ἧττον σπουδαῖα, ἀναγκαιότερα δέ, εἴπερ τι τοιοῦτο, πρὸς ἀπόδειξιν τῶν λεγομένων, μᾶλιστα τῶν ἐν §§. 214. 217. 221—222. καὶ 267.

Διὰ τούτους καὶ δι' ἄλλους οὐσιωδεστέρους ἐξ αὐτῶν τῶν ἐγγράφων πηγάζοντας λόγους, οὓς θέλομεν ἰδεῖ ἀκολούθως, πειθόμεθα ἀδιστάκτως τῇ γνώμῃ τοῦ **Boeckh**, **Winiewski**, **Bochnecke** κτλ. γενικῶς παραδεχομένων ὅτι τὰ ἐν τῷ λόγῳ τούτῳ ἔγγραφα εἶναι προσθήκη μεταγενεστέρου τινὸς συλλέξαντος αὐτὰ πρὸς κόρωσιν καὶ ἀνάπτυξιν δήθεν τῶν ἐν τῷ λόγῳ εἴτε ἐκ τῶν ἐν τῷ Μητρῴῳ φυλαττομένων δημοσίων γραμμάτων εἴτε ἐξ ἄλλων συλλογῶν ἠρανισμένων ἀπ' αὐτῶν τούτων τῶν ἐν τῷ Μητρῴῳ, οἷα ἀναφέρεται ἡ Κρατεροῦ τοῦ Μακεδόνος *συναγωγὴ ψηφισμάτων*, ἧς μνείαν ποιοῦνται Στέφα-

(α) εἰς τὰ ἀνωτέρω ἐν §. 73. 114. κ. ἀ.

νος ὁ Βυζάντιος πολλαχοῦ, Ἁρποκρατίων ἐν λέξει *Ἄνδρων* (α), καὶ Πλούταρχος ἐν βίῳ Κίμωνος ΙΓ. (β).

Β.

Πρὸς λύσιν τοῦ β'. ζητήματος λεπτομερεστέρας χρήζομεν ἐρεύνης τῶν ἐν ἑκάστῳ τούτων περιεχομένων τῶν κυριωτέρων τοὐλάχιστον, καθόσον ἐκ τῆς συμφωνίας αὐτῶν ἢ ἀσυμφωνίας τοῖς τοῦ ῥήτορος, πρὸς ὧν τὴν βεβαίωσιν ἀναφέρονται ταῦτα ἐνταῦθα, θέλει ἀποδειχθεῖ καὶ ὁποῖά τινα εἶναι αὐτά.

Διατηροῦντες δὲ τὴν ἐν τῷ λόγῳ σειρὰν αὐτῶν ἀρχόμεθα ἀπὸ τοῦ ἐν §. 29.

ΨΗΦΙΣΜΑ. [*Ἐπὶ ἄρχοντος Μνησιφίλου—Κοθωκίδης.*] τὸ ἔγγραφον τοῦτο κατὰ τὸ χωρίον, ἐν ᾧ κεῖται, ἀνάγκη νὰ ἦναι αὐτὸ ἐκεῖνο, δι' οὗ ὁ Δημοσθένης *βουλευτὴς ὤν* προέτρεψε τοὺς πρέσβεις (κατὰ τὴν β' πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους) «ἀποπλεῖν τὴν ταχίστην ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν» (§. 25. καὶ 27.), καὶ ὅμως κατὰ τὰ παρὰ Δημοσθένει καὶ Αἰσχίνῃ περὶ τούτου ἀπαντώμενα τοῦτο διαφέρει ἐκείνου κατὰ πολλὰ καὶ οὐσιώδη· οἷον, ἐκεῖνο μέν, ὃ βεβαίως ἀπαιτεῖ ἐνταῦθ' ὁ Δημοσθένης διὰ τοῦ «λέγε τοίνυν μοι *τὸ ψήφισμα τοῦτ' λαβών*,» ἦτο ψήφισμα βουλῆς (γ), τοῦτο τοὐναντίον εἶναι ψήφισμα δήμου («δεδόχθαι τῇ βουλῇ καὶ *τῷ δήμῳ*»)· ἐκεῖνο ἐψηφίσθη, κατ' Αἰσχίνην (π. παραπρ.§ 92.), *μουνυχιῶνος τρίτῃ ἱσταμένου*, τοῦτο φέρει χρονολογίαν *ἑκατομβαιῶνος ἕκτης καὶ νέας*· ἐκεῖνο ἐγράφη ὥστε *ἀποπλεῖν τὴν ταχίστην* τοὺς ἤδη πρὸ ἡμερῶν αἱρεθέντας πρέσβεις (Αἰσχ. π. παραπρ. §. 90—91), ἐν τούτῳ λέγεται «πρέσβεις *ἑλέσθαι*·» ἐκεῖνο περιεῖχε, κατὰ Δημοσθένην (δ), καὶ τὰ «τὸν δὲ στρατηγὸν Πρόξενον κομίζειν αὐτοὺς ἐπὶ

(α) « Ἀνδρωνά φησιν εἶναι Κρατερὸς ἐν θ'. τῶν ψηφισμάτων τὸν γράψαντα τὸ ψήφισμα τὸ περὶ Ἀντιφῶντος τοῦ ῥήτορος.»

(β) « ἐν δὲ τοῖς ψηφίσμασιν, ἃ *συνήγαγε Κρατερός*, ἀντίγραφα συνθηκῶν ὡς γενομένων κατατέταχται.»

(γ) Δημ. ἔνθ. ἀνωτ. — π. παραπρεσβ. §. 154. « ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκέτι ὑπόλοιπος σύδεμία διὰ τὸ προκαταχεχρῆσθαι, οὗτοι δ' οὐκ ἀπῆσαν ἀλλ' αὐτοῦ διέτριβον, γράφω ψήφισμα *βουλεύων*, τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν.» — Αἰσχ. κ. Κτησ. §. 73. 76.

(δ) π. παραπρ. §. 154. «γράψας ὥσπερ *νῦν λέγω*, τοῖς ῥήμασιν οὕτως ἀντικρυς.»

τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνηται,» ἐν τούτῳ οὐδὲν τοιοῦτον ὑπάρχει· ἐκεῖνο διελάμβανεν *οὐ μόνον ὑπὲρ εἰρήνης ἀλλὰ καὶ περὶ συμμαχίας* πρὸς Φίλιππον (α), ἐν τούτῳ δὲ μόνον περὶ εἰρήνης γίνεται λόγος. πρόσθες ὅτι κατὰ τοὺς ῥήτορας (β) ἡ εἰρήνη ἐπεψηφίσθη ἐν τῇ ὑστέρᾳ τῶν ἐκκλησιῶν *τῇ ἑνάτῃ ἐπὶ δέκα ἐλαφηβολιῶνος*, καὶ οὐχὶ *ἐν τῇ πρώτῃ ἐκκλησίᾳ*, ὡς λέγεται ἐνταῦθα, καὶ ὅτι ἡ β΄. ἐκείνη πρεσβεία ἡ ἐπὶ τοὺς ὅρκους ἔμελλεν *ἀπολαβεῖν μόνον τοὺς ὅρκους* (γ), καὶ οὐχὶ *λαβεῖν τε καὶ δοῦναι*, ὡς ἐνταῦθα, ἐν ᾧ κατὰ Δημοσθένην (π. παραπρ. §. 120.) «οἱ πρέσβεις ἀπήρκεσαν οἱ τοῦ Φίλιππου *λαβόντες τοὺς ὅρκους παρ' Ἀθηναίων*,» καὶ τέλος ὅτι οἱ τότε πρὸς Φίλιππον ἀποσταλέντες πρέσβεις ἦσαν *δέκα* (δ), ἤτοι Κτησιφῶν, Φιλοκράτης, Δερκύλος, Αἰσχίνης (ε), Φρύνων, Δημοσθένης (ς), Ἰατροκλῆς (ζ), Ἀριστόδημος (η), Κίμων (θ), καὶ Ναυσικλῆς (ι), ἐνταῦθα δὲ *πέντε* μόνον ἀναφέρονται, καὶ οὗτοι, πλὴν Αἰσχίνου, ἕτεροί τινες παρὰ τοὺς τότε ἀποσταλέντας. παραλείποντες τὸ ψευδεπώνυμον τοῦ ἄρχοντος (διότι ὁ τότε, ὀλ. ῥή, β΄ ἐπώνυμος ἦν Θεμιστοκλῆς), τὴν ἀκανόνιστον θέσιν τοῦ *ἄρχοντος*, ὅπερ συνήθως ἐπιτάσσεται τοῦ κυρίου ὀνόματος, καὶ εἴτι ἄλλο, καθόσον μάλιστα θέλομεν ἐπανέλθει καὶ ἀκολούθως εἰς τὸ ἔγγραφον τοῦτο, μεταβαίνομεν εἰς τὸ τοῦ Καλλισθένους.

37. ΨΗΦΙΣΜΑ. [*Ἐπὶ Μνησιφίλου — Σούνιον.*] καὶ τοῦτο λείπει ἐν πλείοσι τῶν χειρογράφων, ἐν ἄλλοις δὲ εἶναι παραγεγραμμένον ἐν σελίδι. καὶ ἐν τούτῳ δὲν συμβιβάζονται τῇ ἀληθείᾳ οὔτε ὁ ἄρχων οὔτε ἡ λοιπὴ χρονολογία. κατὰ τὸν Δημοσθένην (π. παραπρ. §. 60.) *σκιροφοριῶνος τετράδι φθίνοντος*, καὶ οὐχὶ *μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος*, ὡς ἐνταῦθα, *Ἀθηναίοις ἐκκλησιάζουσιν ἐν Πειραιεῖ* περὶ τῶν ἐν τοῖς νεωρίοις (καὶ οὐχί, ὡς ἐνταῦθα, *συγκλήτου ἐκκλησίας ὑπὸ στρατηγῶν*) ἦκε — Δερκύλος ἐκ Χαλκίδος καὶ ἀπήγγελλεν — ὅτι

(α) Αἰσχ. π. παραπρεσβ. §§. 33. 123. 137.— κ. Κτησ. §. 63. 68. 71—72.
(β) Αἰσχ. π. παραπρ. §. 61. 65.—κ. Κτησ. 68—71.—Δημ. π. παραπρ. §. 37.
(γ) Αἰσχ. π. παραπρ. §. 98.
(δ) Αἰσχ. π. παραπρ. §. 18. 97. — Δημ. π. παραπρ. §. 116.
(ε) Αἰσχ. π. παραπρ. §. 47.
(ς) Δημ. π. παραπρ. §. 229. 172. 173. ἔνθα λέγει. «ὧν μὲν — αὐτοκράτωρ ἦν ἐγὼ κατὰ τὴν πρεσβείαν, τοῦτον ἔσχε τὸν τρόπον ὑμῖν.»
(ζ) Αἰσχ. π. παραπρ. §. 20.— Δημ. π. παραπρ. §. 197. 198.
(η) Αἰσχ. π. παραπρ. §. 19. 32.
(θ) Αἰσχ. π. παραπρ. §. 21.
(ι) ὑποθ. τοῦ Δημ. π. παραπρ.

Φωκεῖς ἀπολώλασι,» καὶ οἱ Ἀθηναῖοι «ταῦτ' ἀκούσαντες ἐψηφίσαντο Καλλισθένους γράψαντος παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν καὶ τὰ φρούρια ἐπισκευάζειν καὶ τὸν Πειραιᾶ τειχίζειν καὶ τὰ Ἡράκλεια ἐν ἄστει θύειν» (αὐτόθι §. 125. 86.), ὧν οὐδεὶς ἢ ἐλάχιστος λόγος γίνεται ἐνταῦθα, ὥστε ἤδη ἀπὸ τοῦ ιζ'. αἰῶνος ὁ Vincenzo Contarini (α) πλαστόν τι καὶ νόθον ὑπώπτευσεν αὐτό.

39. ΕΠΙΣΤΟΛΗ. [*Βασιλεὺς Μακεδόνων — ἀδικοῦντες.*] ἐν ταύτῃ τὸν διισχυρισμὸν «τὰ δὲ μὴ ὑπακούοντα κατὰ κράτος *λαβόντες* καὶ ἐξανδραποδισάμενοι κατεσκάψαμεν» εὑρίσκουσιν ἀσύμφωνον τοῖς τε τοῦ Δημοσθένους (π. παραπρ. §. 60.) «ἔτι — τὸ *μηδεμίαν* τῶν πόλεων τῶν ἐν Φωκεῦσιν ἄλωνα πολιορκίᾳ *μηδ' ἐκ προσβολῆς κατὰ κράτος*, ἀλλ' ἐκ τοῦ σπείσασθαι πάντας ἄρδην ἀπολέσθαι, μέγιστόν ἐστι σημεῖον κτλ.,» καὶ τοῖς παρὰ Διοδώρῳ ΙΣΤ'. 59—60.

54. ΓΡΑΦΗ. [*Ἐπὶ Χαιρώνδου — Κοθωκίδης*] καὶ ἐν ταύτῃ ψευδεπώνυμον θεωροῦσι τὸν ἄρχοντα ὁ Droysen, ὁ Spengel καὶ μάλιστα ὁ Boehnecke, ὃς καὶ ἀπέδειξεν ἤδη δι' ἰσχυρῶν λόγων ὅτι ἡ κατὰ Κτησιφῶντος γραφὴ πίπτει ἐπὶ Φρυνίχου (Ὀλ. ρί, δ'.), ἤτοι ἓν ἔτος ὕστερον ἀπὸ τῆς ἐνταῦθα ἀναφερομένης ἐποχῆς. ἀήθης φαίνεται καὶ ἡ φράσις «τραγῳδῶν τῇ καινῇ,» ὡς καὶ ὁ ὅρος *πρὸς τὸν ἄρχοντα*, καθόσον αἱ παρανόμων γραφαὶ ἐδίδοντο πρὸς τοὺς θεσμοθέτας καὶ οὐχὶ πρὸς τὸν ἐπώνυμον ἄρχοντα. ὡς πρὸς τὰ περιεχόμενα ὅμως οὐδὲν εὑρίσκουσιν ἐν αὐτῇ ἀπᾷδον τοῖς παρ' Αἰσχίνῃ καὶ Δημοσθένει.

Ἐν δὲ τοῖς ἑξῆς (§. 73—75. καὶ 77—78.) περὶ διαλύσεως τῆς εἰρήνης ἐγγράφοις

[*Ἐπὶ ἄρχοντος — τί δεῖ ποιεῖν. — Ἐπὶ Νεοκλέους — εἶπεν. — Βασιλεὺς Μακεδόνων — εὐτυχεῖτε.*] οὐσιωδέστεραι πραγματικαὶ δυσχέρειαι εἶναι

α'. τὸ ψευδεπώνυμον τοῦ ἄρχοντος, διότι κατὰ τοὺς λόγους τοῦ Δημοσθένους ἐπὶ Θεοφράστου ὑποτίθεται ὅτι συνέβησαν τὰ περὶ ὧν ὁ λόγος, εἰ καὶ ἀγνοοῦμεν τὰ καθ' ἕκαστα,

β'. ἐν ᾧ ὁ ῥήτωρ ἐπαριθμεῖ πολλὰ πολλῶν ψηφίσματα (§. 75.) καὶ διατάσσει τὸν γραμματέα ν' ἀναγνῷ αὐτά, καὶ μετὰ τὴν ἀνάγνωσιν αὐτῶν ἐπιφέρει « ὥςπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω *τὰ ψηφίσματα*» (§. 76.), ἐνταῦθα παρεντίθεται ἓν μόνον καὶ τοῦτο *οὐδὲ ψήφισμα* (διότι ἐν αὐτῷ οὐδεὶς οὐδὲν προτείνει),

(α) Variarum Lectionum Liber. ἐξεδόθη ἐν Βενετίᾳ τὸ 1606.

ἀλλ' ἁπλῆ ἔκθεσις τῶν γεγονότων (protocole)· ὁ δὲ πρόεδρος εἶναι οὐχὶ ἐκ τῆς πρυτανευούσης φυλῆς (τῆς Ἱπποθωντίδος), ἀλλ' ἐκ τῆς Αἰγηΐδος, διότι εἰς αὐτὴν ἀνῆκεν ὁ δῆμος Κολλυτός,

γ'. κατὰ τὰ ἐν §. 79. ἐπιφερόμενα «τίποτ' οὖν *τοῖς ἄλλοις ἐγκαλῶν τῶν ἐμοὶ πεπραγμένων οὐχὶ μέμνηται*» ὑποτίθεται ὅτι ἡ Φιλίππου ἐπιστολὴ ῥητήν τινα μνείαν δημαγωγῶν τινων περιεῖχεν, οἵα φαίνεται καὶ ἐν ἄλλῃ αὐτοῦ ἐπιστολῇ [Δημ.] π. Ἀλονν. §. 33., ἄλλως ἄπορον πῶς ἠδύνατο ὁ ῥήτωρ οὕτως ἐπανειλημμένως (§. 76. καὶ 79.) νὰ διαβεβαιώσῃ τοὺς ἀκροατὰς ὅτι οὐδ' ὁ Φίλιππος ἑτέροις ἐγκαλῶν οὐδὲν αἰτιᾶται αὐτὸν ὑπὲρ τοῦ πολέμου (§. 76.)· οὔτ' εἶναι πιθανὴ οὐδ' εὔλογος ἡ εἰκασία ὅτι ἐνταῦθα ὁ Φίλιππος διὰ τοῦ «ὑπὸ δέ τινων ἀρχόντων καὶ ἑτέρων ἰδιωτῶν μὲν νῦν ὄντων ἐκ παντὸς δὲ τρόπου βουλομένων τὸν δῆμον ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φιλίας τὸν πόλεμον ἀναλαβεῖν» ἐννοεῖ τοὺς περὶ Δημοσθένην, διότι τὸ ἀμέσως ἐπιφερόμενον «καὶ ὑπολαμβάνουσιν αὐτοῖς τὸ τοιοῦτο *πρόσοδον ἔσεσθαι*» φιλιππίζουσί τισιν ἐφαρμόζεται μᾶλλον ἢ Δημοσθένει.

84. ΨΗΦΙΣΜΑ. [*Ἐπὶ Χαιρώνδου Ἡγέμονος—Φρεάρριος.*] ἐν δὲ τῷ Ἀριστονίκου λεγομένῳ τούτῳ ψηφίσματι ὡς ἐὰν μὴ ἤρκει τὸ ψευδεπώνυμον τοῦ ἄρχοντος (α) προσετέθη καὶ τὸ πατρωνυμικὸν αὐτοῦ (*Ἡγέμονος*), ὅπερ ὅλως ἀσύνηθες. ἐὰν δ' ἔχωνται ἀληθείας τὰ παρὰ Ψ. Πλουτάρχῳ (βίοι Ἱ. Ρητ. σ.848.) Ἀναγυράσιος ἦν ὁ Ἀριστόνικος καὶ οὐχὶ Φρεάρριος.

90. ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ. [*Ἐπὶ Ἱερομνάμονος — εὐχαριστίαν.*] δύο οὐσιώδεις δυσχέρειαι ὑπάρχουσιν ἐν τούτῳ, ἃς καὶ ὁ Boeckh αὐτὸς καίτοι ὑπερασπιζόμενος τὸ γνήσιον τοῦ ἐγγράφου ἀδυνατεῖ, λέγει, νὰ ἐξηγήσῃ· α'. εἶναι ἡ Βυζαντίων καὶ Περινθίων ἐν αὐτῷ συνένωσις, ἐν ᾧ κατὰ τὸν λόγον τοῦ ῥήτορος «λέγε δ' αὐτοῖς *καὶ τοὺς τῶν Βυζαντίων* στεφάνους *καὶ τοὺς τῶν Περινθίων*» δύο ψηφίσματα περιέμενέ τις. β'. δυσκολία εἶναι ὅτι ἐν ᾧ τὸ ψήφισμα *Βυζαντίων* μόνον ἐπιγράφεται, ἔπειτα διὰ μιᾶς παρεισάγονται καὶ Περίνθιοι· ἂν δὲ αἱ δύο πόλεις ὁμοῦ ἔγραψαν *ἀπὸ κοινοῦ* ἓν ψήφισμα, τότε ἔπρεπε νὰ προσληφθῶσι καὶ ἄλλαι ἐπίσης σύμμαχοι Βυζαντίοις, μάλιστα ἡ Σηλυμβρία. ἄλλως ὅμως καὶ τοῦτο καὶ τὸ ἀκόλουθον

ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ κρίνονται ὡς τὰ αὐθεντικώτερα τῶν ἐν τῷ περὶ τοῦ στεφάνου δημοσίων ἐγγράφων.

(α) Νικόμαχος ἦν ἐ. τότε (Ὀλ. ρθ', δ'.) ἄρχων.

Πλήρες δ' ἀνωμαλιῶν εἶναι τὸ ἑξῆς ἔγγραφον, ᾧ προστέθεινται καὶ δύο *κατάλογοι*.

105. ΨΗΦΙΣΜΑ. [*Ἐπὶ ἄρχοντος Πολυκλέους — δραχμάς.*] κατὰ τὰ ἀμέσως προηγούμενα ὁ Δημοσθένης αἰτεῖ τὸ ψήφισμα, *καθ' ὃ εἰσῆλθε τὴν γραφήν*, ὅπερ ὅπως καὶ ἂν ἐννοήσωμεν (ἴδ. ἀνωτ. §. 105. σημ.), πάντοτε μένει τοῦτο ἀκατάλληλον ἐνταῦθα, καθόσον οὐδὲ ψήφισμα εἶναι, ἀλλ' ἁπλοῦν protocole, ἤτοι *ἔκθεσις* ὅτι ἐπὶ τοῦ δεῖνος συνέβη τὸ καὶ τό. ψευδεπώνυμος εἶναι καὶ ὁ ἄρχων, τὸ δὲ πρόστιμον τοῦ κατηγόρου μὴ λαβόντος τὸ πέμπτον μέρος τῶν ψήφων ἦν ὡρισμένως *χίλιαι* καὶ οὐχὶ *πεντακόσιαι δραχμαί*, ὡς λέγεται ἐνταῦθα. παράδοξος καὶ ἡ φράσις «ἐπεχειροτόνησεν *ἡ βουλή*, καὶ ὁ δῆμος» ἐπίσης ἀποδοκιμαστέον ἐκρίθη τὸ *εἰς τὸ τριηραρχικόν*, καθὸ οὐδεμίαν ἐξάγον ἔννοιαν, ὥστε παμψηφεὶ σχεδὸν κατακρίνεται ὡς ἄθλιόν τι ἐπείσακτον.

106. ΚΑΤΑΛΟΓΟΣ. [*Τοὺς τριηράρχους — χρωμένους*] ἐν τούτῳ ἀνεξήγητον ἔμεινε μέχρι τοῦδε τὸ *ἐν τοῖς λόγοις*. δὲν εἶναι ἀκριβὴς καὶ ἡ ἔκφρασις *χορηγία* ἀντὶ τῆς *λειτουργία*, καθόσον μάλιστα γενικώτερος ὅρος εἶναι ἡ λειτουργία.

ΚΑΤΑΛΟΓΟΣ. [*Τοὺς τριηράρχους — τάλαντα*] παραλείποντες ὅτι τὸ *ἕως* παρὰ μεταγενεστέροις μόναν εἶναι εὔχρηστον οὕτω προθετικῶς, ὁ κατὰ τὸν Δημοσθένους νόμον ἀνώτατος ὅρος ἦν τὸ τριηραρχεῖν τοὺς πλουσιωτάτους *μέχρι δυοῖν τριήρων* «καὶ *δυοῖν* ἐφάνη *τριήραρχος* ὁ τῆς μιᾶς ἔκτος καὶ δέκατος πρότερον συντελής» (ἀνωτ. §. 104. πρβλ. καὶ τὴν αὐτόθι σημ.), καὶ οὐχὶ ἕως *τριῶν* καὶ *ὑπηρετικοῦ*, ὡς ἐνταῦθα. εὐλόγως κρίνεται ἀδόκιμος καὶ ἡ χρῆσις τοῦ *πλοίων* ἀντὶ τοῦ *νεῶν* ἢ *τριήρων*.

Τῶν δ' ἑξῆς ψηφισμάτων τοῦ Καλλίου ἀγνοεῖται μὲν καὶ ὁ χρόνος (α) καὶ τὸ ἱστορικόν, οὐδὲν ἧττον ὅμως καὶ αὐτὰ καθ' ἑαυτὰ περιέχουσι δυσχερείας τινάς. οὕτως ἐν τῷ ά.

115. [*Ἄρχων Δημόνικος Φλυεύς — καινοῖς.*] οὐ μόνον εἶναι ψευδεπώνυμος ὁ ἄρχων, ἀλλὰ καὶ ὁ κατ' ὀνομαστικὴν τύπος καὶ ἡ προσθήκη τοῦ δημοτικοῦ αὐτοῦ ὀνόματος εἶναι πάντῃ ἀσυνήθη, ὡς καὶ τὸ ἀναλελυμένως *ὅτι δοκεῖ*, καὶ ἡ φράσις «γνώμῃ βουλῆς *καὶ δήμου*,» κτλ.

(α) ἐκ δὲ τῶν διαφόρων περὶ τούτου γνωμῶν πιθανωτέρα φαίνεται ἡ τοῦ Boeckh τιθεμένου αὐτὰ κατ' Ολ. ρτ', ε'. κατὰ τὰ παρὰ Διοδώρῳ ΙΣΤ', 21.

116. ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ. *Εἶπε Καλλίας— ἀγωνοθέτας.*] ἐν δὲ τῷ ἑτέρῳ τούτῳ ἐκτὸς τῆς περικοπῆς «τῶν στρατιωτῶν *τινῶν* ὑπὸ τῶν πολεμίων σκυλευθέντων, ἐκ τῶν ἰδίων ἀναλωμάτων καθώπλισαν *τοὺς νεανίσκους* ἀσπίσιν *ὀκταχοσίαις*,» εἰς ἣν προσέκρουσαν πάντες ἀδυνατοῦντες ἐξηγῆσαι τὸ ὡρισμένον «ἀσπίσιν *ὀκταχοσίαις*» μετὰ τὸ ἀόριστον «στρατιωτῶν *τινῶν*» (διότι οἱ *ὀκταχόσιοι* δὲν δύνανται βεβαίως νὰ ὀνομασθῶσι *τινὲς*) καὶ τὸ ἔγαρθρον *τοὺς νεανίσκους* μετὰ τὸ *στρατιωτῶν*, ἐκτὸς λέγω τοῦ συγκεχυμένου τούτου χωρίου δὲν ἀποδεικνύεται οὐδ' ὅτι ὁ Χαρίδημος καὶ ὁ Διότιμος ἦσαν ἔτι ὑπεύθυνοι ὅτε ἐστεφανοῦντο, ἐν ᾧ ἐπὶ τούτῳ καὶ μόνῳ διέταξεν ὁ ῥήτωρ τὴν ἐνταῦθα ἀνάγνωσιν αὐτοῦ (α).

Τὸ δὲ Κτησιφῶντος

118. ΨΗΦΙΣΜΑ. [*Ἐπὶ ἄρχοντος Εὐθυκλέους—ἀγωνοθέτην*] δὲν συμφωνεῖ τοῖς τοῦ Αἰσχίνου οὔτε κατὰ τὴν ἀρχὴν οὔτε κατὰ τὸ ποσὸν τῶν χρημάτων οὔτε κατά τινα τῶν λοιπῶν περιεχομένων. οὕτως ἐν §. 236. λέγει τῷ Κτησιφῶντι ὁ Αἰσχίνης «εἰ μὲν γὰρ λέγεις *ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω*, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου,» τὰ δὲ χρήματα, ἃ Δημοσθένης τῇ πόλει ἐπέδωκεν *ἑκατὸν μυρίας* λέγει (κ. Κτησ. §. 17.) καὶ οὐχὶ τρία τάλαντα, ὡς ἐνταῦθα. περιείχοντο δὲ καὶ τὰ «καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἕλληνας, ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας, καὶ ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ» (κ. Κτησ. §. 49.). ἀλλὰ καὶ ἐπώνυμος ἄρχων ἦν τότε (Ὀλ. ρί, δ'.) Φρύνιχος.

120. ΝΟΜΟΣ. [*ὅσους —ἀναγορεύεσθαι*] τὸ ἔγγραφον τοῦτο, ὅπερ ἀπόσπασμα νόμου μᾶλλον ἢ *νόμος* δίκαιον νὰ ὀνομασθῇ καθὸ ἐλλειπές, ὡς ἐκ τῶν ἐν τοῖς χειρογρ. χασμάτων αὐτοῦ δῆλον, πράγματα παρέσχε τοῖς κριτικοῖς, καθόσον οὐδ' αὐ-

(α) Σαλαμῖνα παραδέχονται οἱ κριτικοὶ πάντες σχεδὸν τὴν πλησίον τῆς Ἀττικῆς νῆσον προσβολήν τινα Φιλίππου ἢ καὶ Μεγαρέων καὶ Κορινθίων εἰκάζοντες κατ' αὐτῆς, καίτοι οὐδεμίαν ἱστορικὴν ἀπόδειξιν ἔχοντες, τὰ δὲ παρὰ Διοδώρῳ (ΙΣΤ', 42. καὶ 46) περὶ τῆς ἐν Κύπρῳ Σαλαμῖνος ὅλως ἄσχετα θεωροῦσι τοῖς ἐνταῦθα, καὶ διότι ἐκεῖ ὁ Φωκίων ἀναφέρεται στρατηγὸς τῶν μισθωτῶν τοῦ Ἱδριέως δυνάστου τῆς Καρίας καὶ οὐχὶ ἀπεσταλμένος τῶν Ἀθηναίων κατὰ τὰ παρ' αὐτῷ τῷ Διοδώρῳ (ΙΣΤ', 44.) « Ἀθηναῖοι μὲν οὖν καὶ Λακεδαιμόνιοι τὴν φιλίαν ἔφασαν τὴν πρὸς Πέρσας τηρεῖν, *συμμαχίαν δὲ ἀποστέλλειν ἀντεῖπον*,» καὶ δι' ἄλλους σπουδαίους λόγους. ὁ δὲ ἡμέτερος Σακελλάριος (Κυπρ. σ. 25.) ὑπὲρ τῆς ἐν Κύπρῳ Σαλαμῖνος ἀποφαινόμενος δὲν φέρει καὶ ἀποχρῶντά τινα λόγον.

τοὶ οἱ διαφερόμενοι ῥήτορες συμφωνοῦσι πρὸς ἀλλήλους περὶ αὐτοῦ, καὶ δύσκολον νὰ ὁρισθῇ τὸ ἀληθές. καὶ ὅμως ὁ Westermann καὶ ὁ Dissen καὶ ἐν τούτῳ τῷ Αἰσχίνῃ ἀποδίδουσι τὸ ἄδικον, ἐκ τῶν ἀμέσως ἐπιφερομένων λόγων τοῦ ῥήτορος («ἀκούεις, Αἰσχίνη, *τοῦ νόμου λέγοντος σαφῶς*, πλὴν ἐάν τινας ὁ δῆμος ἢ ἡ βουλὴ ψηφίσηται) εἰκάζοντες ὅτι ὁ Αἰσχίνης διέστρεψε τὸν νόμον μὴ ἀναγνοὺς αὐτὸν ὅλον, ἀλλ᾽ ἀφαιρέσας μέρος τι (κατὰ τὸν Dissen τὸ *τινάς*). ὡς λέγει καὶ ὁ Δημοσθένης «τῶν δ᾽ ἀφαιρῶν *μέρη*, οὓς *ὅλους* δίκαιον ἦν ἀναγιγνώσκεσθαι,» καὶ μεταποιήσας τὴν ἔννοιαν.

135. 137. ΜΑΡΤΥΡΕΣ. [Μαρτυροῦσι — Ὑπερείδης.— Τελέδημος — ἱσταμένου.] ἐνταῦθα προσέκρουσαν τῷ ἀορίστῳ ποτέ («τοῦ δήμου *ποτὲ* χειροτονήσαντος), καὶ τῷ (§. 137.) «ἐπωμόσαντο ἐπὶ τῶν στρατηγῶν» πῶς δηλ. ἡ κατ᾽ Αἰσχίνου μαρτυρία κατατίθεται ἐνώπιον τῶν στρατηγῶν. ἄρχων δὲ τότε (Ὀλ. ρθ΄, δ΄.) ἦν Νικόμαχος, καὶ οὐχὶ Νικίας, ὡς λέγεται ἐνταῦθα, εἰ καὶ δὲν προστέθειται τὸ *ἄρχοντος*.

154—155. ΔΟΓΜΑΤΑ ΑΜΦΙΚΤΥΟΝΩΝ [*Ἐπὶ ἱερέως — μὴ ἐπιβαίνειν.—Ἐπὶ ἱερέως —Ἀμφικτυόνων.*] αἱ ἐν τούτοις δυσχέρειαι εἶναι, ἀ. ὅτι ὁ συνήθης τύπος τῶν Ἀμφικτυονικῶν δογμάτων εἶναι «ἐπὶ . . . . *ἄρχοντος*» (*καὶ οὐχὶ ἱερέως*) «πυλαίας — (α) ἔδοξε τοῖς ἱερομνήμοσι» (β) (*καὶ οὐχὶ τοῖς πυλαγόροις τῶν Ἀμφικτυόνων*, καθόσον οἱ πυλάγοροι ἦσαν ἁπλῶς πάρεδροι (πρβλ. τὰ ἐν §. 148. σημειωθέντα), ἐν δὲ τοῖς δόγμασιν ἐκαλοῦντο ἀγυρατροί), β΄. αἱ λέξεις *σύνεδροι τῶν Ἀμφικτυόνων*, καὶ *κοινὸν τῶν Ἀμφικτυόνων* πρώτην φορὰν ἐπὶ Ῥωμαίων ἀπαντῶνται. ἀλλὰ καὶ τὰ περιεχόμενα ἐν τῷ ἀ. δόγματι ἔδει, κατὰ τὰ παρ᾽ Αἰσχίνῃ (κ. Κτησ. §. 122. κ. ἑ.), εἶναι, ὡς εἰκάζει ὁ Boehnecke, τοιάδε τινά· «ἔδοξε τοῖς ἱερομνήμοσιν, ἐπειδὴ Ἀμφισσεῖς οἱ Λοκροὶ τὴν ἱερὰν χώραν ὡς ἑαυτῶν οὖσαν γεωργοῦσι καὶ κεραμεῖα ἐνῳκοδομήκασι καὶ αὔλια, καὶ τὸν ἐπάρατον λιμένα τετειχίκασι καὶ τέλη πεπράχασι καὶ χρήματα λαμβάνουσιν ἐκ τοῦ ἱεροῦ λιμένος *περιελθεῖν*» (ὡς κεῖται καὶ παρὰ Δημοσθένει ἀνωτέρω ἐν §. 150. καὶ οὐχί, ὡς ἐνταῦθα, *ἐπελθεῖν*, ὅπερ = στρατεύειν ἐπὶ) «τὴν ἱερὰν χώραν· Δελφῶν δὲ ὅσοι ἐπὶ δίετες ἤδωσι καὶ δούλους καὶ ἐ-

(α) οὕτω προτάσσεται τὸ π υ λ α ί α ς κατὰ Franke de decr. Amph.

(β) πρόσθες τοῖς ἐν §. 148. σημειωθεῖσι καὶ τὸ τοῦ Σχολιαστοῦ· « ἱερομνήμονες, οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον ὡς κ ύ ρ ι ο ι τ ῶ ν ψ ή φ ω ν.»

λευθέρους ἤκειν ἅμα τῇ ἡμέρᾳ τῇ ὑστεραίᾳ ἔχοντας ἅμας καὶ δικέλλας πρὸς τὸ Θυτεῖον ἐκεῖ καλούμενον· τοὺς δὲ ἱερομνήμονας καὶ πυλαγόρους,» ἢ μᾶλλον, «ἀγυρατροὺς ἤκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ· ἥτις δ' ἂν μὴ παρῇ πόλις, εἴρξεται τοῦ ἱεροῦ καὶ ἐναγὴς ἔσται καὶ τῇ ἀρᾷ ἔνοχος.» Ἐν δὲ τῷ ἑτέρῳ δόγματι ὅτι μὲν πυλαίας ὀπωρινῆς ἔδει νὰ γράφηται εἶναι ἀμφισβητήσιμον, ἄλλων ἄλλα εἰκαζόντων (α), ἀνεξήγητον ὅμως ὅτι ὁ Κόττυφος λέγεται Ἀρκάς, ἐν ᾧ οἱ Ἀρκάδες δὲν μετεῖχον τοῦ Ἀμφικτυονικοῦ συνεδρίου, ὁ δ' Αἰσχίνης (κ. Κτησ. §. 128.) ῥητῶς *Φαρσάλιον* λέγει αὐτόν. ἀδόκιμος καὶ ἡ φράσις «ἀξιοῦν ἵνα βοηθήσῃ,» καὶ ἐν γένει ἡ διάλεκτος δὲν εἶναι ἡ τοῖς Ἀμφικτύοσι συνήθης, ὡς ἐξ ἄλλων διασωθέντων ἡμῖν Ἀμφικτυονικῶν δογμάτων δῆλον. Franke d. decr. Amph. σ. 14.

155. ΧΡΟΝΟΣ [*Ἄρχων——δεκάτῃ.*] ὁ Δημοσθένης ζητεῖ τὴν ἀνάγνωσιν τῶν χρόνων, *ἐν οἷς ταῦτ' ἐγίγνετο.* ἐν τούτοις δὲ (Ὀλ. ρι', α'.) ἄρχων ἦν Θεόφραστος κατὰ ῥητὴν μαρτυρίαν τοῦ Αἰσχίνου (β).

157. ΕΠΙΣΤΟΛΗ. [*Βασιλεὺς——εὐτυχεῖτε.*] ἐν τῷ ἐγγράφῳ τούτῳ λέγεται ὅτι ὁ μακεδονικὸς μὲν λῶς ἀντιστοιχεῖ τῷ ἀττικῷ βοηδρομιῶνι, ἐν ᾧ κατὰ Πλούταρχον (γ) τὸν ἑκατομβαιῶνα καλοῦσι Μακεδόνες λῶον. πάνημος δὲ παρὰ Κορινθίοις καὶ Βοιωτοῖς ἦν πάντοτε ὁ Μεταγειτνιὼν κατὰ Boeckh.

164—167. [*Ἐπὶ ἄρχοντος Ἡροπύθου — Ἀλωπεκῆθεν.——Ἐπὶ ἄρχοντος Ἡροπύθου——δήμου.——Βασιλεὺς——ἔρρωσθε.——Βασιλεὺς——προθέσεως. ἔρρωσθε.*] τούτων τὴν ἀνάγνωσιν ἀπαιτεῖ ὁ Δημοσθένης πρὸς γνῶσιν τῆς μεταξὺ Ἀθηναίων καὶ Θηβαίων δυσμενείας, «ἐν οἷς δ' ἦτε ἤδη τὰ πρὸς ἀλλήλους τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων εἰσεσθε» (§. 163.)· μετὰ δὲ τὴν ἀνάγνωσιν αὐτῶν ἐπιφέρει, «οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἦκεν ἔχων τὴν δύναμιν καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ'

(α) οὕτως ὁ Boehnecke παραδέχεται ὅτι τὸ ἀ δόγμα εἶναι Πυλαίας ὀπωρινῆς καὶ τοῦτο ἐαρινῆς, τοὐναντίον φρονεῖ ὁ Boeckh. κ. ἀ. ἴσως πιθανώτερον.

(β) κ. Κτησ. §. 115. «ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος Ἱερομνήμονες ὄντες Δημογνήτου Ἀναφλυστίου, πυλαγόρους ὑμεῖς εἵλεσθε Μειδίαν τε——τὸν Ἀναγυράσιον——καὶ Θρασυκλέα τὸν Λεκκιέα, καὶ τ ρ ί τ ο ν δὲ μετὰ τούτων ἐμέ.»

(γ) Ἀλέξ. Γ. «ἐγεννήθη δ' οὖν Ἀλέξανδρος ἑκτῇ ἱσταμένου μηνὸς ἑκατομβαιῶνος, ὃν Μακεδόνες λῶον καλοῦσιν.»

ἂν εἴ τι γένοιτο ἔτι συμπρευσάντων ἂν ἡμῶν καὶ τῶν Θηβαίων, » καὶ ὅμως ἐνταῦθα ἐν μὲν τοῖς ψηφίσμασιν οὐδεὶς γίνεται λόγος περὶ τῆς μεταξὺ Ἀθηναίων καὶ Θηβαίων ταύτης δυσμενείας, ἐν δὲ ταῖς Φιλίππου ἀποκρίσεσιν βραχεῖα μόνον γίνεται μνεία τῆς Ἀθηναίων πρὸς Θηβαίους οὐχὶ πάλιν δυσμενείας ἀλλ' ἁπλῶς φιλοτιμίας περὶ τοῦ *συγκαταίρους γενέσθαι τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις*· ὥστε οὐδεμία ἀμφιβολία ὅτι τὰ τοῦ ῥήτορος « τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσι » πρὸς πᾶν ἄλλο ἀνέφεροντο ἢ πρὸς τὰ ἐν τοῖς ἐγγράφοις τούτοις. προσέτι ἄρχων ἦν τότε ὁ Θεόφραστος. ἀνεξήγητος δὲ ἡ φράσις *καὶ τὰς ἀρχὰς* (καὶ τοῦτο ἐνάρθρως καὶ ὡρισμένως) *ποιήσασθαι*, ἐν ᾧ οὐδ' εἶχε λυθῆ ἔτι ἡ εἰρήνη κατὰ τὰ ἀμέσως ἀντιφατικὰ προηγούμενα « παρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν ἐπιβάλλεται καὶ τὴν εἰρήνην, παραβαίνων τὰς κοινὰς πίστεις — καὶ παρακαλέσουσιν αὐτὸν *μάλιστα μὲν τὴν πρὸς ἡμᾶς ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας* » (§. 164.).

181. ΨΗΦΙΣΜΑ [ΔΗΜΟΣΘΕΝΟΥΣ. *Ἐπὶ ἄρχοντος — Κοθωκίδης.*] παραλείποντες τὸ ψευδεπώνυμον τοῦ ἄρχοντος, τὸ ὑπὲρ τὸ μέτρον σχοινοτενὲς τῶν δευτερευουσῶν προτάσεων, τὰ ἐν §. 183. ὅλως διακόπτοντα τὴν ὑφὴν τοῦ λόγου, εἰς οὗ τὴν συναφμογὴν ἐλάχιστα συντείνει τὸ *διὸ δέδοκται*, ἀμφισβητησίμους κρίνοντες καὶ τὰς περὶ τοῦ « τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς Πυλῶν» ἀντιρρήσεις, καὶ ὅτι οὐδεὶς ἐν αὐτῷ λόγος γίνεται τῶν παρ' Αἰσχίνῃ (κ. Κτησ. §. 142 — 143.), καὶ εἴτι ἄλλο ἐπιλήψιμον εὗρον ἐν τῷ ἐγγράφῳ τούτῳ οἱ κριτικοί, οὐσιώδη ἀντίφασιν θεωροῦμεν ὅτι ἐν ᾧ ἀνωτέρω (§. 178.) ὁ Δημοσθένης ῥητῶς ἐπέστησε τὴν προσοχὴν τῶν Ἀθηναίων τούτῳ «*μὴ δεῖσθαι Θηβαίων μηδέν* —, ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν, *ἂν* κελεύωσιν, — ἵν' ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διωκημένοι, καὶ μετὰ προσχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν, ἂν δ' ἄρα μὴ συμβῇ κατατυχεῖν, ἐκεῖνοι μὲν αὐτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν ἐξαμαρτάνωσιν, *ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ πεπραγμένον*,» ἐνταῦθα ἐπιφέρεται « *συνθέσθαι δὲ πρὸς αὐτοὺς καὶ συμμαχίαν*, καὶ ἐπιγαμίαν ποιήσασθαι *καὶ ὅρκους δοῦναι καὶ λαβεῖν*,» πρέσβεις δὲ ἀναφέρονται *πέντε μόνον*, ἐν ᾧ δέκα ἐκέλευσε Δημοσθένης χειροτονῆσαι.

Τούτων οὕτως ἐχόντων οὐδεὶς πλέον ἀμφιβάλλει ὅτι τὰ

ἔγγραφα ταῦτα εἶναι ἕτερά τινα παρὰ τὰ ἐν Ἡλιαίᾳ τῇ Δημοσθένους αἰτήσει ἀναγνωσθέντα. καὶ οὕτω μὲν κρίνουσι περὶ αὐτῶν οἱ μετριοφρονέστεροι καὶ ἧττον αὐστηροὶ τῶν κριτικῶν, ἕτεροι ὅμως καὶ δυσμενεστέρας ἐξέφρασαν γνώμας περὶ αὐτῶν. οὕτως ὁ **Droysen** ἐν ἰδιαιτέρᾳ περὶ τούτων πραγματείᾳ (α) δὲν διστάζει νὰ διακηρύξῃ αὐτὰ οὐ μόνον πάντῃ νόθα καὶ ἐπίπλαστα, ἀλλὰ καὶ ἄθλιά τινα ῥητορικὰ γυμνάσματα· οἱ δ' ὑπερασπιζόμενοι αὐτὰ ὡς γνήσια μὲν αὐτὰ καθ' ἑαυτά, ἀλλ' εἰς ἄλλας περιστάσεις ἀνήκοντα καὶ κατὰ λάθος παρεντεθειμένα τῷ λόγῳ τούτῳ, δυστυχῶς οὔτε ἰσχυρούς τινας ἔχουσι ν' ἀντιτάξωσι τοῖς ἐναντίοις λόγους, οὔτε πρὸς ἀλλήλους συμφωνοῦσι κατὰ τὰς περὶ τούτων κρίσεις αὐτῶν. οὕτω περὶ τῶν ψευδεπωνύμων ἀρχόντων, ἵνα περιορισθῶμεν εἰς τὰ οὐσιωδέστερα, ὁ μὲν **Dodwell** φρονεῖ ὅτι εἶναι οἱ ἐπιστάται ἤτοι πρόεδροι πρυτάνεις καὶ οὐχὶ ἄρχοντες ἐπώνυμοι, καθότι ὅλοι ὅσοι ἐν τοῖς ἐγγράφοις τούτοις ἀπαντῶνται ἄρχοντες οὐδὲν κοινὸν ἔχουσι τοῖς ἐπωνύμοις, ὅθεν καὶ μάτην ζητεῖ τις αὐτοὺς ἐν τοῖς χρονολογικοῖς πίναξιν. ὁ δὲ **Corsini** ἀποδοκιμάζων τὴν γνώμην ταύτην, διότι πρὸ πάντων τὸ αὐτὸ ὄνομα, Μνησίφιλος, λόγου χάριν, ἢ Ἡρόπυθος, ἀπαντᾶται ἐν πλείοσιν ἐγγράφοις τοῦ αὐτοῦ ἔτους (β), ἐν ᾧ ἡμερήσιον μὲν ἦν τὸ ἔργον τοῦ ἐπιστάτου, δὶς δὲ ἐντὸς τοῦ ἔτους δὲν ἠδύνατό τις νὰ ἐκλέγηται πρόεδρος ἢ ἐπιστάτης, παραδέχεται ὅτι οὗτοι εἶναι ἤτοι οἱ ἐπιλαχόντες, ἤγουν οἱ τοῦ ἐπωνύμου ἄρχοντος ἀποθανόντος ἢ παυθέντος ἀντ' αὐτοῦ κληρούμενοι ἄρχοντες (ἀλλὰ τίς δύναται πιστεῦσαι ὅτι ἐντὸς ἑνὸς ἔτους, τοῦ ἀ. ἔτους, λόγου χάριν, τῆς ρί. ὀλυμπιάδος, καθ' ἣ ἄρχων ἦν Θεόφραστος, πέντε ἐπιλαχόντες (γ) ἠδύναντο νὰ τύχωσιν;), ἢ κατὰ τὸν Παλμέριον (δ) εἶναι ἐκ τῶν ἐννέα ἀρχόντων, βασιλεὺς δηλ. ἢ πολέμαρχος ἢ εἷς τῶν θεσμοθετῶν. ἀλλὰ καὶ τοῦτο ἀποδοκιμάζει ὁ **Schoemann** ἀμφιβάλλων ἂν μετὰ τὴν Σόλωνος νομοθεσίαν ἐσυνείθιζον οἱ ἄρχοντες νὰ προεδρεύωσι τῆς βουλῆς ἢ τῆς ἐκκλησίας, καθόσον μάλιστα ἡ μὲν βουλὴ συνήρχετο καθ' ἑκάστην, πλὴν τῶν ἑορτῶν, οἱ δὲ θεσμοθέται δικαστικὰ ἔχοντες καθήκοντα

(α) «ueber die Aechtheit der Urkunden in Demosthenes Rede vom Kranze.»

(β) οἷα τὰ ἐν §§. 29. 37. καὶ 164—165.

(γ) οἷον Νεοκλῆς §. 73—75., Πολυκλῆς §. 105., Μνησιθείδης §. 155., Ἡρόπυθος §. 164., Ναυσικλῆς §. 181.

(δ) Exercitationes in optimos auctores graecos. ἐξεδόθη τὸ 1668.

δὲν ἠδύναντο συγχρόνως καὶ ἄλλα ἔργα νὰ ἐκτελῶσιν. ὁ Boeckh τέλος, ἵνα παραλείψωμεν ἄλλας ἄλλων ἧττον πιθανὰς γνώμας, κατὰ πρυτανείαν γραμματεῖς θέλει αὐτούς, ἀλλ' ἐν τοῖς ἐν §. 164—165. ἐγγράφοις ἀδυνατῶν τὸν αὐτὸν ἄνδρα, τὸν Ἱρόπυθον, ἐν δυσὶ κατὰ συνέχειαν πρυτανείαις γραμματέα ὑποθέσθαι (διότι τοῦτο ἀπηγορευμένον ἦν) ἐν τῇ αὐτῇ τοῖς ἄλλοις εὑρίσκεται ἀμηχανίᾳ· ἀλλὰ καὶ ἕτερον ἄτοπον τῆς γνώμης ταύτης τοῦ Boeckh ἐξελέγχει ὁ Boehnecke (α), ὅτι δηλ. ἐν τοῖς ἐν §. 75. καὶ 105. ἐγγράφοις καίτοι κατὰ τὸν αὐτὸν μῆνα (βοηδρομιῶνα) καὶ ἐπὶ τῆς αὐτῆς πρυτανείας (τῆς Ἱπποθωντίδος) γεγραμμένοις δύο ψευδεπώνυμοι ἀπαντῶνται ἄρχοντες (Νεοκλῆς §. 75. καὶ Πολυκλῆς §. 105.), ἀδύνατον δὲ βεβαίως ἦν ἐν μιᾷ καὶ τῇ αὐτῇ πρυτανείᾳ δύο κατὰ πρυτανείαν γραμματεῖς νὰ ὑπάρχωσιν.

Μετὰ τοσαύτην διαφωνίαν γνωμῶν περὶ τῶν ψευδεπωνύμων δὲν συμφωνοῦσι πρὸς ἀλλήλους οὐδὲ περὶ τῶν περιστάσεων, εἰς ἃς ὑποτίθενται ὅτι ἀνήκουσι τὰ ἔγγραφα ταῦτα τὰ κατὰ λάθος παρεντεθειμένα ἐδῶ. οὕτω τὸ ἐν §. 29. ἔγγραφον ὁ μὲν Boeckh τίθησι κατ' Ὀλ. ρι΄, ά. βασιζόμενος τοῖς παρὰ Διοδώρῳ (ΙΣΤ, 77.) «διόπερ Φίλιππος καταπλαγεὶς τῇ συνδρομῇ τῶν Ἑλλήνων τὴν πολιορκίαν τῶν πόλεων (Περίνθου καὶ Βυζαντίου) ἔλυσε, καὶ πρὸς Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας τοὺς ἐναντιουμένους συνέθετο τὴν εἰρήνην.» ἀλλ' ἡ εἰρήνη αὕτη οὐ μόνον ὑπ' οὐδενὸς ἄλλου δὲν ἀναφέρεται, ἀλλὰ καὶ προφανῶς ἀντιφάσκει τοῖς τοῦ Δημοσθένους, ὡς ἀνωτέρω ἐν §. 145. ἐσημειώσαμεν. ὁ δὲ Boehnecke ἀνάγει αὐτὸ εἰς Ὀλ. ρια΄, α΄. ἐπὶ ἄρχοντος Πυθοδήμου, πέντε μῆνας ὕστερον ἀπὸ τῆς κατὰ Κτησιφῶντος γραφῆς τοῦ Αἰσχίνου (Ὀλ.ρί.δ΄.), εἰκάζων ἀπὸ τοῦ ἐν τοῖς Δημάδου ἀποσπάσμασι (β) *τοὺς μεταξὺ κινδύνους* ὅτι

(α) οὗτος πάλιν ἐκ τῶν παρὰ Σουίδᾳ (ἐν λ. σ υ σ σ η μ α ί ν ε σ θ α ι) «ὥστε προστεταγμένον ἐπὶ ψηφίσματος καὶ τὴν ἱέρειαν συσσημαίνεσθαι τὰ γραμματεῖα» εἰκάζει ὅτι τὰ τῶν ψευδεπωνύμων τούτων ὀνόματα ἦσαν ὑπογραφαὶ ἀρχόντων ἁπλῶς ἢ καὶ στρατηγῶν πρὸς ἔνδειξιν ὅτι τὰ ἔγγραφα ταῦτα εἶναι ἐπικεκυρωμένα καὶ δύνανται νὰ κατατεθῶσιν ἐν τοῖς δημοσίοις γράμμασιν, ὁ δὲ ὕστερον συλλέξας ταῦτα καὶ τῷ λόγῳ παρενθεὶς κακῶς ἐκλαβὼν αὐτὰ ὡς ἐπωνύμων ὀνόματα προσέθηκεν αὐτοῖς τὸ ἄ ρ χ ω ν, ὡς ἔστι, λέγει, εἰκάσαι ἐκ τοῦ ἐν §. 137. ἐ π ὶ Ν ι κ ί ο υ ἄνευ τῆς προσθήκης τοῦ ἄ ρ χ ο ν τ ο ς. οὕτω τὸν ἐν τῷ τελευταίῳ ἐγγράφῳ Ναυσικλῆν §. 181. ὑποτίθησιν ὅτι εἶναι ὁ ἐν §. 114. μνημονευόμενος στρατηγὸς Ναυσικλῆς.

(β) ὑπὲρ τῆς δωδεκαετίας §. 11. «πάλιν— ἦκε τῇ πόλει καιρὸς ἕτερος, ἵνα τοὺς μεταξὺ κινδύνους ἐπιλάθωμαι.»

μετὰ τὴν δημάδειον εἰρήνην (ἴδ. ἀνωτ. §. 285.) νέαι διηγέρθησαν ἔριδες μεταξὺ Ἀθηναίων καὶ Φιλίππου, πρὸς κατάπαυσιν τῶν ὁποίων καὶ πρὸς ἀσφάλειαν τῆς ἐν Ἑλλάδι ἀρχῆς αὐτοῦ ὁ Φίλιππος, μέλλων ἀπαίρειν κατὰ Περσῶν, ἔστειλε πρέσβεις πρὸς Ἀθηναίους, ἵνα βασιμωτέρας περὶ τῆς εἰρήνης συνθήκας συνάψῃ αὐτοῖς, τότε ἴσως δοὺς αὐτοῖς καὶ Σάμον (α). ἀφοῦ δ' ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, κατὰ τὰ ἐν τῷ ἐγγράφῳ τούτῳ, ἐπεχειροτονήθη ἡ εἰρήνη, ὁ μὲν Δημοσθένης, ὃς κατ' Αἰσχίνην (κ. Κτησ. §. 159.) *εἰρηνοφύλακα* ἑαυτὸν ἐκέλευεν Ἀθηναίους χειροτονεῖν, ἔγραψε τὸ ψήφισμα τοῦτο «ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ — πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθηναίων ἤδη *πέντε*, τοὺς δὲ χειροτονηθέντας ἀποδημεῖν μηδεμίαν ὑπερβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι τὴν ταχίστην (β),» οἱ δὲ περὶ τὸν Δημοσθένην κατώρθωσαν πρὸς ἀναβολὴν τῆς κατὰ Κτησιφῶντος δίκης νὰ αἱρεθῶσι πρέσβεις ἐκ τῆς μακεδονικῆς μερίδος, ἤτοι Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Κοθωκίδης, Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεύς, Κλέων Κοθωκίδης, ἐξ ὧν ὁ μὲν Εὔβουλος, ὁ ἰσχυρὸς ἐκεῖνος δημαγωγός, ἦν φίλος ἄκρος τοῦ Αἰσχίνου, ὁ δὲ Κηφισοφῶν καὶ ὁ Κλέων ἦσαν ἤδη κλήτορες ὑπογεγραμμένοι ἐν τῇ κατὰ Κτησιφῶντος γραφῇ τοῦ Αἰσχίνου (ἴδ. ἀνωτ. §. 55.), ὥστε δημόσιον ὑπηρεσίαν ἀναδεχθεὶς ὁ Αἰσχίνης νὰ δύνηται ἀποινεὶ ν' ἀναβάλῃ τὴν δίκην (γ). οὕτω λοιπόν, λέγει, ἀπῆλθον οἱ πρέσβεις τὸν μεταγειτνιῶνα, ἀλλὰ καταλαβόντες Φίλιππον τεθνεῶτα περὶ τὰς ἀρχὰς τοῦ αὐτοῦ μηνὸς συνέθεντο πρὸς Ἀλέξανδρον. περὶ τούτου ὁ Αἰσχίνης «κρίνεται παραπρεσβείας,» κατὰ ἓν χωρίον τοῦ Ἀψίνου (δ), ὅθεν καὶ οὔτε ἅμα ἐπανελθὼν ἐκίνησε τὴν κατὰ

(α) ὅτι Σάμον ἔδωκεν Ἀθηναίοις Φίλιππος βεβαιοῦται καὶ ὑπὸ τῶν ἱστορικῶν (Διόδ. ΙΗ', 56. — Πλουτ. Ἀλέξ. ΚΗ.), πότε ὅμως ἄδηλον.

(β) αἰτίαν τῆς σπουδῆς ταύτης ὑποτίθησιν ὁ Boehnecke τὴν προσεχῆ τοῦ Φιλίππου εἰς Ἀσίαν ἀνάβασιν. ἀλλὰ τὸ «ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον» ἐπιδέχεται τοιαύτην ἐξήγησιν;

(γ) ὅτι ποινὴ ἐπέκειτο τοῖς ἀναβάλλουσιν ἢ μὴ ἐπεξερχομένοις τὰς δίκας εἰκάζει ὁ Boehnecke ἔκ τινος χωρίου τοῦ παρὰ Δημοσθένει (κ. Μειδ. §. 47.) νόμου· «ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις μὴ ἐπεξέλθῃ ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτισάτω χιλίας δραχμὰς τῷ δημοσίῳ.» ἀλλὰ τίς διαβεβαιοῖ ἡμᾶς περὶ τῆς γνησιότητος τοῦ ἐγγράφου ἐκείνου, ἀφοῦ περὶ ὅλων τῶν παρὰ τοῖς ῥήτορσιν ἐγγράφων ἀποφαίνονται γενικῶς ὅτι προσετέθησαν μεταγενεστέρως καὶ οὐχὶ ὑπ' αὐτῶν τῶν ῥητόρων;

(δ) «Αἰσχίνης ἐπέμφθη πρεσβευτὴς παρὰ τὸν Φίλιππον· καταλαβὼν αὐτὸν τεθνεῶτα συνέθετο πρὸς Ἀλέξανδρον καὶ κρίνεται παραπρεσβείας.» Τέχνη ῥητορ.

Κτησιφῶντος δίκην, ἀλλ' ἀνέβαλεν αὐτὴν μέχρι Ὀλ. ριβ', γ'.

Περιττὴν κρίνοντες ἐνταῦθα τὴν ἀναίρεσιν τῆς φαντασιώδους ταύτης οἰκοδομῆς τοῦ **Boehnecke**, προκειμένου μάλιστα περὶ ζητήματος οὐσιωδῶς διαφόρου τῶν ἀνωτέρω προγεγραμμένων, δὲν δυνάμεθα νὰ παραδεχθῶμεν οὔτε τῶν περὶ τὸν **Droysen** τὴν γνώμην περὶ ἐγγράφων τοσούτῳ ἀρχαίων, ὥστε δὲν λείπουσιν ἀποδείξεις ὅτι καὶ Ἁρποκρατίων καὶ Πλούταρχος (α) καὶ ἄλλοι τῶν ἀρχαίων ἀνέγνωσαν αὐτά, πολλῷ μᾶλλον ὅτε διαβεβαιοῦσί τινες ὅτι καὶ Κικέρων καὶ Διονύσιος Ἁλικαρνασσεὺς ἀνέγνωσαν τὸν λόγον τοῦτον ἐν ᾗ τὴν σήμερον εὑρίσκεται μορφῇ. ὥστε τὸ ἀσφαλέστερον εἶναι νὰ ἐπέχῃ τις ἀρκούμενος μέχρι νεωτέρων τοὐλάχιστον ἐρευνῶν τοῖς γενικῶς παραδεδεγμένοις, ὅτι δηλ. προσετέθησαν ὕστερον, καὶ εἶναι ἕτερά τινα παρὰ τὰ ἐνταῦθα ἀνήκοντα ἔγγραφα.

Μένει ἤδη νὰ εἴπωμεν ἐν τέλει τοῦ παραρτήματος ὀλίγα τινα καὶ περὶ ἑτέρας τινὸς δυσχερείας οὐχ ἧττον σπουδαίας, τῆς ἑξῆς.

Ἐνιαχοῦ τοῦ παρόντος λόγου (§§. 95. 238. 218.) ὁ Δημοσθένης ἀναφέρεται ῥητῶς πρός τινας λόγους τοῦ Αἰσχίνου, οὓς τὴν σήμερον ὁ προσεκτικὸς ἀναγνώστης μάτην ζητεῖ ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ· ἄλλων πάλιν παρ' Αἰσχίνῃ καὶ ἐκτεταμένων χωρίων οὐδεμία παρὰ Δημοσθένει ἀπάντησις εὑρίσκεται. βεβαίως δὲν δυνάμεθα μὲν νὰ περιμένωμεν παρὰ τοῦ ῥήτορος ἀναίρεσιν ὅλων τῶν τοῦ ἀντιδίκου λοιδοριῶν, τοὐναντίον πιθανώτερον εἶναι μεταξὺ τοσούτων ἀντικειμένων λόγου τινὰ μὲν νὰ διαφύγωσι τὴν προσοχὴν αὐτοῦ, ἕτερα δὲ ἐκ προθέσεως νὰ παραλείψῃ ὁ ῥήτωρ καθὸ ἀσύμφορα ἢ ἥττονος ἢ καὶ οὐδεμιᾶς ἀπαντήσεως ἄξια, καίτοι ὑπεσχημένος «καθ' ἓν

σ. 490. τοῦτο **auream notitiam** (χρυσῆν εἴδησιν) καλεῖ ὁ Boehnecke, ἀλλ' ἂν καὶ τοῦτο ἦναι πλάσμα ῥητορικὸν πρὸς παράδειγμα, οἷον εἶναι τὸ ἀμέσως τούτου προηγούμενον, δὲν εἶναι ἄνθρακες ὁ θησαυρός;

(α) οὕτω τὸ ἐν βίῳ Δημοσθένους ΚΔ. ἐσφαλμένον ἐπὶ **Χαιρώνδου ἄρχοντος** παραδιδόμενον ὅτι προῆλθεν ἐκ τῆς ἀναγνώσεως τῆς ἀνωτέρω (§. 54.) τοῦ Αἰσχίνου γραφῆς.

ἕκαστον αὐτῶν ἐξετάσαι (§. 17.), καὶ πρὸς ἕκαστα τῶν κατηγορημένων μικρὰ ἀποκρίνασθαι» (§. 34.) καὶ μηδὲν ἐκὼν παραλεῖψαι (§. 56.), ἀλλ' ἐπίσης ἀδυνατοῦμεν νὰ πιστεύσωμεν ὅτι ὁλόκληρον μέρος τοῦ κατὰ Κτησιφῶντος λόγου, οἷον τὸ ἀπὸ §. 159—166., ἐν ᾧ περιγράφει Αἰσχίνης τὸν δ'. καιρόν, ἤτοι τὸν ἀπὸ τῆς ἐν Χαιρωνείᾳ ἀτυχίας μέχρι τοῦ τῆς δίκης καιροῦ βίον τοῦ Δημοσθένους, ἐν γνώσει παρέλειψεν ὁ ῥήτωρ ἄνευ οὐδεμιᾶς ἀπαντήσεως καὶ τοσαύτης τοὐλάχιστον, ὅτι ταῦτα κεῖνται ἐκτὸς τῶν ὁρίων τῆς γραφῆς, καὶ οὔτ' ἔχει δίκαιον ὁ κατήγορος νὰ ἐξετάσῃ τὰ μετὰ τὸ Κτησιφῶντος ψήφισμα πεπραγμένα αὐτῷ.

Ταῦτα ἔχοντες ὑπ' ὄψιν ὁ **Dissen**, ὁ **Westermann** κλπ. δὲν διστάζουσι μετὰ βεβαιότητος σχεδὸν νὰ εἰκάσωσιν ὅτι ὁ Αἰσχίνης ὕστερον ἐπεξειργάσθη τὸν λόγον αὐτοῦ, καί τινα μὲν δὲν ἀνέγραψε παντελῶς, οἷον τὰ περὶ Βυζαντίων (πρβλ. §. 95. σημ.), ἕτερα δὲ κατὰ τὸ δοκοῦν αὐτῷ προσθεὶς ἐν ταύτῃ τῇ νεωτέρᾳ καὶ οὐχὶ τῇ ἐν ᾗ ἐξεφωνήθη μορφῇ ἐξέδωκεν αὐτόν. τοῦτο διαβεβαιοῦσί πως καί τινα χωρία τοῦ κατὰ Κτησιφῶντος λόγου· οὕτω μεταγενεστέραν τοῦ Αἰσχίνου προσθήκην θεωρεῖ ὁ **CHamplin** τὰ ἐν §. 140. τοῦ κατὰ Κτησιφῶντος, ὅτι οἱ Θηβαῖοι μετεπέμψαντο Ἀθηναίους — *πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην*. καθόσον ἀπίθανον ἦν, λέγει, τοιοῦτο προφανὲς ψεῦδος νὰ ἐκφέρῃ ὁ Αἰσχίνης ἐνώπιον τῶν Ἀθηναίων, ἢ ὁ Δημοσθένης ἀνεξέλεγκτον ν' ἀφήσῃ αὐτὸ ἀρκούμενος τῇ ἐν (§. 215.) ἀφελεῖ ἐξιστορήσει τῶν γεγονότων, ἐν ᾧ πικρῶς ἐξελέγχει (ἐν §. 212.) τὸν Αἰσχίνην, διότι τὸν καιρὸν καὶ οὐκ αὐτόν (Δημοσθένην) φησιν (κ. Κτησ. §. 141. κ. ἑ.) αἴτιον τῶν καλῶς πραχθέντων. τοιαύτη προσθήκη δύναται νὰ θεωρηθῇ καὶ τὸ ἐν §. 221. τοῦ κατὰ Κτησιφῶντος «ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ' ἐμοῦ μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους (α), ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις, ἢ σαυτὸν παραλογίζῃ,» ὡς ἔστιν εἰκάσαι ἐκ τῶν ἐπιφερομένων γενικῶν τινων καὶ ἀορίστων «τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων ἐν οἷς ὑπ' ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆμον ἀμνημονεῖν.» διότι περὶ

(α) τοὺς λόγους τούτους τοῦ Δημοσθένους ἴδ. ἀνωτ. ἐν §. 14—15. 216. 231. ἔνθα ἴδ. καὶ τὴν σημ.

μὲν τῶν περὶ τὴν Εὔβοιαν δωροδοκηθέντων τοσαῦτα εἰπὼν προηγουμένως ἀπὸ §. 85—105. τοῦ κατὰ Κτησιφῶντος οὐδεμίαν δίκην κατὰ Δημοσθένους ἀνέφερεν οὐδαμοῦ, περὶ δὲ τῶν περὶ τοὺς Ἀμφισσεῖς λέγει μὲν ἐν §. 125. ὅτι φανερῶς ἐξήλεγξε Δημοσθένην, ἀλλὰ τοῦτο, ὡς εὐκόλως ἐννοεῖ ἕκαστος ἀναγιγνώσκων τὸ χωρίον ἐκεῖνο τοῦ Αἰσχίνου, ὑπεράσπισίς τις ἦν μᾶλλον τῆς ἐν Δελφοῖς διαγωγῆς αὐτοῦ, καὶ οὐχὶ δίκη κατὰ Δημοσθένους, οἵαν περιέμενέ τις κατὰ τὰ ἀνωτέρω καὶ κατὰ τὰ παρὰ Δημοσθένει ἐν §. 251. καὶ ἀλλαχοῦ. τοιαύτην τινὰ προσθήκην ὑπενόησαν καὶ ἐν ἄλλοις τοῦ κατὰ Κτησιφῶντος χωρίοις παραλλήλοις τοῖς περὶ τοῦ στεφάνου. καὶ τὰ μὲν ἐν §. 216—217, ἀναφερόμενα πρὸς τὰ τοῦ Δημοσθένους (§. 280. καὶ 226.) κατ' ἔκφρασιν διάφορον ὁπωσοῦν, δύναταί τις εἰπεῖν ὅτι κεῖνται καθ' ὑποφοράν, σχῆμα σύνηθες τοῖς ῥήτορσι πρὸς τὴν ἐκ τῶν προτέρων ἀναίρεσιν τῶν τοῦ ἀντιδίκου ἐπιχειρημάτων, ἀλλὰ τὰ ἐν §. 189. αὐτολεξεὶ σχεδὸν ἀπαντώμενα καὶ παρὰ Δημοσθένει §. 319., ὡς καὶ τὰ ἐν §. 225. ταὐτά πως τοῖς ἐν §. 243. τοῦ περὶ τοῦ στεφάνου δικαιοῦσι τὴν εἰκασίαν ὅτι ταῦτα προσέθηκεν ὁ Αἰσχίνης ὕστερον ἔχων πρὸ ὀφθαλμῶν τὸν ἤδη ἐκδεδομένον λόγον τοῦ ἀντιδίκου αὐτοῦ. διότι καὶ τούτου τεθέντος ὅτι πρὸ τῆς δίκης ζωηραὶ συζητήσεις καὶ φιλονεικίαι ἐγίνοντο μεταξὺ τῶν διαφερομένων καὶ τῶν περὶ αὐτούς, καὶ ὅτι δὲν ἔλειπον καὶ διαβολεῖς διαδίδοντες τοὺς ἑκατέρων λόγους, ὅμως ἀπίθανον φαίνεται τοσαύτη ἐκφράσεως ταυτότης νὰ ὑπάρξῃ περὶ πράγματα ἐπουσιώδη καὶ πρὸς τὸ λεκτικὸν μόνον ἀφορῶντα. ὅτι δὲ ὁ περὶ τοῦ στεφάνου ἐξεδόθη πρὸ τοῦ κατὰ Κτησιφῶντος καὶ ἠδύνατο ἔχειν αὐτὸν ὑπ' ὄψιν ὁ Αἰσχίνης ὅτε ἐξέδιδε τὸν λόγον αὐτοῦ δῆλον ἐκ τοῦ παρὰ Πλινίῳ (Epist. B. 10.) ἀνεκδότου, ὅτι ὁ Αἰσχίνης ῥητορικὴν διδάσκων ἐν Ῥόδῳ μετὰ τὸν ἑαυτοῦ λόγον ἀνέγνω καὶ τὸν Δημοσθένους, ὅτε καὶ θαυμασάντων ἁπάντων ἐπέφερε τὸ γνωστὸν ἐκεῖνο· *τί δέ, εἰ αὐτοῦ τοῦ θηρίου ἠκούσατε*;

Τοσαῦτα καὶ περὶ τούτων, ἱκανὰ εἰ οὐχὶ πρὸς διευκρίνησιν τῶν δυσχερειῶν τούτων, πρὸς νύξιν τοὐλάχιστον τῶν περὶ τὰ τοιαῦτα ἀσχολεῖσθαι βουλομένων.

ΠΙΝΑΞ

ΤΩΝ ΚΥΡΙΩΤΕΡΩΝ ΛΕΞΕΩΝ, ΦΡΑΣΕΩΝ, ΣΧΗΜΑΤΩΝ κλπ.

Α

α ζερητικὸν ἀντὶ τ. δυς §. 19.
ἄγασθαί τινος τῆς ἀρετῆς 204.
ἀγῶνες ἀτίμητοι—τιμητοὶ 55.
ἀδύνατον 38. 108.
αἰτία 7.
ἀκούειν μετὰ διπλῆς γενικῆς 9.
ἀλιτήριος 159.
ἀλλὰ 129. ἀλλὰ γὰρ 42. 211.
ἀμφιδιόρθωσις 304.
ἄν 17.
ἀναστροφὴ 13.
ἀναφορὰ 219.
ἄνευ 89.
ἀνθρωπινώτερον 252.
ἀντανελεῖν 231.
ἀντίθεσις 1.
ἀντιστροφὴ 198.
ἄνω καὶ κάτω 111.
ἀόριστος 308.
ἀπαντᾶν 15. 125.
ἁπλῶς 58. 276. 308. 321.
ἀπὸ 56. 57. 102.
ἀποδοῦναι, παραχωρεῖν 68. 2.
ἀπολογία 2.
ἀπομάττειν 259.
ἀπόρρητα 123.
ἀποσιώπησις 3.
ἀποστολεῖς, ἀπόστολοι 107.
ἀποστροφὴ 11.
ἀποφεύγειν ἐπὶ πραγμάτων 222.
ἀποψηφίζεσθαι 132. 250.
ἀπροσδόκητον ἢ παρὰ προσδοκίαν 36.
ἀρητικὰ μόρια κατ' ἐπισώρευσιν 24. 65. 139. 190. 216. 307.
ἀρχιτέκτων 28.
ἄσπονδος καὶ ἀκήρυκτος πόλεμος 262.
ἀσύνδετον 69. 139.
αὐτὸς 4. αὐτὸ ἐφ' αὑτοῦ 224.
ἀφορμὴ 156. 233.

Β

βαδίζειν 4. 58.
βάθρα 258.
βακτηρία καὶ σύμβολον 210.
βαρύστονος 262.
βραχυλογία 38. 44. 145. 169. 213. 288.

Γ

γεγραμμένα 56.
γενικὴ ἐξ ἀντικειμένου 99 140. 160.
γέρρα 169.
γράμματα δημόσια 55. 142.
γραμματεὺς τῆς βουλῆς 38.
γραμματοκύφων 209.
γραφὴ 124. 250.
γράφω καὶ γράφομαι 13.

Δ

δημιουργοὶ 157.
διάγειν μεταβατικῶς 89.
διάγνωσις 7.

διαπόρησις 129.
διασυρμοῦ σχῆμα 28.
διατελεῖν μετὰ μετοχῆς 1.
διαχειρίζειν 111.
διαψήφισις 132.
διλήμματον 217.
διόρθωσις 88.
διότι ἀντὶ τ.ὅτι 155.167.184.
διώκειν 7.
δόξα 1.

Ε

ἔγκτησις 91.
εἰ ἀντὶ τοῦ θετικοῦ ὅτι 28.95. 193.
εἰς = ἕως 36.151.106.234.
εἰρωνεία 28.41.89.129.130. 232.258.260.266.318.
εἰσαγγελία 13. 249.
εἰσέρχεσθαι γραφήν, δίκην. 103. 278.
ἐκ παρακλήσεως συγκαθήμενοι 143.
ἐκ πάντων Ἀθηναίων 29.218.
ἐκ περιουσίας 3.(ἴδ.καὶ σ.208).
ἐκεῖνος, θέσις αὐτῆς 71. 231. 238. — ἀντὶ ἑαυτοῦ 148.
ἐκπίπτεσθαι 140.
ἔλεγχος, ἐξελέγχειν 7. 13.
ἐλλεβορίζειν 121.
ἔλξις 7.14.51.54.138.200.
ἕν διὰ δυοῖν 56. 93. 317.
ἐν 19.
ἐν τοῖν δυοῖν ὀβολοῖν 28.
ἐν ἐγκλήματι γίγνεσθαι 251.
ἐν τῷ ἐμῷ ὕδατι 139.
ἐνεστὼς 143.147. 231. 247. εἰς δήλωσιν τοῦ διαρκοῦς 72.
ἔνθρυπτα 260.
ἑνστὰς 89. 139.
ἐξ ἀμάξης 122.
ἑξάμετρος 143.
ἐξεταστὴς 16.
ἔξω βλέπειν 323.
ἔξωθεν λόγοι 9.
ἐξώλης καὶ προώλης 224.
ἐπαινεῖν, στεφανοῦν 113.
ἐπανάληψις 242.
ἐπαναφορὰ 48.
ἐπειδὴ 87.
ἐπὶ τῆς αὐτῆς ὁρμεῖν 281.
ἐπιγαμία 91.
ἐπιδίδειν 113.
ἐπιδιόρθωσις 34.59.130.221.
ἐπιδόσεις 179. 248. 312.
ἐπισημαίνεσθαι 117. 250.
ἐπιστάτης 114.
ἐπιτάφιος ἀγὼν 285.
ἐπιτείχισμα καὶ ἐπιτειχισμὸς 71. 87.
ἐπιτιμία 15. 312.
ἐπορχούμενος «ὕης ἄττης» 260.
ἔρανος 312.
ἐρρῶσθαι φράζειν 152.
ἔστιν ὅπου 22.
ἔστι μοί τι 80. 81. 82.
ἔστι μοι πρός τινα 278.
εὐκτικὴ — ὑποτακτικὴ 148.
εὐοῖ, σαβοῖ 260.
εὐσέβεια 1.
εὔχεσθαι θεοῖς πᾶσι καὶ πάσαις 1.
εὐωλοχρασία 50.

Ζ

ζῆν καὶ εἶναι 72.

Η

ἤδη 29. 53. 69. 83. 163.
ἠθικὴ δοτικὴ 11. 78. 107. 115. 118. 134. 289. 313.

οἱ ἐν ἡλικίᾳ 177.
ἡμέρα μία καὶ δύο καὶ τρεῖς 195.
ἡσυχίαν ἔχειν, ἄγειν 35. 36. 43. 65. 303.

Θ.

θέαν καταλαμβάνειν — κατανεῖμαι 28.
θεῖναι καὶ θέσθαι 103.
θεωρήματα 68.
θεωρικὸν 113.
θυσίαι καὶ πομπαὶ 216.

Ι.

ἰαμβειοφάγος 139.
ἴδιοι νόμοι 210.
ἱερομνήμων (Βυζαντίων) 90.
ἱκετηρίαν τιθέναι 107.

Κ.

καθ' ἡμέραν ῥᾳστώνη 45.
καθαιρεῖν 227.
κάθαρμα 128.
καθέζεσθαι ἐν Μουνυχίᾳ 107.
καθῆσθαι ἐπ' ἐργαστηρίου 129.
καθυφεῖναι 107.
καὶ συνδέει ἑτεροπτώτους μετοχὰς 194. (146).
καὶ γὰρ 65.
καὶ — δὲ 43.
καίτοι 198. 212.
καίτοι -γε 51.
καινία 68. 93.
καλαμίτης ἥρως 129.
καλοκαγαθία, καλοκάγαθος 93
καλῶς ποιοῦντες 231.
κατὰ σπανιωτέρα χρῆσις αὐτῆς 215.
κατάγειν τοὺς φυγάδας 71.
καταχομίζειν 38.
κατηγορεῖν 9. συγκατηγορεῖν 223.
κατηγορίας ἔχειν ἐπί τινι 240.
κίναδος 162.
κιττοφόρος 260.
κλεισιον 129.
κλήτορες, κλητεύειν 55. 150.
κλίμαξ 179.
κρατηρίζειν 259.

Λ.

λαγὼ βίον ζῆν 263.
λαρυγγίζειν 291.
λειτουργεῖν 104. 267.
λῃσταὶ 145. 230. 241.
λιτροφόρος 260.
λόγοι καὶ θεωρήματα 68.

Μ.

μεθημερινοὶ γάμοι 129.
μέλλων περιφραστικὸς 8.
μεταθέσθαι 177.
μέτεστί μοι τινος 125. 206.
μέτριος 10. 126. 321.
μικρὰ καὶ οὐδὲν 104.
μικροῦ δεῖν 269. 151.
μισθῶ καὶ μισθοῦμαι 133.
μνήματα δημόσια 208.
μόνον οὐκ 226.
Μυσῶν λεία 72.

Ν.

ναύκληρος 194.
νεανίας 136.
νεβρίζειν 259.
νεήλατα 260.
νόμιμα ἄγραφα 275.
νοσεῖν 45.
νῦν καὶ νυνὶ 42. 133. 153.

Ξ.

ξενία 51. 284.
ξύλον 129.

Ο.

οἰκουμένη πᾶσα 48.
οἴχεσθαι μετὰ μετοχῆς 40. 65.
ὁμοίως 6. 10. 39. 110.
ὁμωμοκότες 121. 217.
ὁπωρώρης 262.
ὅτι καὶ ὡς 22. 35.
οὐ καὶ μὴ 71. 283.
οὔτε, μήτε 146.
οὐ μὰ Δί' οὐκ 307.
οὐδ' ἐγγὺς 12. 96.
οὐδὲ ἐπιδοτικὸς 25. 70. 199.
οὕτω (γνώμης) ἔχω 99.
οὐχ ὁρᾷς 232. 266.
οὐχὶ ἐντονώτερον τοῦ οὐ 48.

Π.

πάντα ποιεῖν καὶ πάσχειν 130.
πάνυ γὰρ 232.
παρὰ = διὰ 232. — ἐκ παραλλήλου 267. — ἐκ συμφώνου 272.
παραγεγραμμένοι νόμοι 111.
παραδύεσθαι 79.
παρακολουθεῖν τοῖς πράγμασιν 172.
παρακρούεσθαι 147. 276.
παράλειψις 69.
παραναγιγνώσκειν 267.
παράσημος ῥήτωρ 242.
πάραυτα, παραχρῆμα 15.
παρεῖαι ὄφεις 260.
παρελθεῖν 7.
παρονομασία 11.
παύω καὶ παύομαι 82.
πεῖραν διδόναι 107. 195.
περὶ ἀντὶ ὑπὲρ 9.
περίτριμμα 127.
πίθηκος 242.
πλάττειν λόγους 121.
πολιτεύεσθαι καὶ πράττειν 45.
πολιτικαὶ δυνάμεις 237.
πολλὰ καὶ καλὰ 285.
πολλοῦ γε καὶ δεῖ 47. 51.
πολὺς ἔγκειται 199.
πολὺς ῥέων 136.
πομπεία, πομπεύειν 11. 124.
πράττειν καὶ ποιεῖν 62.
πράττειν βέλτιστα 252.
πρίασθαι 47. 247.
προαίρεσις τῆς πολιτείας 59.
προβάλλεσθαι 97.
προβουλεύειν, προβούλευμα. 9. 118. 169.
προδιόρθωσις 59. 256.
προλαμβάνειν 224.
προξενεῖν τινος 82.
προπίνειν τινί 296.
προσάγειν 28.
προτιθέναι 236. 273.
πτωχὸς καὶ πένης 131, 107.
πώποτε ἀντὶ τοῦ ποτὲ 298. 312.

Ρ.

ῥήγματα καὶ σπάσματα 198.
ῥήματα καὶ σχήματα 232.
ῥητὰ καὶ ἄρρητα 122.
ῥητορικὴ ἔμφασις 35. 98. 126. 293. 314.
ῥητορικὸς πλεονασμὸς 21. 68.
ῥήτρα ἐκ τῆς βουλῆς 90.

Σ.

σῖτος ἐπείσακτος 87.
σπερμολόγος 127.
στρεπτοὶ 260.
συγγραφὴ 122.
συγχώρησις 72.
συμβόλαια 210.
σύμπτυξις ἰδεῶν 88. 89. 298.

συναθροισμὸς 71.
σχήματα διανοίας παρὰ τοῖς ῥήτορσιν 22. — ὁμοιόπτωτον 71. 182. — ἐκ παραλλήλου 137.
σώματα ἀντὶ ὀστᾶ 289.

Τ

τάλαντον 92.
τὶ περιληπτικὸν 62. 277.
τίμημα 106.
τοίνυν ἐπαναληπτικὸς 4. (3. σημ.). 249.
τόνος τῆς φωνῆς 280.
τριήραρχοι ἐθελονται 99.

Υ

ὑπάρχειν μετὰ μετοχῆς 95. 228.
ὑπεικὼν 60.
ὑπὲρ ἀντὶ περὶ 9. 76.
ὑπερβολὴ 190.
ὑποδιήγησις 145.
ὑπολογίζομαι καὶ διαλογίζομαι 99.
ὑποφορὰ 117. 198. 274.
ὑπωμοσία 103.

Φ

φαίνεσθαι μετὰ μετοχῆς 14. 24. 94. 118. 320. — μετ' ἀπαρεμφάτου 14.
φεύγειν 7.
φέρειν καὶ ἄγειν. 230.
φθάνειν μετὰ μετοχῆς 39.
φορὰ 61. 271.
φωνὰς (πάσας) ἀφεῖναι 195. 218. 222.
φωνασκεῖν 308.

Χ

Χάριτος βωμὸς 92.
χοῖνιξ 129.
χρηματίζειν 169.
χρόνοι, ἀόριστος — ἐνεστὼς 1. 4. 23. 30. 40. 57.

Ψ

ψῆφος ἀπὸ βωμοῦ 134.
ψυχρότητα καταγιγνώσκειν τινὸς 256.

Ω

ὦ γῆ καὶ θεοὶ 139. 158. 294.
ὡς, ὥσπερ μετ' αἰτιατικῆς ἀπολύτου 122. 276.
ὡς = πρὸς 133. 169.
ὡς ἐπιτατικὸν 4. 256. 246. 288.
ὡς χρονικὸν 65. 134.
ὡς ἑτέρως 85. 212. 306.
ὡς ἔχω 277.

ΠΙΝΑΞ

ΓΕΩΓΡΑΦΙΚΟ - ΙΣΤΟΡΙΚΟΣ.

Α

Ἄβυδος §. 302.
Ἀθηναῖοι. ἔνθους ἐπὶ τῇ τῶν προγόνων ἀρετῇ. 68. — πατρῷον ἔχουσι τὸν Ἀπόλλω 141.— οὐ μνησικακοῦντες 94. — προστάται τῆς Ἑλλάδος 72. — πολιτικὸν ἀξίωμα αὐτῶν 99.
Ἀθηνῶν τύχη 253.
Αἴγινα 96.
Αἰσχίνης. γένος αὐτοῦ 129.— ὁ πρότερον αὐτοῦ βίος 130. κ. ἑ. 258. κ.ἑ.— τριταγωνιστὴς 129. 180. 209. 262. — γραμματεὺς 261. 127.— εὔρωνος 259.285. 313. πυλάγορος 149.
Ἀλεξάνδρου μνεία 51. 270. 296. 297.
Ἁλίαρτος 96.
Ἀλόννησος 69.
Ἀμβρακία 244.
Ἀμφικτυονικαὶ δίκαι 322.
Ἀμφίπολις 69.
Ἄμφισσα 143.
Ἀμφισσεῖς Λοκροὶ 150 κ. ἑ.
Ἀντιφῶν 132.
Ἀργεῖοι, Ἀρκάδες, Μεσσήνιοι σύμμαχοι Φιλίππῳ. 64.
Ἀριστόδημος ὑποκριτὴς 21.
Ἀριστόνικος 312.
Ἀριστοφῶν Ἀζηνιεὺς 162.219.
» Κολλυτεὺς 70. 75.
Ἀρίστρατος Σικυώνιος 48.
ἁρμοσταὶ 96.
ἄρχοντες θ΄. 112.
Ἀτρόμητος, Ἀφόβητος 129.

Β

Βάττταλος 180.
Βοσπόρειον 91.
βουλὴ ἡ ἐξ Ἀρείου πάγου ὡς φύλαξ τῆς δημοσίου ἀσφαλείας 133.
Βυζάντιον 71. 80. 86. 93. 230. 240. κ. ἑ. 302.

Γ

Γλαῦκος ὁ Καρύστιος 319.

Δ

Δείναρχος 295.
Δεκελεικὸς πόλεμος 96.
Δῆλος, ἱερὸν ἐν αὐτῇ 134.
Δημάδης 285.
Δημάρατος 295.
δῆμος Ἀθηναίων στεφανούμενος 91. 92. 94.
Δημοσθένης. βουλευτὴς 25. 28.—ἐπὶ τῷ θεωρικῷ 113. — ἐπιστάτης τοῦ ναυτικοῦ 102.— ἡγεμὼν συμμορίας δέκα ἔτη 257. — σιτώνης 248.— στεφανοῦ-

ται πολλάκις 120. (83. 223).— τειχοποιὸς 113. —τριήραρχος δὶς 99. 257. —χορηγὸς ἐθελοντὴς 257. —λειτουργίαι αὐτοῦ 267. —πρεσβεῖαι αὐτοῦ κατὰ Φιλίππου 45. 79. 244.— ἐξαιτεῖται ὑπὸ Ἀλεξάνδρου 41. 322.
Διοπείθης 70.
Διότιμος 114.
Δόλοπες 63.
Δορίσκος 70.
Δωδώνη (δωδωναῖος Ζεὺς) 253.

Ε

εἰρήνη Δημάδου 285.
» Φιλοκράτους 17. 20. 73.
Ἐλάτεια 143. 152. 198. 174.
Ἐλευσὶς 38. 177.
Ἑλλήσποντος 71. 93.
Ἔμπουσα 130.
Ἐργίσκη 27.
Ἐρέτρια 71.
Εὔβοια 71. 96. 241. 301.
Εὔβουλος Κόπριος 70. 75.
» Ἀναφλύστιος 21. 162.
Εὔδικος 48.
εὐθύναι 113.
Εὐκαμπίδας 295.
Εὐρύβατος 24.

Η

Ἡγήμων 285.
Ἡγήσιππος (Κρωβύλος) 75.
ἡμέρας ὁδὸς 195.

Θ

Θάσος 197.
Θεμιστοκλῆς 204.
Θεμίσων, Θεόδωρος 99.
Θεσσαλοὶ 27. 63. κ. ἑ. 304.
Θεοκρίνης 313.
Θηβαίων ἀναλγησία 35.
Θρᾴκης ἐπίκαιροι τόποι 27.
Θρασύβουλος 219.
Θρασύδαος 295.

Ι

Ἱερώνυμος 295.
Ἰλλυριοὶ 244.
Ἶμβρος 115.

Κ

Καλλίστρατος 219.
Κεραμεικὸς (ἔξω) 289.
Κέρκυρα 234.
Κέφαλος 219. 251.
Κηφισοφῶν 21. 75.
Κλείταρχος 71. (79.) 81. 295.
Κλεωναὶ 96.
Κολλυτὸς 180.
Κόρινθος 96.
Κόττυφος 151.

Λ

Λασθένης 48.
Λεῦκτρα 18. 98.
Λῆμνος 77.
λογισταὶ 117.

Μ

Μαραθὼν (μὰ τοὺς Μαραθῶνι ὅρκος τῶν ἀριστέων τῆς Ἑλλάδος). 208.
Μέγαρα 71. 96.
μετωνυμίαι συνήθεις τοῖς ὀψιπλούτοις 130.
Μητρῷον 142.
Μυρτηνὸν 27.

Ν

Νάξος 197.

Ναυσικλῆς 114.
Νεοπτόλεμος 114.
νόμος τριπαρχικὸς 102.

Ο

οἰκία ἄσυλον παρ' Ἀθηναίοις 132.
Οἰνόμαος 180. 242.

Π

Πειραιῶς κύκλος 300.
Πέλλα 68.
Πελοπόννησος 18.
Πεπάρηθος 70.
Περίλαος 48. 295.
Πέρινθος 87.
Περσῶν βασιλέως προτάσεις Ἀθηναίοις 202.
Πορθμὸς 71.
Ποτίδαια 69.
προδόται Ἑλλάδος 19. 48. 295.
Προκόννησος 302.
Πτοιόδωρος 295.
Πύδνα 69.
Πυθοκλῆς 285.
Πύθων ὁ Βυζάντιος 136.
πυλάγοροι, ἱερομνήμονες 148.
Πυλαία 147.

Ρ

Ῥόδος 234.

Σ

Σαβαζίων (Βακχικῶν) μυστηρίων τελεταὶ παρ' Ἀθηναίοις 259. κ. ἑ.
Σαλαμὶς 116.
Σέρριον 27. 70.
Σῖμος 48.
Σόλων, δημοτικὸς 6.
Σούνιον 38.

Τ

Τάναγρα 96.
Τένεδος 302.
Τιμόλαος (Τιμόλας) 48. 295.

Υ

Ὑπερείδης 134. 223.

Φ

Φιλάμμων 319.
Φίλιππος τίνα μέρη τοῦ σώματος πεπηρωμένος ἦν 67.
Φιλιστίδης 71.
Φιλοκράτης Ἀγνούσιος 21.
» Ἐλευσίνιος 249.
Φίλων 312.

Χ

Χαιρώνεια. ἀπόστασις αὐτῆς ἀπ' Ἀθηνῶν 230. (195.). — μάχη ἐν αὐτῇ 248. — ἐπίγραμμα ἐπὶ τῶν ἐν Χαιρωνείᾳ πεσόντων 289.
Χαρίδημος 114.
Χερρόνησος 80. 93. 139. 302.
Χίος 234.

Ω

Ὠρεὸς 71.
Ὠρωπὸς 99.

ΠΡΟΣΘΗΚΑΙ ΚΑΙ ΔΙΟΡΘΩΣΕΙΣ

Ἐν σελίδι 3. στήλῃ ἀ. στίχῳ 3 κάτωθεν εἰς τὸ ἐκ περιουσίας πρόσθες· ἡ λέξις εὑρηται καὶ παρὰ Θουκυδίδῃ Ε, 103· «ἐλπὶς δὲ τοὺς μὲν ἀπὸ περισσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλε,» καὶ παρὰ Δίωνι Χρυσοστόμῳ σ. 423. «πολιτεύεσθαι δ' ἐπιχειροῦσιν ἐκ περιουσίας,» καὶ παρὰ Λιβανίῳ ΛΑ', σ. 714. «τοὺς μὲν ἐκ περιουσίας τῷ πολέμῳ κεχρημένους κτλ.» κατὰ ταῦτα ὁ Ἱερώνυμος Οὐόλφιος ἐξηγεῖ αὐτὴν καὶ ἐνταῦθα διὰ τοῦ supervacaneum (=ὡς ἐκ περισσοῦ, ἐκ παρέργου, ὅπερ καὶ κεῖται παρὰ Δίωνι ἐν τῷ αὐτῷ χωρίῳ ἐκ παραλλήλου τῷ ἐκ περιουσίας), ὅπως εὑρηται παρὰ Σαλλουστίῳ (Catil. 58.) « nos pro patria, pro libertate, pro vita certamus; illis supervacaneum est pro potentia paucorum pugnare.» τὴν ἐξήγησιν ταύτην ἐπιδεχιμάζει καὶ ὁ Β. κ. Ρ. ὡς καλλίστην.

ἐν σελ. 14. στήλ. 6. στ. 9. κάτωθεν πρόσθες ἐν τέλει τῆς §. Αἰσχ. π. παρ. §. 114.

» 20. » α. » 7. » ἀντὶ βαρβαρικῶν γράφε Θρᾳκικῶν.

» 21. » 6. » 13. » » λέγω γράφε λέγε.

» 31. » 6. » 6. » μετὰ τὸ ἐζήλουν πρόσθες τοὺς δωροδοκοῦντας.

» 39. » 6. » 16. κάτωθεν ἀντὶ Β. κ. Ρ. γράφε Στέφ. Βυζ. ἐν λέξει Βόσπορος.

» 63. » 4. τοῦ κειμένου ἄνωθεν γράφε ἐθελοντῶν τότε τριηράρχων πρῶτον γενομένων.

» » » α. » 17. κάτωθεν ἀντὶ τῆς ξενικῆς φράσεως ὑπῆρξεν κτλ. γράφε κατὰ Στράβωνα «ἐν ἀμφισβητησίμῳ ἐγένετο πολλάκις» Ἀθηναίοις καὶ Βοιωτοῖς.

» 69. » 6. τοῦ κειμένου ἄνωθεν τὸν ἀριθμὸν 103 καταβίβασον εἰς τὸν κάτωθι στίχον.

» 71. » α. » 20. κάτωθεν μετὰ τὸ Αἰσχίνης πρόσθες κ. Κτησ. §. 222.

» 96. » 6. » 13. » ἀντὶ 339. γράφε 340.

» 112. » 6. » 5. » μετὰ τὸ πρόσωπα πρόσθες τυράννων.

» 141. » 6. » 19. » μετὰ τὸ σημαίνουσα πρόσθες ἐνταῦθα.

» 141. » 6. » 4. » μετὰ τὸ εὐθύνας] πρόσθες λογισμοὺς κατὰ συνέπειαν.

» 143. » 6. » 4. » ἀντὶ ὑπεσημαίνεσθε γράφε ἐπεσημαίνεσθε.

» 160. ἐν τῷ τίτλῳ ἀντὶ 308. γράφε 319.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000128795

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



